8—13 †B f. 9ᵃ ad *ἔπεσι μὲν* (id. Lp f. 57ᵃ c. l. *ἔπεσι μὲν*): . . . . . *ἢ ὀνειδίσαι φησὶ τὸ ὑπομνῆσαι τῶν εὐεργεσιῶν, ὡς Πορφύριός φησιν, ἤτοι ὡς ἀχάριστον αἰτιάσασθαι.*

20 sqq. E duabus quaestionibus coniunctis haec excerpta sunt:

1) B f. 9ᵇ ad *οἰνοβαρές* (id. L f. 9ᵇ, Lp f. 57ᵃ c. l. *οἰνοβαρὲς*): *Ἰσοκράτης Κόνωνι τῷ Ἀθηναίων στρατηγῷ τρία μαρτυρεῖ, ἐπιμέλειαν πίστιν ἐμπειρίαν πολέμου. τούτων τὰ ἐναντία κατανοήσας Ἀγαμέμνονα ὀνειδίζει· ἐξ οἰνοποσίας μὲν γὰρ ἀμέλεια, ἀπιστία δὲ ἐξ ἀναιδείας, καὶ πολέμων ἀπειρίαν ἡ δειλία ἐργάζεται. φαίνεται δὲ ἐν Ἰλιάδι ἐπὶ τρίτου αὐτὸν λέγων δειλὸν διὰ τὸ φεύγωμεν σὺν νηυσί, μέθυσον δὲ διὰ τὸ πλεῖαί τοι οἴνου κλισίαι. μάλιστα δὲ τῷ ἀναιδεῖ ἐπιμένει, ὅπου μὲν λέγων ἀλλὰ σοί, ὦ μέγ' ἀναιδές, ὅπου δὲ ἀναιδείην ἐπιειμένε, πῇ δὲ κυνῶπα, ἐπεὶ προμεμαρτύρηται αὐτοῦ τὸ τῆς θέας ἰταμὸν ἐν τῷ πρὸς Κάλχαντα. φύσει δὲ ἀλλήλαις αἱ κακίαι ὡς καὶ αἱ ἀρεταὶ παρέπονται.* Priorem huius scholii partem Eust. p. 90, 9, *τοὺς παλαιοὺς*

---

6 *τῷ στρατ. τῶν ἀθην. κόνωνι* L 7 *ἀγαμέμνονι* Lp 8 *ἡ δειλοὺς* Lp 9 *ἐπὶ τρίτον* BL *λέγειν* L 10 *πλεῖαί τε* codd. (Lp *τε* suprascr.) 11 *σοὶ* (ut videt.) e *σὺ* corr. B 12 *τῇ δὲ* Lp 13 *κάλχαντι* L 14 *παρέπονται.* Sequitur B sine ullo intervallo: *ἄλλως. εἰώθασιν οἱ ἄνθρωποι τὰ πλεονεκτήματα πολλάκις ὡς ἐλαττώματα προάγειν κτλ.*, quae huc non pertinent (id. L).

(v. 149), ποτὲ δὲ ἀλλὰ coí, ὦ μέγ' ἀναιδές, ἑcπόμεθα, ὄφρα cὺ χαίρῃc (v. 158), αὖθιc δὲ τιμὴν ἀρνύμενοι Μενελάῳ coí τε, κυνῶπα (v. 159); ἡ δὲ λύcιc ἐκ τῶν προειρημένων ἐν τῇ ἐκκληcίᾳ πρὸc τὸν Κάλχαντα, ἐνδειχθειcῶν τῶν τῆc ὁράcεωc φλογώcεων· ἔφη γὰρ ὄccε δέ οἱ πυρὶ λαμπετόωντι εἴκτην (v. 104). τῆc γὰρ ἐμφανῶc πᾶcι γενομένηc τῶν ὀφθαλμῶν μαρμαρυγῆc ὡc ⟨om. cod.⟩ ἀναιδοῦc ἐχόμενον τὸ τοῦ Ἀχιλλέωc πάθοc cυνεχῶc ἐπιφέρεται εἰc ὀνειδιcμὸν τούτου πρὸc τοὺc τὰ ὅμοια ὁρῶνταc ὡc πρὸc μάρτυραc. Ἰcοκράτηc μὲν οὖν τρία περὶ τὸν cτρατηγὸν ὑπάρχειν ἀγαθὰ μαρτυρεῖ κοινὰ λέγων· ὃc ἦν ἐπιμελέcτατοc μὲν τῶν cτρατηγῶν, πιcτότατοc δὲ τοῖc Ἕλληcιν, ἐμπειρότατοc δὲ τῶν πρὸc τὸν πόλεμον κινδύνων (paneg. § 142)· Ὅμηροc δὲ κατηγορῶν τὰc ἐναντίαc ταῖc ἀρεταῖc ταύταιc κακίαc τοῦ Ἀγαμέμνονοc ἐκθειάζει· ἐν μὲν γὰρ τῷ λέγειν οἰνοβαρῆ πολλὴν ὀλιγωρίαν ὀνειδίζει (τί γὰρ ἐν μέθῃ ἐπιμελές;), ἐν δὲ τῷ πάντων ἀναιδέcτατον τὴν ἀπιcτίαν· ἡ δὲ ἀνανδρία πάντων μέγιcτον ἐμπόδιον εἰc ἡγεμονίαν. — ἀπορία. Ζητοῦcι ⟨hinc etiam Lp⟩ δὲ πότερον διὰ ὕβρεωc ⟨ὕβριν Lp⟩ ἐξηνέχθη ὁ ⟨om. Lp⟩ Ἀχιλλεὺc ὀργιζόμενοc εἰc τοιαύταc λοιδορίαc· οἰνοβαρέc, κυνὸc ὄμματ' ἔχων κραδίην δ' ἐλάφοιο, ἢ ἀπὸ τίνοc ⟨ἀπό τινοc codd.⟩ αἰτίαc προαχθεὶc ὑπὸ τῆc ὀργῆc εἰc τοιαῦτα ⟨ταῦτα Lp⟩ ἐμπεπτωκέναι. λύcιc ⟨om. Lp⟩· οἰνοβαρῆ μὲν οὖν αὐτὸν προήχθη εἰπεῖν, ἐπειδὴ φαίνεται cπουδάζων περὶ πολλὴν οἴνου κτῆcιν. μόνῳ γὰρ αὐτῷ καὶ Μενελάῳ χίλια μέτρα οἴνου Εὔνεωc πέμπει (H 471), ὅ τε Νέcτωρ, ἐκ τῶν πραττομένων ὑπ' αὐτοῦ τὸ ⟨om. Lp⟩ πλῆθοc εἰδὼc τῆc τοῦ οἴνου ⟨ἤθουc Lp⟩ cυναγωγῆc, φηcί· πλεῖαί τοι οἴνου κλιcίαι, τὸν νῆεc Ἀχαιῶν ἡμάτιαι ⟨ἡμάτιαι B⟩ Θρήκηθεν ἐπ' εὐρέα πόντον ἄγουcιν (I 71. 72). αὐτόc τε ὁ Ἀγαμέμνων προτρεπόμενοc ἐπὶ πόλεμον προφέρει ἣν φέρει τιμὴν διὰ τοῦ cὸν δὲ πλεῖον δέπαc ἀεὶ ἕcτηχ' ὥcπερ ἐμοὶ πιέειν (Δ 262). ὅθεν καὶ ἐπιcτρεφέcτερον ὀνειδίζων εἰc τὰ τοιαῦτα πῇ μὲν λέγει (Θ 229) πῇ ἔβαν εὐχωλαί ⟨πη ε, reliquae litterae evan., Lp⟩; καὶ ἐπάγει πίνοντεc κρατῆραc ἐπιcτεφέαc οἴνοιο (Θ 232). καὶ πάλιν εἰκόνα λαμβάνων τὴν ἐκ τῶν cυμποcίων ⟨cυμποcιῶν Lp⟩· εἴπερ γάρ κ' ἐθέλοιμεν Ἀχαιοί τε Τρῶέc τε ὁρκωμόcια ⟨τρῶεc τ ορκ μο Lp; rel. litt. evanuerunt⟩ ποιηcάμενοι, εἶτα ἐπάγει· Τρώων δ' αὖτε ἕκαcτον ἑλοίμεθα οἰνοχοεύειν ⟨οἰνοχορεύειν Lp⟩, πολλαί κεν δεκάδεc δευοίατο οἰνοχόοιο (B 123 sqq.). καὶ τὸ τελευταῖον καὶ τὸν θάνατον εἰc ⟨καὶ

---

nominans, affert. Ceterum ab Achille impudentiam maxime Agamemnonis notari Seleuco iam observatum (Did. *A* 340).

2) *B f. 9ᵇ ad κυνὸς: *τὸ κυνὸς ὄμματ' ἔχων ἐξ ὧν εἶδεν αὐτὸν ὀργιζόμενον· ὄccε δέ οἱ πυρὶ λαμπετόωντι εἴκτην. τὸ δὲ κραδίην δ' ἐλάφοιο διὰ τὸ ἐπίφορον εἶναι εἰς τὸ λέγειν φεύγωμεν ὡς δειλόν· τρὶς γὰρ τοῦτο φαίνεται εἰρηκὼς ἐν τῇ Ἰλιάδι.*

τὸν θαν. ἐξ in Lp ab alia, ut vid., manu inter lin. postea addita⟩ Ἅιδου ἀφηγεῖται, ὡς ἀμφὶ κρατῆρα τραπέζας τε πληθούσας ἀπώλετο (λ 419). τὸ δὲ κυνὸς ὄμματ' ἔχων ἐλέγομεν ὅτι ἐξ ὧν εἶδεν αὐτὸν ὀργιζόμενον· ὄσσε ⟨ὅστε B⟩ δέ οἱ πυρὶ λαμπετόωντι
5 εἴκτην καὶ Κάλχαντα πρώτιστα κακοσσόμενος προσέειπεν (A 105). κραδίην δ' ἐλάφοιο ἀπὸ τοῦ ἐπίφορον εἶναι εἰς τὸ λέγειν φεύγωμεν καὶ τρὶς ἐν τῇ Ἰλιάδι (B 140. I 27. Ξ 75 sqq.?) φαίνεσθαι τοῦτο εἰρηκότα.

250. cum schol. Є 153 coniunctum (= Ζητ. Vat. 13. 14) in ex-
10 trema parte operis edendum.

266. v. Herm. XIV, p. 249.

279. πῶς τοῦτο ὁ Νέστωρ εἴρηκεν; ἆρα δύναταί τις βασιλεῦσαι ⟨βασιλεύειν L⟩ χωρὶς τῆς τοῦ θεοῦ βουλῆς; ῥητέον οὖν ὅτι ⟨καὶ ῥητ. ὅτι L⟩ καλῶς τοῦτο εἴρηκεν· οὐ γὰρ ἅπαντες παρὰ τοῦ Διὸς ἔχουσι τὸ
15 σκῆπτρον οὐδὲ τὴν ἀρχὴν ταύτην, ἀλλὰ μόνοι οἱ ἀγαθοί. εὐλόγως δὲ εἶπεν ὅτι τὸ μὲν ἄρχειν ἀπὸ θεοῦ ἐστιν, οὐ μέντοι καὶ πᾶς ἄρχων καταθύμιός ἐστι τῷ θεῷ ⟨om. ἐστι τῷ L⟩, ὡς παραχρώμενος τῇ ἰδίᾳ ἐπιθυμίᾳ ἀπρεπῶς, τοῦ θείου παραχωροῦντος αὐτῷ καὶ ἀφροντιστοῦντος τοῦ τοιούτου.

*B f. 10ᵇ ad σκηπτοῦχος. L f. 11ᵇ. Lp f. 58ᵃ c. l. σκηπτοῦχος.

20 288. ἴδιον τῶν θυμουμένων ἐπανακυκλοῦν τὰ αὐτά· οὐδέποτε γὰρ οἴονται ἱκανῶς εἰρηκέναι. καλεῖται δὲ τὸ σχῆμα ἐπιβολή, ἐν μιᾷ περιόδῳ ἀρχὰς πλείους ἐπιφερόμενον. οὕτως ἔχει καὶ τὸ ἐν δ' Ἔρις, ἐν δὲ Κυδοιμὸς ὁμίλεον ⟨ὡμίλεον BLp⟩, ἐν δ' ὁλοὴ ⟨ὁλοὸν Lp; ὁλοή, ἡ e corr., B⟩ Κήρ (C 535). ἐκτὸς εἰ μὴ τὸ κρατεῖν σημαίνει
25 τὸ νικᾶν, ἄρχειν δὲ τὸ ἀνάσσειν, ἐπιτάσσειν δὲ τὸ σημαίνειν. κινεῖ δὲ τῷ Ἀχιλλεῖ φθόνον, ὡς οὐχ ⟨Lp in ras. suprascript.⟩ ὑπὲρ τῆς Βρισηΐδος ἀλλ' ὑπὲρ τῆς ἀρχῆς πρὸς αὐτὸν διαφερομένῳ ⟨Lp add.: ἱκανὸν δὲ ἦθος ἔχει ὁ δισταγμός, quae B recte ad verba ἅ τιν' οὐ πείσεσθαι οἴω⟩.

B f. 11ᵃ ad πάντων. A (usque ad l. 24). Lp f. 58ᵇ c. l. ἀλλ' ὁ δ' ἀνήρ.

30 τί τὸ πολλάκις τὴν αὐτὴν κυκλοῦν διάνοιαν; χαρακτηρικόν ἐστιν ὀργῆς· διὸ καὶ ἐπὶ τοῦ Ἀχιλλέως ὀργιζομένου τὸ αὐτὸ πεποίηκεν· ἄλλοισι δὴ ταῦτ' ἐπιτέλλεο· μὴ γὰρ ἔμοιγε σήμαιν'· οὐ γὰρ ἔγωγε τί σοι πείσεσθαι οἴω (v. 295. 296). οἱ γὰρ ἐν ὀργῇ, κἂν πολλάκις εἴπωσί τι, οὔπω δοκοῦσιν ἱκανῶς εἰρηκέναι ⟨add. cod.: καὶ
35 παρεισάγει τοὺς πάντας κτλ. = schol. B p. 49, 11 Dind., quae huc non pertinent⟩.

L f. 11ᵇ, *Π*, εἰς τὸ ἀλλ' ὅδ' ἀνὴρ — σημαίνειν. Cf. Escor. ap. Dind. IV, p. 409.

---

5 Sententia versus *A* 105 ab ipso Porphyrio ratione diversissima redditur in quaestione XVII cod. Vaticani; quae quoniam non uno loco explicando occupatur sed plurimos complectitur in calce operis nostri edenda erit.

20—27 Haec verba ex parte certe e quaestione Porphyriana derivata esse scholium Leid. (lin. 30) docet multo quidem brevius at servatis auctoris nomine et quaestionis forma traditum.

30 sqq. Cf. Eust. p. 105, 20 sqq.

*B f. 11ᵃ ad ἄλλων v. 300 (usque ad ὅπως l. 5). B f. 11ᵃ ad τῷ v. 299 (inde a μὴ ἀκρατὴς ib.). Lp f. 58ᵇ.

300. διὰ τί ὁ Ἀχιλλεὺς τὴν μὲν Βρισηΐδα φησὶ δώσειν — χερσὶ μὲν οὔτι ἔγωγε μαχέσσομαι εἵνεκα κούρης — τῶν δ' ἄλλων ἅ μοί ἐστι θοῇ παρὰ νηὶ μελαίνῃ οὐδὲν προΐεσθαί φησιν ἄνευ πολέμου, καίτοι περὶ τὴν Βρισηΐδα τῶν ἄλλων μᾶλλον σπουδάζων; ῥητέον οὖν ὅτι, ὅπως μὴ ἀκρατὴς εἶναι δοκῇ, ἀποδοῦναι, εἰ καὶ πλείω τῶν ἄλλων, ὧν φησι φείδεσθαι, προσίετο· καὶ ὅτι νόμος ἦν τῷ βασιλεῖ ἐξαιρεῖσθαι τὰ πρῶτα. ἐγένετο δ' ἂν πάντα τὰ τῶν αἰχμαλωτίδων ἀναθάσιμα, τῆς Χρυσηΐδος ἀποδοθείσης, ὥστε παρηνόμει μὴ δοὺς τὴν αἱρεθεῖσαν ὑπὸ τοῦ βασιλέως. ἐξὴν γὰρ αὐτῷ ὅτι βούλοιτο λαβεῖν· διό φησιν ἢ τεὸν ἢ Αἴαντος ἢ Ὀδυσῆος (v. 138). ὥστε εἰς μὲν τὸ τῶν αἰχμαλωτίδων ἀναγκαῖον ἦν εἴκειν· τῶν δὲ ἄλλων εἴ τι ἐλάμβανεν, ὡς ὑβρίζοντι οὐκ ἐπέτρεπεν. οὔτε γὰρ ἀδικεῖν δεῖ οὔτε ἀδικεῖσθαι· τὸ μὲν γὰρ πονηρίας ἐστὶ τὸ δὲ ἀνανδρίας.

B f. 11ᵇ ad κέλευθα. L f. 12ᵃ. Lp f. 59ᵃ c. l. κέλευθα.

312. . . . . διὰ τί δὲ μὴ καθαροὺς ἐκπέμπει; ὅτι προὐργιαιτέρα τῷ θεῷ ἡ ἀπόδοσις. ψυχαγωγεῖ δὲ διὰ τούτου καὶ τὸ πλῆθος, ὡς ἤδη καθαρθέντες εἶεν διὰ τὴν τοιαύτην ἀπόδοσιν.

317. v. ad Φ 363.

*B f. 12ᵃ ad βασιλῆος. L f. 14ᵃ, *Π*. Lp f. 59ᵇ.

340. οἱ Πυθαγόρειοι κατὰ θεὸν καὶ κατὰ ἀνθρώπειον γένος ὅλον τρίτον ἐτίθεντο σεβάσμιον, τὸν βασιλέα ἢ σοφὸν ἄνδρα, Ὁμήρου πρώτου μεταξὺ θεῶν τε καὶ ἀνθρώπων θέντος τὸν βασιλέα καὶ πάλιν τὸν βασιλέα προτιμῶντα ποιήσαντος αὐτοῦ τὸν σοφὸν ἄνδρα. καὶ περὶ μὲν τοῦ βασιλέως τοιαῦτα λέγει· τῷ δ' αὐτῷ μάρτυροι ἔστων πρός τε θεῶν μακάρων πρός τε θνητῶν ἀνθρώπων καὶ πρὸς τοῦ βασιλῆος. τὸ δὲ ἀπηνέος προσέθηκε διὰ τὴν ὀργήν. αὐτὸς δὲ ὁ βασιλεὺς οὐ μεταπέμπεται Νέστορα σκοπούμενον περὶ τῶν συμφερόντων ἀλλ' αὐτὸς ἄπεισιν· ἥδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή,

---

1 sqq. Quo modo factum sit, ut prior pars scholii ab altera manu, ab altera posterior (inde a lin. 5: μὴ ἀκρατὴς εἶναι) scripta sit, recte Hillerus docuit, Fleckeis. ann. XCVII, p. 802, cui non habeo quod addam nisi ante verba μὴ ἀκρατὴς in scholio manus prioris viginti fere esse litteras erasas. 1 χερσὶν Lp 2 οὔτι corr. ex οὔτοι B; οὔτοι Lp 6 ὧν φείδεται Lp 8 ἀποδοθείσης, ἀπ e corr., Lp παρηνώμει Lp 10 ὀδυσσῆος B, id. Lp, ubi additur: καὶ πάλιν αὐτὰρ ἐμοὶ γέρας (v. 118) 12 ἐπέτρεπεν, ab eadem manu super ε scrpt. ῑ, Lp 13 ἀνδρίας B; ἀν δρίας, ab ead. m. super intervallum scrpt. αν, Lp 18 οἱ om. Lp πυθαγόριοι L καὶ om. codd., addidit Vill. τὸ ἀνθρώπιον γένος L 19 ὁμ. δὲ πρώτου L, id. l. 20 om. τε 21 αὐτοῦ B αὐτοὺς Lp 21. 22 περὶ μὲν γὰρ τοῦ β., om. καὶ, L 22—24 versus in uno L exstant; l. 24 βασιλέως legitur, tum pergit: προσέθηκε δὲ διὰ τὴν ὀργὴν τὸ ἀπηνέος 25 μεταπέμπει Lp σκοπούμενος L 26 ἤδη L

1 sqq. Cf. schol. Townleianum apud Dindorfium, IV, p. 409.

14 sqq. Cf. schol. Paris. 2556 ap. Cramer., An. P. III, p. 133, 30.

18 sqq. Ad Porph. opus *περὶ τῆς ἐξ Ὁμήρου ὠφελείας τῶν βασιλέων* retulit Gildersleeve, de Porph. stud. Hom., diss. Gotting. 1853, p 21, probante G. Wolffio, Porph. de philosophia ex oraculis haurienda, p. 20.

Νέστορ' ἔπι πρῶτον Νηλήιον ἐλθέμεν ἀνδρῶν (K 17). παρ' Ἰνδοῖς τε τοὺς Βραχμᾶνας, οἵπερ εἰσὶ παρ' αὐτοῖς οἱ φιλόσοφοι, λόγος τοὺς βασιλέας ἁπαντῶντας προσκυνεῖν.

πρότερον τῶν Πυθαγορικῶν Ὅμηρος μέσην ἀνθρώπου καὶ θεοῦ φύσιν ἀνθρωπίνην τέθεικε. τὸν μὲν γὰρ ἁπλῶς ἄνθρωπον τοῦ βασιλέως κατ' ἀμφότερά φησιν ἐλάττονα, καίπερ ἀνθρώπου καὶ αὐτοῦ ὄντος, θεοῦ δὲ ἥττονα τὸν βασιλέα εἶναί φησι διὰ τὸ φθαρτόν.

B f. 12ᵃ ad μακάρων v. 339. L f. 14ᵃ. Lp f. 59ᵇ c. l. πρός τε θεῶν μακάρων.

399. τί ποτε ἄρα βουλόμενος ταῦτα ἔπλασε πολὺ ἔχοντα τὸ ἄλογον καὶ ἀνάρμοστον, εἴ γε Ἀθηνᾶ καὶ Ἥρα καὶ Ποσειδῶν ἐβούλοντο συνδῆσαι τὸν Δία, ἡ μὲν θυγάτηρ οὖσα οἱ δὲ ἀδελφοί; διὸ καὶ ἀντὶ τῆς Ἀθηνᾶς γράφουσι καὶ Φοῖβος Ἀπόλλων, ὥσπερ οὐ τοῦ αὐτοῦ μένοντος ἀτόπου. καὶ ἄλλοι πάλιν ἐναλλάσσουσι τὰ ἔπη·

B f. 13ᵇ ad μιν. L f. 17ᵃ. Lp f. 60ᵇ c. l. ὅπποτέ μιν.

οἴη ἐν ἀθανάτοισιν ἀεικέα λοιγὸν ἀμῦναι,
Ἥρη τ' ἠδὲ Ποσειδάων καὶ Παλλὰς Ἀθήνη,
ὁππότε μιν ξυνδῆσαι Ὀλύμπιοι ἤθελον ἄλλοι,

ἵνα οὗτοι μὲν οἱ θεοὶ φαίνοιντο βοηθήσαντες αὐτῷ μετὰ Θέτιδος, ἄλλοι δέ τινες οἱ ξυνδῆσαι θέλοντες, καὶ μύθους δὲ λέγουσιν ἐπὶ τούτοις πολλούς. μάχεται δὲ τοῖς ἐναλλάσσουσι τὸ οἴη ἐν ἀθανάτοισι· πῶς γὰρ τοῦ ποιητοῦ λέγοντος ὅτι μόνη ἐνδέχεται καὶ ἄλλους ἐπεισάγειν βοηθούς; τίνα δὲ καὶ τὸν Βριάρεων χρὴ νοεῖν; καὶ πῶς οὗτος βίῃ τοῦ πατρὸς ἀμείνων; δεῖ τοίνυν φυσικόν τινα μᾶλλον ἐν τούτοις ὑπονοεῖν λόγον· Δία γάρ φησι τὴν ἄκρατον θερμασίαν, τὴν καὶ τοῦ ζῆν καὶ τοῦ εἶναι ἡμᾶς αἰτίαν, Ποσειδῶνα τὸ ὕδωρ, Ἥραν τὸν ἀέρα, Ἀθηνᾶν τὴν γῆν, Βριάρεων τὸν ἥλιον — πάντων γὰρ τῶν ἄστρων φωτεινότατός ἐστι —

---

2 βραχμάνας L οἱ om. L λόγος δὲ τοὺς β. Lp 4 πυθεγορικῶν Lp 6 ὥσπερ L 7 εἶναι om. L 8 ἔπλασεν L, altero c sprascript. 9 καὶ ὁ ποσ. L 11 ante γράφουσι Lp τινὲς ins. 13 οἷον ἐν L 16 φαίνωνται e corr. Lp μετὰ τῆς θ. LLp 17 δὲ post μύθ. om. Lp 18 post ἐναλλάσσουσι ins. τὰ ἔπη Lp 19 ἐνδέχεται ἄλλους L 20 βίῃ οὗ πατρὸς Lp 22 καὶ εἶναι, om. τοῦ, BL 24 βριάρεον L

---

2 sqq. Cf. Porph. abst. IV, 17 extr. Bardesanem auctorem referentem.

8 sqq. Quamquam Porphyrius in quaestionibus suis ad allegoricam quae dicitur fabularum interpretationem minime inclinat (de qua re vid. prolegg.), tamen nihil esse videtur causae, cur eam de qua h. l. agitur quaestionem ab eo abiudicemus. Id unum tenendum est, eum non suam ipsius sed Stoici cuiusdam philosophi (quod ex Heraclit. c. 21—25 sequitur) interpretandi rationem proponere eodem modo quem in quaest. *T* 67 se sequi testatur. Ipse enim Porphyrius, ut h. l. unum afferam, (de antr. N. c. 32) Minervam *φρόνησιν* neque Tellurem esse voluit.

11 Zenodotum dicit (schol. Ariston. *A* 400).

22 sqq. Cum ab Heraclito, c. 25, quattuor dii prorsus eodem modo accipiantur (cf. de Iove eund. c. 23: *πυρὸς εἰλικρινοῦς φύσις — Ζεὺς ἐπώνυμος, ἤτοι τὸ ζῆν παρεχόμενος ἀνθρώποις κτλ.*), quod eo maioris momenti est quod praeterea vix quisquam Minervam Tellurem significare perhibuerit, concludi posse videtur, et illum et Porphyrium eodem fonte usos esse, qui qualis fuerit

Θέτιν δὲ τὴν θέσιν καὶ φύσιν τοῦ παντός. τοῦ ἡλίου τοίνυν ἀφισταμένου ἐπὶ τὰ μεσημβρινά, ψύξεως γινομένης ἐν τοῖς καθ' ἡμᾶς μέρεσι, συμβαίνει τὸν ἀέρα, φύσιν ἔχοντα μεταβάλλειν εἰς ὕδωρ, τότε μάλιστα ἐξυγραίνεσθαι πλέον καὶ δυσχείμερον γίνεσθαι. Ποσειδῶνα οὖν καὶ Ἥραν καὶ Ἀθηνᾶν διὰ τοῦτο βουλομένους συνδῆσαι τὸν Δία φησίν, ἐμφαίνων, ὡς ἔφην, τὴν χειμερινὴν κατάστασιν, ἐν ᾗ συμβαίνει τὸ ψυχρὸν ἐπικρατέστερον εἶναι τοῦ θερμοῦ. ἀλλ' ἡ Θέτις ἀνάγουσα τὸν ἥλιον ἐπὶ τὰ βόρεια φαίνεται ὥσπερ βοηθοῦσα τῷ Διί. εἰκότως δὲ ἑκατόγχειρον τοῦτόν φησιν, ὅτι πάντα τρέφει καὶ αὔξει καὶ φύει, καθάπερ πολλαῖς ὁμοῦ χερσὶν ἐργαζόμενος. οὗ πατρὸς δὲ ἀμείνων, τοῦ Διός· Ἀπόλλωνα γὰρ φησι τὸν ἥλιον.

*B f. 13ᵃ ad πολλάκι. 407. διὰ τί εἰδὼς ὁ Ἀχιλλεὺς χάριν προσοφειλομένην τῇ μητρὶ ὑπὸ τοῦ Διὸς οὐκ εἰς τὴν νίκην τῶν Ἑλλήνων κέχρηται ταύτῃ, ὅτε, φησί, πολλὰς ἀϋπνους νύκτας ἴαυεν, ἤματα δ' αἱματόεντα διέπρησσεν ⟨διέπρησεν cod.⟩ πολεμίζων (I 325. 326), εἰς δὲ ἀπώλειαν αὐτῶν κατακέχρηται ταύτῃ, καίπερ οὐκ αἰτίων τῆς ἀτιμίας αὐτῷ γεγονότων τῶν Ἑλλήνων ἀλλὰ τοῦ Ἀγαμέμνονος; εἴπερ οὖν ἔδει κατὰ φίλων ἀδικησάντων χρήσασθαι τῇ παρὰ Διὸς ἐπικουρίᾳ, κατὰ τοῦ Ἀγαμέμνονος δίκαιον ἦν τοῦτο, ἀλλ' οὐ κατὰ τῶν ἄλλων Ἑλλήνων.

---

1 καὶ τὴν φύσιν L 2 γενομένης L 3 σημαίνει δὲ τὸν ἀέρα Lp φύσιν ἔχοντα om. L ὕδωρ καὶ τότε μάλιστα L 5 βουλόμενος Lp 6 ὅθεν συμβαίνει Lp 8. 9 τοῦτο φησὶν Lp 9 ὅτι τὰ πάντα Lp

---

nunc non quaero. Quod quae sit Thetis, quis Aegaeon quaeque Iovi praestiterint, uterque modo non omni ex parte simili tradit, minus premendum videtur. Quae praeterea ad nostrum locum in scholl. et ap. Eust. p. 122, 44 sqq. traduntur, ita comparata sunt, ut discerni nequeat utrum e Porphyrio an ex Heraclito an ex utroque (cf. *A* 50) hausta sint; quare praeter schol. Lips. partem ad verbum fere cum Porphyrio congruentem hic omisimus.

8 † Lp *A* 402 (f. 69ᵇ) a man. sec.: *ἑκατόγχειρον τὸν ἥλιον λέγει, ὅτι πάντα φύει καὶ τρέφει καὶ αὔξει, ὥσπερ εἰ πλείσταις χερσὶν ὁμοῦ εἰργάζετο.* Reliqua plus discrepant.

10 Cf. (Porph.) *A* 50. — Cod. Par. 2556 ap. Cramer. An. Par. III, p. 105, 7: *... τὸν ἥλιον ἤτοι τὸν Ἀπόλλωνα, ὃν Βριάρεων καλοῦσι καὶ ἑκατόγχειρα κτλ.*

12 sqq. † Lp *A* 407 (f. 61ᵃ, c. l. *τῶν νῦν μιν*): *καὶ πῶς ταύτην οὐκ ἤτει τὴν χάριν κατὰ τῶν Τρώων, ὅτε, φησί, πολλὰς μὲν ἀϋπνους νύκτας ἴαυεν* ⟨cod. —*ον*⟩; *ἢ ὅτι ἡ δόξα τῆς νίκης εἰς Ἀγαμέμνονα ἀνέτρεχεν, ὡς φησιν· τούτῳ μὲν γὰρ κῦδος ἅμ' ἕψεται, εἴ κεν Ἀχαιοὶ Τρώων ἐκπέρσωσ' εὖ ναιόμενον πτολίεθρον. τά τε τῆς νίκης ὡμολογήσατο διὰ τοῦ ἀστράπτειν τὸν Δία. εὐημερούντων τοίνυν τῶν οἰκείων οὐκ ἔδει χαρίτων ἀμοιβὰς ἀπαιτεῖν παρὰ τοῦ ἐπινεύσαντος τὴν ἧτταν τῶν πολεμίων, ὀργισθέντα δὲ τοῖς ἀδικήσασιν αὐτὸν μεταβαλεῖν* ⟨cod. *μεταβαλλεῖν*⟩ *τὴν Διὸς γνώμην. ἀλλ' εἴπερ, φησίν, ἔδει κατὰ φίλων ἀδικησάντων χρήσασθαι τῇ παρὰ Διὸς ἐπικουρίᾳ, κατὰ τοῦ Ἀγαμέμνονος δίκαιον ἦν δή που. ἀλλ' εἰ Ἀγαμέμνων ἐκολάσθη, ἀθῷοι ἀναπλεύσαντες οἱ Ἀχαιοὶ οὐκ ἐζήτησαν Ἀχιλλέα. μένει δὲ συγκολαζόμενος αὐτοῖς ἀχαρίστοις οὖσιν ὁ βασιλεύς, οἱ τῷ διὰ τὴν κοινὴν ὑβρισθέντι σωτηρίαν οὐκ ἐπήρκεσαν.*

τὸ μὲν οὖν μὴ ὑπὲρ τῶν Ἑλλήνων χρήcαcθαι τῇ τῶν χαρίτων παρὰ Διὸc ἀποδόcει οὐδὲν ἤπειγεν, αὐτοῦ τοῦ Διὸc ἀcτράπτοντοc ἐπιδέξι' ἐναίcιμα cήματα φαίνοντοc (B 353) καὶ πάντων πεπειcμένων ὅτι κατένευcεν ὁ Ζεὺc τὴν Τρωικὴν ἀπώλειαν. εὐημερούν-
5 των οὖν τῶν οἰκείων οὐκ ἔδει χαρίτων ἀμοιβὴν ἀπαιτεῖν παρὰ τοῦ ἐπινεύcαντοc τὴν ἧτταν τῶν πολεμίων, ὀργιcθέντα δὲ τοῖc ἀδικήcαcιν αὐτὸν μεταβαλεῖν τὴν τοῦ Διὸc γνώμην ἄλλωc οὐκ ἐνῆν ἢ διὰ χαρίτων ὀφειλομένων ὑπομνήcεωc, καὶ τὸ μὲν νικῆcαι τοὺc Ἕλληνac εἰc τοὺc Ἀτρείδac ἔχει τὴν ἀφορμήν ⟨? evan. h. v. nonnullae litterae⟩, τὸ δὲ
10 ἀποcτρέφειν τὴν τοῦ Διὸc cυμμαχίαν ἐκ τῶν Ἑλλήνων εἰc αὐτὸν εἶχε τὸ τέλοc. εἰc τὰ αὐτῷ τοίνυν διαφέροντα θηcαυρίζειν τὰc ἀπαιτήcειc οὐδὲν παράλογον ἔχει. κατὰ δὲ ⟨evan.⟩ τῶν Ἑλλήνων ἡ τιμωρία ⟨τι evan.⟩, ὅτι κατ' αὐτὸν τὸν ποιητὴν τῷ βαcιλεῖ κῦδοc μὲν ἅμ' ἕψεται, εἴ κεν Ἀχαιοὶ Τρώων ἐκπέρcωcιν εὖ ναιόμενον
15 πτολίεθρον, τούτῳ δ' αὖ μέγα πένθοc Ἀχαιῶν δηωθέντων (Δ 415—417 confusi cum A 164), καὶ τὸ ὅλον ἀγώνιcμα δείξει τῷ Ἀγαμέμνονι κατὰ τοὺc Νέcτοροc λόγουc (A 254?). αὐτὸc γὰρ τῷ ὄντι ἕρκοc Ἀχαιοῖcιν πέλεται πολέμοιο κακοῖο (A 284). καὶ γὰρ τοῦτο ὀμωμόκει ἐν τῇ ἐκκληcίᾳ, ὁ δέ τοι μέγαc ἔcceται ὅρκοc· ἦ
20 ποτ' Ἀχιλλῆοc ποθὴ ἵξεται υἷαc Ἀχαιῶν καὶ τὰ ἑξῆc (A 239 sqq.). καὶ ἡ Ἀθηνᾶ καί ποτέ τοι τρὶc τόcca παρέcceται ἀγλαὰ δῶρα φηcί, καὶ ἄμφω ὁμῶc φιλεῖcθαι αὐτόν τε καὶ τὸν Ἀγαμέμνονα ὑπὸ τῆc Ἥραc, καὶ cυμβουλεύει μηδαμῶc περὶ θανάτου διανοεῖcθαι τοῦ βαcιλέωc (A 207—214), κἀκεῖνοc cυναινεῖ χρῆναι cυμβουλεύουcι θεοῖc
25 πεπεῖcθαι (A 216 sqq.). cώζεcθαι οὖν ἔδει τὸν Ἀγαμέμνονα διὰ πάντων, ἵνα καὶ τὰ ἀπειληθέντα πληρωθῇ. καὶ οὐκ ἄδικοc ἡ ⟨e corr.⟩ κρίcιc. ὑπὲρ ὧν γὰρ λοιμωccόντων αὐτὸc τὴν ἐκκληcίαν cυνήγαγε καὶ τὸ πρόcκρουcμα ἔcχε πρὸc τὸν βαcιλέα, τούτουc οὐδαμῶc ἔcχεν ἀγανακτοῦντac ὑπὲρ αὐτοῦ ὑβριζομένου. διὸ κατ' ἀρχὰc μὲν ἐθεράπευεν
30 αὐτοὺc λέγων οὐδέ τί πω ἴδμεν ξυνήια κείμενα πολλά, λαοὺc δ' οὐκ ἐπέοικε παλίλλογα ταῦτ' ἐπαγείρειν (A 124—126). καὶ ἀπειλοῦντοc τοῦ Ἀγαμέμνονοc ἀφελεῖν τὴν Βριcηίδα, οὐ παρ' αὐτοῦ φηcιν εἰληφέναι ἀλλὰ παρὰ τῶν Ἑλλήνων· καὶ δή μοι γέραc αὐτὸc ἀφαιρήcecθαι ἀπειλεῖc, ᾧ ἔπι πόλλ' ἐμόγηcα, δόcαν δέ μοι
35 υἷεc Ἀχαιῶν (A161.162). ὕcτεροn δὲ μηδὲν αὐτῶν δυcχεραινόντων μηδ'

Longe peiore ratione excerptum:

B (f. 14ᵃ, ad μιν v. 407): *καὶ πῶς ταύτην οὐκ ᾔτει τὴν δόξαν, ὅτε, φησί, πολλὰς ἀϋπνους νύκτας ἔαυεν* ⟨*—ον* cod.⟩; *ὅτι ἡ δόξα εἰς Ἀγαμέμνονα ἀνέτρεχεν. εὐημερούντων τοίνυν τῶν οἰκείων οὐκ ἔδει χαρίτων ἀμοιβὰς αἰτεῖν, ἐπεὶ δὲ ὠργίσθη αἰτεῖ τὴν τοῦ Διὸς μεταβαλεῖν βουλήν. καὶ εἰ ἔμελλε τρέψαι τὴν τοῦ Διὸς βουλήν, κατὰ τοῦ Ἀγαμέμνονος ὡς ἀδικήσαντος ἐχρῆν τρέψαι, οὐχὶ κατὰ πάντων. ὅτι, φησί, διὰ τὴν ἀχαριστίαν αὐτῶν τοῦτο ποιεῖ καὶ ὅτι ὑβρισθῆναι παρεῖδον. τὸ δὲ μνήσασα διὰ τὴν Ἥραν· διό φησιν αἴ κέν πως ἐθέλῃσιν ἐπὶ Τρώεσσιν ἀρῆξαι* (*Α* 408).

ὥcπερ ἐπὶ τοῦ Χρύcου τὴν αὐτὴν γνώμην ἐνδειξαμένων αἰδεῖcθαι δεῖν τὸν ἱερῆα (A 23) ὅcῳ καὶ τὸν ἀριcτέα καὶ μὴ ἀτιμάζειν, εἰκότωc καί πωc ⟨καὶ πόθεν cod., quod correxi⟩ αὐτοῦ ὁμοίωc πρὸc πάνταc ἀπειλεῖ καὶ τὴν ἀφαίρεcιν κοινοποιεῖ λέγων χερcὶ μὲν οὔ τι ἔγωγε μαχέccομαι εἵνεκα κούρηc οὔτε coὶ οὔτε τῳ ἄλλῳ, ἐπεί μ' ἀφέλecθέ γε δόντεc (A 298. 299). ὥcτε καὶ ἡ μῆνιc λόγον εἶχε τὴν τιμωρίαν εἰcπραττομένη παρὰ πάντων, τῶν μὲν διὰ τῆc ἥττηc, τοῦ δὲ διὰ τῆc ὑπὲρ τῶν ἡττωμένων λύπηc.

*B f. 14ᵃ ad Αἰθιοπῆαc. Lp f. 61ᵃ, in imo marg. scrpt., c. l. Αἰθιοπῆαc.

420. διὰ τί ἡ Θέτιc οὐκ ᾤχετο πρὸc τὸν Δία ἐν Αἰθιοπίᾳ ὄντα; οὐ γὰρ δὴ πόρρω Αἰθιοπία ἦν τοῦ Ὀλύμπου· καὶ γὰρ πᾶc χῶροc ῥᾴδιοc οὔcῃ θεᾷ. ῥητέον οὖν ὅτι οὐδὲν ἀναγκαῖον ⟨ἂν ἀγκαῖον Lp⟩ ἐπείγecθαι ἐν τῇ ὀργῇ ἐκτελέcαι τὰ θυμῷ φίλα τοῦ ὠργιcμένου ἀλλὰ μᾶλλον διδόναι μετανοίᾳ ⟨μετανοίαc Lp⟩ τόπον. ἔπειτα οὐκ ἐπιτήδειοc ἦν ὁ τόποc περὶ ὧν ἔμελλε δεῖcθαι, παρόντων τῶν φίλων θεῶν τοῖc Ἀχαιοῖc, ἐπεὶ καὶ ὕcτερον οὐ παραγενομένη ἀλλ' ὑποπτεύcαcα ἡ Ἥρα ἐπίcταcθαι ἐπειρᾶτο. ὅτι δὲ παρῆcαν δηλοῖ· φηcὶ γὰρ θεοὶ δ' ἅμα πάντεc ἕποντο (v. 424). δοκεῖ δέ τιcι καὶ ὅπωc οἱ Τρῶεc αἴcθωνται τῆc μήνιδοc ὁ ποιητὴc ἐμβάλλειν τὰc ἡμέραc ταύταc, ἵνα θαρcήcαντεc ἐξέλθωcι· πρότερον γὰρ οὐκ ἐξήεcαν ἀλλ' ὅcον ἐc Cκαιάc τε πύλαc (I 354).

*B f. 14ᵃ. L f. 16ᵇ, Π. Lp f. 61ᵃ, in marg. inter. scrpt., c. l. εἰμ' αὐτή.

ἄλογον τὸ μὴ πορεύecθαι εὐθὺc εἰc τὴν ⟨om. L⟩ Αἰθιοπίαν. λύεται δὲ ἐκ τοῦ καιροῦ· τοῖc γὰρ θεοῖc εὐωχουμένοιc ἄτοπον ἐνοχλεῖν, καὶ ἄλλωc διὰ τὸ τοὺc cυμμάχουc τῶν Ἑλλήνων ἐκεῖ τυγχάνειν ⟨τυγχάνονταc L⟩.

B f. 15ᵃ ad χερνίψαντο.

449. δεῖ προcιόντα θεῷ κατὰ τὸ δυνατὸν εἰκάζειν αὐτὸν θεῷ. διὰ τί δὲ μετὰ τὸ δεῖπνον οὐ ποιεῖ τοὺc ἀνθρώπουc ἀπονίπτονταc τὰc

25 δεῖ γὰρ πρ. θ. Lp post θεῷ Lp ins.: ἀπὸ δὲ τῆc χερὸc ἑνικῆc ἐcτι χερνίψαντο 26 ἀπονίζονταc Lp

11 sqq. † B f. 14ᵇ ad *χαλκοβατὲς A* 426 (id. Lp f. 61ᵃ c. l. *χθιζός*, L f. 17ᵃ coniunct. c. schol. v. 420, c. l. *ἀγάννιφον*): ..... *οὐκ ἄπειcι δὲ εἰς Αἰθιοπίαν ἡ Θέτις, ὅτι ἐκεῖ ἦcαν οἱ Ἀχαϊκοὶ ⟨ἀχαιικοὶ B⟩ θεοί, καὶ τῷ υἱῷ καιρὸν μετανοίας ⟨μεταγνοίας L⟩ διδοῦcα καὶ αὐτοῖς τοῖς Ἕλληcι, καὶ ἵνα Τρῶες αἴcθωνται ⟨καὶ τρῶες ἔcεcθαι Lp⟩ τῆς μήνιδος καὶ τολμήcωcι ⟨τολμῆcαι Lp⟩ λοιπὸν εἰς τὴν ⟨om. L Lp⟩ μάχην.* Eadem fere Eust. p. 128, 29 sqq.

25 Ea quoque verba quae ante *διὰ τί* leguntur (*δεῖ — θεῷ*) cum quaestione cohaerere e schol. in cod. Hamburg. (p. 39) ad Od. *γ* adscripto ceterum longe peius excerpto concludendum videtur. Incipit enim ita: *διὰ τί τοὺς ἀνθρώπους πρὶν φαγεῖν ποιεῖ τὰς χεῖρας ἀπονίζεcθαι, τοὺς δὲ θεοὺς οὐδαμῶς; διὰ τί πρὸς δεῖπνον μὲν ἀπονίζονcι, μετὰ δὲ τὸν δεῖπνον οὐδαμῶς; θεοὶ μὲν οὐκ ἀπονίζονται· καθαροὶ μὲν γάρ. μετὰ τὸν δεῖπνον οὐ ποιεῖ ⟨ποίει cod.⟩ ἀνθρώπους ἀπονίζεcθαι τὰς χεῖρας ὅτι οὐδὲ κτλ.* (reliqua iis quae p. 17, 1—3 edidimus respondent, cf. schol. Od. II, p. 752 Dind.).

26 sqq. †L *A* 449 (f. 18ᵃ): *διὰ τί μετὰ τὸ ἀνελεῖν τὴν τοιαύτην δαῖταν οὐ νίπτονcι τὰς χεῖρας ἀλλὰ πρότερον, χερνίψαντο δ' ἔπειτα καὶ ὀλοχύτας ἀνέλοντο; ἔcτι δὲ ἡ λύcιc ἐκ τοῦ πράγματος· οὐ γὰρ ἦν τοιαύτη δαίτη*

χεῖρας; ὅτι οὐδὲ ὄψοις τοιούτοις ἐχρῶντο ὥcτε δεῖcθαι ἀπονίψεως καὶ ὅτι παυόμενοι τοῦ δειπνεῖν ἔcπενδον, μετὰ δὲ τὰc cπονδὰc οὐ δεῖ νίπτεcθαι. ῥητέον δὲ καὶ τοῦτο· ὅταν γὰρ λέγῃ χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχευε φέρουcα νίψαcθαι (α 136), φήcομεν· ἀλλ' οὐχὶ πρὸ τοῦ δείπνου μόνον. ἁπλῶc γὰρ τὰc ἀρχὰc μηνύcαc οὐκέτι τὰ κατὰ μέροc διέξειcιν, ὥcτε παρέκειντο τὰ χειρόνιπτρα ὅτε βούλοιντο νίπτεcθαι. καὶ γὰρ καὶ ἡ τράπεζα καὶ τὰ ἄλλα ἄχριc ὅτου βούλοιντο χρῆcθαι αὐτοῖc παρέκειτο. οὕτω καὶ τοὺc Πυλίουc ἐν τῷ κατάπλῳ Τηλεμάχου εὐωχουμένουc οὐκέτι δεδήλωκεν ὅπωc τῆc ἠιόνοc ἀπηλλάγηcαν. καὶ τὴν Ἀθηνᾶν Μέντῃ ὁμοιωθεῖcαν καὶ τὸ δόρυ δοῦcαν τῷ Τηλεμάχῳ (α 127) οὐκέτι φηcὶ πῶc τοῦτο ἀπέλαβε. καὶ τὸ τόξον εἰc κατάcκοπὴν ἀπιόντι Μηριόνῃc δίδωcιν Ὀδυccεῖ (Κ 260)· ὅπωc δὲ τοῦτο ἀπέδωκεν οὐκέτι ἐπεcημήνατο, διδοὺc τοῖc ἀκροαταῖc καθ' ἑαυτοὺc λογίζεcθαι τὰ ἀκόλουθα. καὶ πολλὰ τοιαῦτα ἔcτι γνῶναι παρ' αὐτῷ· οὐ γὰρ μόνον τί εἴπῃ, ἀλλὰ καὶ τί μὴ εἴπῃ ἐφρόντιcεν.

Lp f. 61ᵇ c. l. χερνίψαντο δ' ἔπειτα. Cf. schol. δ 52 Dind.

462. v. Ψ 259.

473. v. ad Χ 391.

477. ad Θ 1.

486. ἕρματα ἐξηγοῦνται τὰ ὑπερείcματα· γέγονε δὲ ἀπὸ τοῦ ἐνεῖρθαι καὶ ἐρηρεῖcθαι τῇ γῇ. οὕτωc οὖν καὶ τὰ ἑλλόβια ἕρματα εἴρηται παρὰ τὸ ἐνεῖρθαι· ἐν δ' ἄρα ἕρματα ἧκεν ἐυτρήτοιcι λοβοῖcι (Ξ 182). καὶ ἑρμίc (θ 278. ψ 198), ὁ κλινόποδεc, τὸ οἷον ἕρμα καὶ ἐρηρειcμένον κατὰ τῆc γῆc. καὶ ἡμεῖc δ' ἕρμα πόληοc ἀπέκταμεν (ψ 121), τὸ ἔρειcμα καὶ θεμέλιον, ἐκ τοῦ ἐρηρεῖcθαι ἐν τῇ ἔρᾳ. καὶ

*B f. 16ᵃ ad ἕρματα. L f. 19ᵃ, Π. Lp f. 62ᵇ c. l. ἕρματα.

2 παυcάμενοι Lp τὰc om. Lp 3 ἀπονίζεcθαι Lp 4 post φέρουcα Lp ins.: καλῇ χρυcείῃ ὑπὲρ ἀργυρέοιο λέβητοc post φήcομεν Lp ita: οὐκ εἰc τὸ νίψαcθαι προ τ. δ. μ. 6 οὐκ ἐπὶ B ἐπέξειcιν Lp παρέκειτο Lp 8 χρήcαcθαι Lp παρέκειτο om. Lp 9 ὅπωc ἐκ τῆc ἠιόνοc ἀναcτάντεc ἀπ. Lp 10 τ. ἀθ. μὲν τὴν ὁμειωθεῖcαν, sprascrpt. o, Lp 11 τῷ om. Lp οὐκέτι ὅπωc τοῦτο ἀπιοῦcα ἀπ. Lp ἀντέλαβε B 12 δίδωcι μηρ. ὁδ. Lp 14 παρ', ρ ε corr., B 19 L c. l. ὑπὸ δ' ἕρματα μακρὰ τάνυccαν incipit: ἐξηγοῦνται τὰ ὑπερ. ἀπὸ γὰρ τοῦ ἐνεῖρθαι καὶ ἐρηρ. τῇ γῇ γέγονεν 20 ἑλλώβια L 21 ἐν δ' ἄρα δ' ἕρματα Lp 22 καὶ ἕρμα ὁ κλ. Lp 24 τῆc om. L δὲ ἕρμα B πόλιοc L

ὥcτε δέεcθαι ἐπινίψεωc ἄλλωc τε ὅτι καὶ παυόμενοι τοῦ δείπνου ἔcπενδον· μετὰ γὰρ τὸ δειπνῆcαι οὐκ ἦν θεμιτόν.

19 sqq. Quae h. l. cod. Leid. auctoritatem secuti inter Porphyriana retulimus veri simile est e quaestione derivata esse ad Δ 117 instituta, cuius vestigia et apud Eust. Δ p. 451, 31 (*ἔcτι δὲ λύοντα τὰ τοιαῦτα εἰπεῖν κτλ.*) et Apollon. v. *ἕρμα* exstant (*ὁ δὲ Cιδώνιοc βοηθῶν τῷ λεγομένῳ κτλ.*) — Eadem fere quae h. l. in nostris codicibus exstant Manuel Moschopulus, p. 719, 28 Bachm., in usum suum convertit.

24— p. 18, 2 *τὸ ἔρειcμα — ἔερτο* a Porph. abiudicavit Kammer, Porph. schol. Homerica emendatiora, (diss.) Regim. 1863, p. 34.

ὅρμος δὲ ὁ περιδέραιος κόσμος· χρύσεον ὅρμον ἔχων (ο 460), εἶτ' ἐτυμολογεῖ· μετὰ δ' ἠλέκτροισιν ἔερτο.

•B f. 16ᵇ ad κατανεύσομαι. L f. 20ᵇ, Π, c. l. εἰς τὸ εἰ δ' ἄγε τοι κατανεύσομαι.

524. διὰ τί ὑποσχόμενος ὁ Ζεὺς τῇ Θέτιδι ἐπικρατεστέρους ποιῆσαι τοὺς Τρῶας οὐκ εὐθὺς τοῦτο τελεῖ, πολὺν δὲ φόνον πρότερον ἐπιτρέψας τῶν Τρώων γενέσθαι, ὡς εἰπεῖν τὸν ποιητήν· 5

ἔνθα κεν αὖτε Τρῶες ἀρηιφίλων ὑπ' Ἀχαιῶν
Ἴλιον εἰσανέβησαν ἀναλκείῃσι δαμέντες (Ζ 73. 74),

τότε τῇ ὑποσχέσει προστίθεται; ῥητέον δὲ ὅτι τῶν ὅρκων παρὰ τῶν Τρώων συγχυθέντων τιμωρίαν δοῦναι πρότερον τοὺς παραβάντας ἠξίωσεν· καὶ πολλῶν διὰ τοῦτο ἀνῃρημένων, ὡς εἰς ἀπόγνωσιν τῶν πραγμάτων ἀφικέσθαι καὶ βουλὰς τοῦ δεῖν ἀπογνῶναι τὴν Ἑλένην, τότε λυσάντων τῶν Ἑλλήνων τὴν παράβασιν ἐκ τοῦ μὴ δέξασθαι τὰ πεμφθέντα ἐκ τῆς Ἰλίου ἐπαγγέλματα διὰ τοῦ Ἰδαίου ἔχοντα οὕτως (Η 386 sqq.)· 10

ἠνώγει Πρίαμός τε καὶ ἄλλοι Τρῶες ἀγαυοὶ 15
εἰπέμεν, αἴ κέ περ ὔμμι φίλον καὶ ἡδὺ γένοιτο,
μῦθον Ἀλεξάνδρου, τοῦ εἵνεκα νεῖκος ὄρωρε·
κτήματα μὲν ὅσ' Ἀλέξανδρος κοίλῃς ἐνὶ νηυσὶν
ἠγάγετο Τροίηνδ', ὡς πρὶν ὤφελλ' ἀπολέσθαι,
πάντ' ἐθέλει δόμεναι καὶ ἔτ' οἴκοθεν ἄλλ' ἐπιθεῖναι· 20
κουριδίην δ' ἄλοχον Μενελάου κυδαλίμοιο
οὔ φησιν δώσειν, ἦ μὴν Τρῶές γε κέλονται·

τοιαύτης γὰρ πρεσβείας ἀφιγμένης προστίθησιν ὁ Διομήδης (Η 400 sqq.)

μήτ' ἄρ τις νῦν κτήματ' Ἀλεξάνδροιο δεχέσθω
μήθ' Ἑλένην· γνωτὸν δέ, καὶ ὃς μάλα νήπιός ἐστιν, 25
ὡς ἤδη Τρώεσσιν ὀλέθρου πείρατ' ἐφῆπται,

ἔπειτα τῶν Ἑλλήνων συμψήφων γενομένων — ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἐπίαχον υἷες Ἀχαιῶν, μῦθον ἀγασσάμενοι Διομήδεος ἱπποδάμοιο (Η 403. 4) —, καὶ τότ' Ἀγαμέμνονος εἰπόντος·

Ἰδαί', ἤτοι μῦθον [Ἀχαιῶν] αὐτὸς ἀκούεις, 30
ὥς τοι ὑποκρίνονται, ἐμοὶ δ' ἐπιανδάνει οὕτως (Η 406. 7),

καὶ διὰ πάντων, τῶν τε ἀρίστων καὶ τοῦ βασιλέως τοῦ τε ὄχλου, διελθόντος, ὅτι μηδ' ἐμμένουσι τοῖς ὅρκοις καὶ ἀποδιδοῦσι τὴν Ἑλένην καὶ

1 ἕρμα pro ὅρμος L περιδόραιος L ἕρμα pro ὅρμον L 2 δὴ λέκτροισιν BLp δὴ λέκτροισιν ἕορτο L, corr. Vill. 3 B praemittit ἀπορία · 7 ἀναλκείοισι L 9 πρότερον δοῦναι L 13 διὰ τοῦ Ἰδαίου ἐπαγγέλματος L 15 ἀγαβοί L 16 εἰπέμεν (suprascript. αι) εἰέπερ L 18 post ἀλέξανδρος B ras. sex fere litter. 19. 20 ὤφελλεν ἀπ.....ἐθέλει δόμεναι B 20 ἄλλα L 21 δ' om. L 22 ἦν φησὶν δώσειν L 23 γὰρ ..... φιγμένης B 25 post ἐστιν in L schol. ad A 520 pertinens sequitur (de αὕτως): ὡς μάτην ψευδῶς κτλ. Quo et aliis quibusdam interiectis, f. 21ᵇ rursus quaestio Porphyr. (lin. 26): δὴ τρώεσσιν 28 ἀγασάμενοι L 30 ἰδαίων L Ἀχαιῶν om. codd. 32 καὶ τοῦ ὄχλου L 33 ἀποδιδόασι codd.

3 sqq. Cf. Porph. Θ 5.

τὰ κτήματα καὶ ὅσα ὡμολογήθη χρὴ πείθεσθαι, ἀλλὰ μόνον πολεμεῖν, συνέβη λύσιν γενέσθαι τῶν ὁρκίων καὶ τὴν ἐπιορκίας δυνάμει ἄφεσιν. οὗτοι γὰρ οὐκ εἰς ἀπαίτησιν τῆς Ἑλένης κατὰ τοὺς ὅρκους ἐτράπησαν, εἰς δὲ παραίτησιν μὲν ταύτης, πολέμου δὲ παρασκευήν· ὅθεν καὶ τεῖχος
5 ταῖς ναυσὶ περιβάλλοντες φαίνονται, τοὺς μὲν ὅρκους ἐάσαντες, πρὸς ἄλλα δὲ τραπόμενοι. διὸ καὶ ἐπιλέγει ὁ Ἀγαμέμνων (H 411)

ὅρκια δὲ Ζεὺς ἴστω, ἐρίγδουπος πόσις Ἥρης,

ἀνελὼν τὸ δεῖν τούτοις ἐμμένειν καὶ ἐπιτρέψας αὐτοὺς τῷ Διί. ἀνῃρημένου τοίνυν Πανδάρου τοῦ τοὺς ὅρκους παραβάντος (Є 290 sqq.)
10 καὶ θυσιῶν καὶ λιτανειῶν γεγονυιῶν καὶ ἐπιστροφῆς πρὸς τοὺς ὅρκους διὰ τοῦ ὁμολογεῖν καὶ λέγειν (H 350 sqq.)·

δεῦτ' ἄγετ', Ἀργείην Ἑλένην καὶ κτήματ' ἄμ' αὐτῇ
δώομεν Ἀτρείδῃσιν ἄγειν, νῦν δ' ὅρκια πιστὰ
ψευσάμενοι μαχόμεσθα, τῷ οὔ νύ τι κέρδιον ἡμῖν
15 ἔλπομαι ἐκτελέεσθαι, ἵνα μὴ ῥέξομεν ὧδε,

καὶ εἰκότως καὶ ἧττα γίνεται ὑπὲρ τοῦ μὴ ἐκτελεσθῆναι τὰ εἰρημένα καὶ παύεται ἡ ἐκ τῆς παραβάσεως μῆνις, τῶν Ἑλλήνων ἀρνησαμένων τὴν κατὰ τοὺς ὅρκους γινομένην ἀπόδοσιν καὶ εἰς πόλεμον παρεσκευασμένων.

526. ταῦτα παιδευτικὰ πρὸς πίστιν. τὰς δὲ αἰτίας εἶπε, δι' ἃς οὐ
20 τελοῦμεν τὰς ὑποσχέσεις· ἢ μετανοήσαντες, ὅπερ ⟨ὃ L⟩ δηλοῖ τὸ παλινάγρετον, ἤτοι τὸ εὐμετάτρεπτον ⟨om. haec tria verba Lp⟩, ἢ παραλογιζόμενοι τοὺς δεηθέντας, ὅπερ ἐν τῷ ἀπατηλῷ νοεῖται, ἢ οὐ δυνηθέντες ἐκτελεῖν ⟨ἐπιτελεῖν Lp⟩ τὰς ὑποσχέσεις, ὅπερ εἶχε τὸ ἀτελεύτητον ⟨add. L: ἐκ δὲ τοῦ μέγαν δ' ἐλέλιξεν Ὄλυμπον ἐδήλωσεν
25 κτλ., quae in B et Lp recte nov. schol. ad v. 530 pertinens efficiunt⟩.

B f. 17ᵃ ad παλινάγρετον. L f. 19ᵇ, Π. Lp f. 63ᵃ c. l. οὐ γὰρ ἐμὸν παλινάγρετον.

544. quod ad h. v. in codicibus legitur scholium omisi; B (f. 17ᵃ ad πατήρ) enim et L (f. 21ᵃ) ita incipiunt: τὸν Δία μόνον τῶν θεῶν οὕτως καλεῖ ὅτι κτλ., Lp (f. 63ᵇ) vero: διὰ τὸν Δία κτλ., ita ut litterae δια per errorem bis positae esse videantur. Quali e dittographia facillime oriri potuit quaestionis forma quam unus cod. A
30 (f. 22ᵇ) exhibet: διὰ τί τὸν Δία κτλ.

592. πῶς τῶν ἄλλων θεῶν ἀπὸ τοῦ οὐρανοῦ φερομένων ῥιπῇ, Ἥφαιστος δι' ὅλης ἡμέρας φέρεται; φαμὲν οὖν ὅτι πᾶν δ' ἦμαρ οὐ

B f. 18ᵇ ad πανδήμαρ.

2 λῦσιν B (vid.) ὅρκων L 3 ἐτράποντο L 6 διατραπόμενοι, om. δέ, L 7 ἥρας L 13 δώημεν L ἄγειν evan. B 14 μαχόμεθα L οὔ νύ τοι BL ὑμῖν L 15 ῥέξωμεν B 16 prius καὶ om. L ἧττα L e corr. 32. 33 θεῶν post φερομένων L πῶς τ. ἀλλ. θ. οὐ κινήσει ἀπὸ τ. οὐρ. φερομένων ἐπὶ γῆς, Ἥφαιστος κτλ. Lp 33 πανδήμαρ corr. e πᾶν δ' ἦμαρ B ὅτι πανήμαρ L ὅτι τὸ πανήμαρ Lp

19 sqq. Diple v. 526 appicta a schol. Ariston. ita explicatur: *ὅτι περιώρικε τοὺς τρόπους*. Quae in altero schol. A leguntur Porphyrianis simillima *διὰ τοῦ παλινάγρετον ἐσήμανεν ὅτι βέβαιός ἐστιν κτλ.* (cf. Eust. p. 144, 26) quam originem habeant non constat.

33 Aristarchi sententia (v. Lehrs, Ar. p. 151) male reddita.

L f. 23ª. Lp f. 64ᵇ c. l. πᾶν δ' ἦμαρ φερόμην.

δηλοῖ τὸν ἀπὸ πρωίας μέχρις ἑσπέρας καιρόν, ἀλλὰ τὴν πελάζουσαν τῇ νυκτὶ ὥραν, ὡς καὶ ἀλλαχοῦ· οἱ δὲ πανημέριοι μολπῇ θεὸν ἱλάσκοντο (A 472) καὶ τὰ ἑξῆς, πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα δαίνυντο (A 601).

B f. 18ᵇ ad θυμὸς. L f. 23ª. Lp f. 64ᵇ c. l. ὀλίγος δ' ἔτι θυμὸς ἐνῆεν.

594. εἰ ἐλαττοῦται, φασί, τὸ θεῖον, καὶ τέλεον ἐπιλείψει, ἀγνοοῦντες ὅτι πολλαὶ τῶν ἐν τῷ κόσμῳ φύσεις μειοῦνται μὲν οὐκ ἐκλείπουσι δὲ τέλεον. καὶ γὰρ καὶ αὐχμῶν πλεοναζόντων μειοῦται τὸ ὑγρὸν ἀλλ' οὐκ ἐπιλείπει. καὶ Ἄρης· μόγις δ' ἐσαγείρατο θυμόν (Φ 417).

B

1. Vat. ζητ. ις'. Γελοίως ὁ Ἀπίων ἱπποκορυστὰς ἀποδέδωκε τοὺς κόρυθας ἔχοντας ἱππείαις θριξὶ κεκοσμημένας. εἰ γὰρ παρὰ τὴν κόρυν συνέκειτο, ἱπποκόρυθος ἂν ἐλέγετο. νῦν δὲ σημαίνει τὸν ἔφιππον ὁπλίτην· κορυστὴς γὰρ ἀπὸ μέρους ὁ ὁπλίτης καὶ μαχητής· πρῶτος δ' Ἀντίλοχος Τρώων ἕλεν ἄνδρα κορυστήν (Δ 457). καὶ τὸν Ἄρεα δὲ ἔφη χαλκοκορυστήν· Ἀργεῖοι δ' ὑπ' Ἄρηι καὶ Ἕκτορι χαλκοκορυστῇ (Ε 699), ᾧ τὸν ὁπλίτην σημαίνει καὶ ἀντίθετον τῷ ἱπποκορυστής. ἐκ δὲ τοῦ κορύεσθαι, ὃ πλεονασμῷ τοῦ θ ἔφη κορθύεσθαι, δὲ τοῦ κορύεσθαι, ὅπερ ἐν πλεο-

Δ 457 *B f. 60ᵇ, L f. 89ª, Lp f. 100ª. Γελοίως ὁ Ἀπίων τοὺς ἱπποκορυστὰς ἀπέδωκε τοὺς κόρυθας ἔχοντας ἱππείαις θριξὶ κεκοσμημένας. εἰ δὲ παρὰ τὴν κόρυν συνέκειτο, κἂν ἱπποκόρυθες ἐλέγοντο. νῦν δὲ σημαίνει τὸν ἔφιππον ὁπλίτην. κορυστὴς γὰρ ἀπὸ μέρους ὁπλίτης καὶ μαχητής· ὥς ῥα τὸν ὑψοῦ ἔχοντε δύο Αἴαντε κορυσταί (N 201). καὶ τὸν Ἄρεα δὲ ἔφη χαλκοκορυστήν· Ἀργεῖοι δ' ὑπ' Ἄρηι καὶ Ἕκτορι χαλκοκορυστῇ, τὸν ὁπλίτην σημαίνων καὶ ἀντίθετον τῷ ἱπποκορυστῇ. ἐκ δὲ τοῦ κορύεσθαι, ὅπερ ἐν πλεο-

1 ἕως ἑσπέρας Lp 3 πρόπαρ Lp 5 Lp inc.: ὀλίγη δὲ ἰσχὺς ἐνῆν μοι. εἰ ἐλ. κτλ. φησὶ L ἀγνοοῦσι Lp ἀγνοεῖ τις L 6 τῶν om. Lp τῶν ἑνωθέντων τ. κ. φύσεις L μειοῦσθαι μὲν πεφύκασιν Lp ἐλλείπουσι BL 7 γὰρ καὶ om. Lp αὐχμῶν, ω in ras., B 8 μόγις δ' ἐς ἀγορήσατο θυμόν L

9ª In cod. Vatic. haec quaestio per errorem aeque atque superior quinta decima (ιε') numeratur 12ª [εἰ] γὰρ περὶ V¹, εἰ γὰρ παρά V² mg. κόρην V 14ª ἔφιππον ex ἐφ' ἵππων V² 15ª [κορυστὴς] V¹, κορυστὴς V² mg. 16ª πρῶτα V 20ª [ἐκ]τορι V¹, ἐκ V² mg.

9ᵇ B ad κορυστήν, Lp c. l. ἄνδρα κορυστήν, L c. l. πρῶτος δ' Ἀντίλοχος Τρώων ἕλεν ἄνδρα κορυστήν, qui ita incipit: ὥς ῥα τὸν ὑψοῦ ἔχοντε κτλ. lin. 18 13ᵇ κεκοσμημένους. εἰ δὲ περὶ τὴν κόρυν Lp 15ᵇ τὸ ἐφ' ἵππων ὁπλῖται BLp 18ᵇ κορυστά L 23ᵇ τὸ ἱπποκορυστής L

5 sqq. Cf. Eust. *A*, p. 158, 25: *τὸ δὲ ὀλίγος θυμὸς ἐνῆεν ἔχει μὲν ἀκόλουθόν ποτε τὸ καὶ θανεῖν ἂν τὸν Ἥφαιστον ὀλιγούμενον. λύεται δὲ καὶ ἄλλως μὲν τῷ μὴ ἐξ ἀνάγκης ἀεὶ τῇ ὀλιγώσει φθορὰν ἐπακολουθεῖν, μάλιστα δὲ ἀλληγορικῶς κτλ.* (cf. Cram. A. P. III, p. 145, 19). — Quae ad v. 594 de Sintibus traduntur ad Paralipomena potius quam ad Quaestiones referenda videntur (v. Herm. XIV, p. 249).

ἥ τε περικεφαλαία κόρυς, καὶ κορύνη ἀμυντήριον ἐκ κεφαλῆς ῥοπὴν ἔχον καὶ βάρος, παρ' ὃ καὶ ῥόπαλον λέγεται, καὶ κορυνήτης ὁ τῇ κορύνῃ χρώμενος. ἔμπαλιν δὲ τὸ εἰς τὸ σκηρίπτεσθαι ἐπιτήδειον ξύλον σκηπάνιον καὶ σκῆπτρον. ὡς καὶ ἐπὶ τοῦ δόρατος, ᾧ καταχρῶνται εἰς τὸ σκηρίπτεσθαι, φησὶ στῆ δ' ἄρ' ἐπὶ μελίας χαλκογλώχινος ἐρεισθείς (Χ 225), οὕτω καὶ ἐπὶ τοῦ ῥοπάλου, ὅτε λέγει δὸς δέ μοι, εἴ ποθί τοι ῥόπαλον τετμημένον ἐστί, σκηρίπτεσθαι (ρ 195). ἐν δὲ τῷ ἱπποκορυστῆς δύναται ἡ ἵππου γενικὴ συγκεῖσθαι ἀντὶ τοῦ ἱππεύς, ὡς τὸ ὀτρύνων ἵππους τε καὶ ἀνέρας ἀσπιδιώτας (Π 167)· τοὺς γὰρ ἵππους τοῖς ἀσπιδιώταις ἀντιθείς, ἤτοι πεζοῖς ὁπλίταις, ἐμήνυσεν ὅτι ἀντὶ τῶν ἱππέων τοὺς ἵππος ἔφη. ᾧ τρόπῳ καὶ ἐν τῇ συνηθείᾳ φαμὲν ἡ τῶν Περσῶν ἵππος ἐνίκησεν, ἤγουν οἱ ἱππεῖς· ἡγεμονικώτεροι δὲ τῶν πεζῶν οὗτοι. διὸ ὀτρύνει ἵππους τε καὶ ἀνέρας. καὶ τὸ εὔδειν οὖν ἀνέρας ἱπποκορυστὰς κατ' ἐπικράτειαν εἰρημένον δηλοῖ οὐ μόνον ἱππεῖς ἀλλὰ καὶ πεζοὺς καὶ οὐκ ἄνδρας μόνον ἀλλὰ καὶ γυναῖκας καθεύδειν.

νασμῷ τοῦ θ ἔφη κορύθεται, ἥ τε περικεφαλαία κόρυς, καὶ κορύνη ἀμυντήριον ἐκ κεφαλῆς ῥοπὴν ἔχον καὶ βάρος, παρ' ὃ καὶ ῥόπαλον λέγεται, καὶ κορυνήτης ὁ τῇ κορύνῃ χρώμενος. ἔμπαλιν δὲ τὸ εἰς τὸ σκηρίπτεσθαι ἐπιτήδειον ξύλον σκηπάνιον καὶ σκῆπτρον. καὶ ἐπὶ τοῦ δόρατος τοῦ ἐπερεισθέντος τῇ γῇ οὔδει ἐνισκίμφθη (Π 612)· ὥσπερ δὲ ἐπὶ τοῦ δόρατος καταχρῶνται εἰς τὸ σκηρίπτεσθαι· στῆ δ' ἄρ' κτλ. ⟨ut Vat.⟩, οὕτως ἐπὶ τοῦ ῥοπάλου, ὅταν λέγῃ δὸς δέ μοι — ἐστί ⟨ut Vat.⟩, ὥστε σκηρίπτεσθαι. ἐν δὲ τῷ ἱπποκορυστῆς δύναται ἡ ἵππου γενικὴ συγκεῖσθαι ἀντὶ τοῦ ἱππεύς, ὡς τὸ ἐν δ' ἄρα τοῖσιν ἀρήιος ἵστατ' Ἀχιλλεὺς ὀτρύνων ἵππους καὶ ἀνέρας ἀσπιδιώτας· τοὺς γὰρ ἵππους τοῖς ἀσπιδιώταις ἀνδράσιν ἀντιτιθείς, τουτέστι τοῖς ὁπλίταις, ἐμήνυσεν ὅτι ἀντὶ τῶν ἱππέων τοὺς ἵππους ἔφη. ᾧ τρόπῳ καὶ ἐν τῇ συνηθείᾳ λέγομεν ἡ ἵππος τῶν Περσῶν ἐνίκησεν, ἀντὶ τοῦ οἱ ἱππεῖς· ἡγεμονικώτεροι δὲ τῶν πεζῶν οὗτοι. διὸ ὀτρύνει ἵππους τε καὶ ἀνέρας. καὶ τὸ εὔδειν οὖν ἀνέρας ἱπποκορυστὰς κατ' ἐπικράτειαν εἰρημένον δηλοῖ· οὐ μόνον οἱ ἱππεῖς ἀλλὰ καὶ οἱ πεζοὶ οὐδ' οἱ ἄνδρες μόνον ἀλλὰ καὶ αἱ γυναῖκες ἐκάθευδον.

1ᵃ sqq. E Vaticano nihil notandum.
4ᵇ ῥούπαλον L 7 ξῦλον B 10 ἐνισκήφθη codd. 16 ἡ om. codd. 18 ἱππεῖς pro ἱππεύς BLp αὐτῷ τοῦ ἱππεῖς L 22 ἀσπιδιῶτας BLp ἀνατιθεὶς L 24 ὅτι ἂν τῶν ἱππέων Lp 27 οἱ om. L, qui deinde verba ἡγεμονικώτεροι δὲ — ἱππεῖς (27—32) om.

---

21 sqq. † B f. 216ᵇ ad *ἵππους Π* 167 (id. Lp f. 253ᵇ c. l. *ἀνέρας ἀσπιδιώτας*): *τοὺς ἱππέας* ⟨*ἱππέας* Lp⟩, *ὡς φαμεν νικᾶν τὴν ἵππον τῶν πολεμίων. ὅθεν ἀντέταξεν αὐτῷ τὸ ἀσπιδιώτας*. Reliqua aliunde addita sunt.

*B f. 19ᵃ ad νήδυμος. L f. 24ᵇ, Π (inde a lin. 17).

2. ἀγνοοῦσί τινες οἱ τὸν νήδυμον ὕπνον ἀποδιδόντες τὸν ἡδύν. ἔστι δὲ νήδυμος ὁ μὴ δύνων μηδὲ περιεχόμενος ἀλλ' αὐτὸς περιέχων. ἐξηγήσατο γὰρ τὴν λέξιν εἰπὼν νήδυμος ἀμφιχυθείς (Ξ 253). καὶ αὐτὸς ὁ Ὕπνος φησὶν ὄφρ' ἔτι εὕδει Ζεύς, ἐπεὶ αὐτὸν ἐγὼ μαλακὸν περὶ κῶμα κάλυψα (Ξ 359). καὶ ἔτι· περὶ δ' ἀμβρόσιος κέχυθ' ὕπνος (B 19)· τοῖσι δ' ἐφ' ὕπνον ἔχευε διάκτορος Ἀργειφόντης (Ω 445). διὸ καὶ οὕτως λέγει· οὐδέ μιν ὕπνος ἥρει πανδαμάτωρ (Ω 4).

τὸ δὲ νῆ στερητικὸν καὶ ἐν τῷ νήγρετος ἥδιστος θανάτῳ ἄγχιστα ἐοικώς (ν 80). καὶ ἐπ' ἄλλων δὲ περιεχόντων καὶ κατειληφότων τὸ ὅλον λέγει· ἀμφὶ δέ μιν θάνατος χύτο (Π 114)· τὸν δ' ἄχεος νεφέλη ἐκάλυψεν (P 591)· θείη δέ μιν ἀμφέχυτ' ὀμφή (B 41)· θεσπεσίην δ' ἄρα τῷ γε χάριν κατέχευεν [Ἀθήνη (β 12). κέχρηται] δὲ τῇ συνθέσει τῆς λέξεως καὶ ἐν τῷ λιμένες δ' ἔν[ι ναύ]λοχοι αὐτῇ ἀμφίδυμοι (δ 846), δύο λέγων εἰς οὓς ἔστι δύνειν. ὅθεν καὶ οἱ δίδυμοι, δύο ἐκ μιᾶς [καταδύσεως τῆς γαστρός].

ἐναντίον δὲ δοκεῖ τὸ Δία δ' οὐκ εἶχε νήδυμος ὕπνος τῷ ἔνθα καθεῦδ' ἀναβάς. λύοιτο δ' ἂν κατὰ λέξιν· καὶ γὰρ τὸ καθεύδειν ἐνίοτε δηλοῖ τὴν ψιλὴν κατάκλισιν ἐπὶ τῆς εὐνῆς, εἴπερ καὶ τὸ κοιμηθῆναι καὶ τὸ ἰαύειν. οὐ γὰρ ἂν ἔλεγεν· ὣς καὶ ἐγὼ πολλὰς μὲν ἀύπνους νύκτας ἴαυον (I 325), καὶ πάλιν· Εὐρυνόμη δ' ἄρα οἱ χλαῖναν βάλε κοιμηθέντι· [ἔνθ' Ὀδυσεὺς μνηστῆρσι κακὰ φρονέων ἐνὶ θυμῷ κεῖτ' ἐγρηγορόων (υ 4—6)]. τὸ δὲ παν-

---

4 ὄφρα ἔτι Ζεὺς ἐπεὶ B 13. 14 Ἀθήνη et κέχρηται Dindorfium secutus dedi, in codice detrita sunt 15 ι ναύ in cod. detrita 16 καταδύσεως τῆς γαστρός in cod. detrita, supplenda e schol. infra (ad lin. 16) collato 17 L ita incipit: ἐναντία δοκεῖ ταῦτα· ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες ἱπποκορυσταὶ εὗδον παννύχιοι Δία δ' οὐκ εἶχε νήδυμος ὕπνος τῷ ἔνθα καθεῦδ' ἀναβὰς πάρα δὲ χρυσόθρονος Ἥρη. λύοιτο δ' ἂν κτλ. 18 λύοιτο δὲ κ. λ. B 19. 20 καὶ τὸ — ὣς καὶ in B detrita 21 ἀύπνους om. L 21. 22 εὐρυν. γὰρ δ' ἄρ' ἐπὶ χλαῖναν βάλλε L 22. 23 ἔνθ' — ἐγρηγορόων B L om.; sensu postulante addidi; eadem in scholio excerpto leguntur

---

1—16 Eadem breviore forma ad δ 793 in codicibus DE Dindorfii, in D quidem praescripto *Πορφυρίου* (v. Dind. schol. Od., praef. p. LIII), leguntur. Nihilominus esse in iis quae aliunde sumpta cum Porphyrianis coaluerint non negaverim.

16 *ὅθεν καὶ οἱ δίδυμοι κτλ.* cf. schol. A et B l. c. (ad *νήδυμος*): *Ἀρίσταρχός φησιν ἐκ τοῦ δύνω δύμος καὶ ἐν ἐπεκτάσει νήδυμος· ὅθεν καὶ οἱ δίδυμοι, δύο ἐκ μιᾶς καταδύσεως τῆς γαστρός* .... (id. Lp f. 65ᵃ).

18—p. 23, 3 †B l. c. ad *ἔχε B 2* (id. Lp f. 65ᵃ c. l. *Δία δ' οὐκ ἔχε*): *καὶ πῶς φησιν ἔνθα καθεῦδ' ἀναβάς; λύοιτο δ' ἂν κατὰ λέξιν· τὸ γὰρ εὕδειν ἰαύειν κεῖσθαι, καὶ ἐπὶ ψιλῆς ἀνακλίσεως λαμβάνονται, οἷον* ⟨om. Lp⟩ *πολλὰς μὲν ἀύπνους νύκτας ἴαυον· καὶ Εὐρυνόμη δ' ἄρ' ἐπὶ χλαῖναν βάλε κοιμηθέντι* ⟨om. h. vers. B⟩· *ἔνθ' Ὀδυσεὺς μνηστῆρσι* ⟨*ἔνθα δ' Ὀδυσσεὺς*

νύχιοι ἐστὶ δι' ὅλης νυκτός, ὥστ' ἐγχωρεῖ τὸν μὲν διὰ μέρους ὑπνῶσαι τοὺς δὲ δι' ὅλης. τὸ δὲ νήδυμος ὕπνος ἐστὶ βαθύς, ὥστε δύναιτ' ἂν ὑπνῶσαι μὲν μὴ βαθεῖ δὲ ὕπνῳ.

8 sqq. ἀποροῦσι πῶς καὶ ὁ Ζεὺς οὐκ ἀληθεύει, ὑπισχνούμενος νῦν γάρ κεν ἕλοι πόλιν εὐρυάγυιαν (v. 12), καὶ ὁ Ἀγαμέμνων ἀπατᾶται καὶ ὁ ὄνειρος ὀλοός. ὀλοὸς μὲν οὖν ὁ ὄνειρος, ὅτι οὐ σαφής, Ἀγαμέμνων δὲ νήπιος, ὅτι ἀφροσύνης ἡ ἀπάτη γίνεται· τὸ γὰρ νῦν κεν ἕλοι Πριάμοιο πόλιν εἰς μίαν περιέστησε ⟨?, περϊέστη, suprascript. η, cod.⟩ ἡμέραν. καὶ ὅτι οὕτως ὑπέλαβε καὶ ἤκουε τὸ νῦν δηλοῖ τὸ ἐπιρρηθὲν αὐτῷ· φῇ ⟨φή.., duae litt. eras.,⟩ γὰρ ὅγ' αἱρήσειν Πριάμου πόλιν ἤματι κείνῳ νήπιος (v. 37). Ζηνόδοτος δὲ παριστὰς τὴν τοῦ Διὸς ἀλήθειαν φησὶ κατ' ἐκείνην ἑαλωκέναι τὴν ἡμέραν τὴν Ἴλιον· ὅτε γὰρ οἱ ὅρκοι συνεχύθησαν, ἡ πόλις ἀπώλετο· ἐν γὰρ τῷ παρασπονδῆσαι ⟨παρασπονδίσαι cod.⟩ τὸ μηκέτι σωθῆναι κατεψηφίσθη. Ἀπίων δέ φησιν ὅτι πρότερον ἐνδοιάζων ὁ Ζεὺς κατ' ἐκείνην τὴν ἡμέραν ἐπέτρεψε τῇ Ἥρᾳ τὸν τῆς Τροίας ὄλεθρον· διὸ καὶ κατῆλθεν ἡ Ἀθηνᾶ, τῇ τῶν ὅρκων ἀνατροπῇ συναναστρέφουσα τοὺς Τρῶας (Δ 73). ἔπειτα ἐρρήθη πανσυδίῃ ἐξάγειν τοὺς Ἕλληνας, ὁ δὲ παρῆκεν οὐ μικρὰν ⟨μικροῦ cod., corr. Vill.⟩ μερίδα τὴν τοῦ Ἀχιλλέως. πῶς οὖν ἀληθεύει καὶ ἐν τῷ ἐπέγναμψε γὰρ ἅπαντας Ἥρη λισσομένη (v. 14); καὶ τοῦτο ἀληθές· πέπεικε γὰρ ἡ Ἥρα· φησὶ γάρ·

*B f. 19ᵇ ad πανσυδίῃ (v. 12).

---

1 ἐγχωρεῖ B detrit. διὰ μέρος B 2 δι' ὅλης — ἐστὶ B detrit.

μηστῆρσι Lp⟩ *κακὰ φρονέων ἑνὶ θυμῷ κεῖτ' ἐγρηγορόων. ἢ οἱ μὲν ἄλλοι παννύχιοι εὗδον, Ζεὺς δὲ οὐ παννύχιος ⟨ὁ δὲ ζ. οὐ πανν.* Lp, *addens ἀλλ' ἐπ' ὀλίγον⟩.* Sequuntur in B verba ex altero fonte petita: *διδαχὴ δέ ἐστιν ὅτι καὶ θεοῖς πρὸς σκέψιν εὔθετον νὺξ κτλ.*

†A f. 24ᵃ *B* 2 (id. L f. 24ᵃ): *πῶς ἐν τῇ Α εἰπὼν ⟨εἰπόντα* L⟩ *τὸν Δία καθεύδειν νῦν φησι Δία δ' οὐκ ἔχε ⟨εἶχε* L⟩ *νήδυμος ὕπνος; λέγομεν δὲ ⟨*om. L⟩ *ἡμεῖς ὅτι ἐκάθευδε μὲν ἀλλ' ἐπ' ὀλίγον ἐκαθεύδησε καὶ ⟨*om. L⟩ *οὐ διὰ πάσης τῆς νυκτὸς ὡς οἱ ἄλλοι, μεριμνῶν ⟨ὡς καὶ οἱ ἄλλοι καθεύδουσιν* L⟩.

4 Cf. Plat. rp. II, p. 383 A.

7 † B f. 20ᵃ ad *νήπιος B* 38 (id. Lp f. 65ᵇ c. l. *νήπιος*): *νήπιος ⟨*om. Lp⟩ *ὁ Ἀγαμέμνων, ὅτι τὸ νῦν ἐπὶ μιᾶς ἡμέρας ἐνόμισεν.*

11 sqq. † B f. 19ᵇ ad *νῦν B* 29 (id Lp f. 65ᵇ c. l. *νῦν γάρ κεν*): *ἐκείνη γὰρ ἡ ἡμέρα πεπόρθηκε τὴν πόλιν διὰ τὴν τῶν ὅρκων παράβασιν.*

18 † Paris. 2556 *B* 12 ap. Cramer., An. Par. III, p. 147 (c. l. *πανσυδίῃ*): *....ζητεῖται διὰ ποίαν αἰτίαν ψευδόμενον παρεισάγει ὁ ποιητὴς κατὰ τὴν ἐπαγγελίαν τῆς Ἰλίου πορθήσεως τὸν Δία; καί φαμεν ὅτι οὐ ψεύδεται ἀλλ' Ἀγαμέμνων πεπλάνηται· ὁ μὲν γὰρ ἔφη θωρῆξαί ἑ κέλευε πανσυδίῃ, ὁ δὲ τὸ μέγιστον μέρος παραλιπὼν τὴν Ἀχιλλέως συμμαχίαν εἰκότως τῆς ἐλπίδος ἐσφάλη, μὴ νοήσας τὰς του θεοῦ φωνάς.* Idem fere ibid. p. 146, 11 et cod. 2767 ibid. p. 187, 19. Respicit hanc solvendi rationem Proculus ad Plat. Remp., p. 381 ed. Bas., *τοὺς ἐξηγητάς* afferens.

ὃς τότ' ἔμοιγε καὶ Ἥρῃ στεῦτ' ἀγορεύων Τρωσὶ μαχήσεσθαι (Ε 832). τὸ οὖν νέφος τοῦ Ἄρεως ἔταξε κατὰ πλήθους.

*B f. 19b, cohaerens cum scholio ad Γ 98 sqq. edendo.

ἀπρεπὲς δὲ τὸ λέγειν πανσυδίῃ· νῦν γάρ κεν ἕλοι ⟨ἕ$^{\lambda}$ cod.⟩ Τρώων πόλιν εὐρυάγυιαν (v. 12). τὸ γὰρ ψεύδεσθαι τὸν Δία αἱρήσειν μέλλοντα τὴν πόλιν ἄτοπον. ἡ δὲ λύσις ἀπὸ τῆς λέξεως· οἱ μὲν, ὅτι τὸ νῦν δηλοῖ πλείω, ἐν οἷς περιέχεται οὐ μόνον τὸ τήμερον ἀλλὰ καὶ ἐν τούτῳ τῷ χρόνῳ. οἱ δὲ, ὅτι τὸ πανσυδίῃ σημαίνει μετὰ πάντων, ὥστε παραλιπὼν τὸν Ἀχιλλέα ἥμαρτε μέν. οἱ δὲ ἀπὸ τοῦ ἔθους· καὶ γὰρ στρατηγοῖς καὶ βασιλεῦσι συγκεχώρηται εἰς τὸ πρόσφορον ψεύδεσθαι· καὶ δὴ καὶ τὸν Δία εἰσάγει τοιοῦτον τῷ ἔθει ἑπόμενον.

*B f. 20b ad πειρήσομαι.

73. διὰ τί ὁ Ἀγαμέμνων ἀπεπειρᾶτο τῶν Ἀχαιῶν, καὶ οὕτως ἔπραξεν ὥστε ὀλίγου τὰ ἐναντία συμβῆναι ἢ ἐβουλεύετο; καὶ τὸ κώλυμα ἀπὸ μηχανῆς· ἡ γὰρ Ἀθηνᾶ ἐκώλυσεν· ἔστι δὲ ἀποίητον τὸ μηχάνημα λύειν ἄλλως εἰ μὴ ἐξ αὐτοῦ τοῦ μύθου. φησὶ δὲ ὁ Ἀριστοτέλης, ποιητικὸν μὲν εἶναι τὸ μιμεῖσθαι τὰ εἰωθότα γίνεσθαι καὶ ποιητῶν μᾶλλον τὸ κινδύνους παρεισάγειν. εἰκὸς δὲ καὶ ἐκ λοιμοῦ πεπονημένους καὶ τῷ μήκει τοῦ χρόνου ἀπαυδήσαντας, καὶ τοῦ Ἀχιλλέως μετὰ τῆς οἰκείας δυνάμεως ἀποστάντος, καὶ αὐτοῦ ἀφαιρεῖσθαι ἐν τῇ ἐκκλησίᾳ τὴν Βρισηΐδα λέγοντος εἰς φόβον τῶν ἄλλων· στυγέει δὲ καὶ ἄλλος ἶσον ἐμοὶ φάσθαι καὶ ὁμοιωθήμεναι ἄντα (Α 186), καὶ θορύβου γε ἐκ τῆς ἐξαναστάσεως τοῦ Ἀχιλλέως γεγονότος, μὴ εὐθὺς παρακαλεῖν ἐπὶ τὴν ἔξοδον, ἀλλὰ πειραθῆναι ἡγήσασθαι δεῖν εἰ οὕτως ἔχουσιν. εἰ γὰρ ἄνευ πείρας πολεμεῖν ἐκέλευε τοὺς οὕτω διακειμένους, συνέβη δὲ ἀντειπεῖν τινάς, ἀνάστατον ἐγίνετο τὸ πᾶν ἔργον καὶ ἐπανάστασις πάντων, καὶ λοιπὸν ἡ δέησις τοῦ βασιλέως, ἡ κόλασις τῶν ἀπειθούντων. ἀναγκαία οὖν ἡ πεῖρα μετὰ τοῦ ἐναντιοῦσθαι παραγγεῖλαι τοὺς ἡγεμόνας, ἐν ᾧ αὐτοὺς φθάσας ἐναντίους παρακαλεῖ γενέσθαι τῆς αὐτοῦ εἰς ἀπόστασιν τοῦ πολέμου πεῖρας. προληφθέντες γὰρ ταῖς πρὸς αὐτὸν ὁμολογίαις, ἄτοποι εὑρίσκονται μὴ κωλυταὶ γινόμενοι, ὥσπερ συνέθεντο, συμπράκτορες δὲ τῶν φευγόντων. ὅθεν καὶ τῷ Ὀδυσσεῖ εὐλόγως λείπεται ἡ πρὸς τοὺς τοιούτους ἐπίπληξις, ἐπὰν λέγῃ· ἐν βουλῇ δ' οὐ

11 scholio in cod. praemittitur Ἀριστοτε$^{\lambda}$ 12 συμβουλεύειν cod., corr. Bkk. 13 μαχανῆς cod. 14 εἰ om. cod., addidit Vill. 15 ποιητέων? 20 γε pro τε conieci

2 Quae de νέφος quod perhibetur Ἄρεως dicta sunt non expedio. Nisi error aliquis latet aut multa exciderunt, scriptura loci alicuius innui videtur (an Zenodotea?) ad nos neque per codices neque scholia propagata.

16 sqq. † Alterum *B h. v., scholio quod supra edidimus verbis καὶ ἄλλως praemissis subiunctum (L f. 26b *Π*, c. l. πρῶτα δ' ἐγὼν ἔπεσι πειρήσομαι): ἄλογον τὸ πειράζειν· εἰ γὰρ ἑτέρως ⟨ἑτέρους L⟩, ὥσπερ καὶ ἐγένετο, τὸ πλῆθος ἔνευσεν, ἀπώλετο ἂν πάντα τὰ πράγματα. λύεται δὲ ἐκ τῆς λέξεως· προησφάλισται ⟨—το L⟩ γάρ· ὑμεῖς δ' ⟨om. L⟩ ἄλλοθεν αλλος ἐρητύειν ἐπέεσιν. συνέφερε γὰρ ἡ πεῖρα διὰ τὸν καιρόν, ἀφεστῶτος τοῦ Ἀχιλλέως καὶ τοῦ πλήθους ὑποπτευομένου. — Aliter Paris. ap. Cramer., A. P. III, p. 148, 11.

πάντες ἀκούσαμεν οἷον ἔειπε (B 194). τὸ μὲν οὖν αὐτὸν παρακαλεῖν οὕτως ἔχοντας πολεμεῖν ἐπίφθονον ἦν, ἐκέλευσε δ' αὐτοῦ λέγοντος, ὡς δεῖ ἀπιέναι, τοὺς ἄλλους κωλύειν· ὑμεῖς δ' ἄλλοθεν ἄλλος ἐρητύειν ἐπέεσσιν (v. 75). συνέβη δὲ ἃ εἰκὸς ἦν, διά τε τὸ
5 ὀργᾶν καὶ τὸ μὴ εἰδέναι εἰ ἀπεπειρᾶτο ἀσμένως ἀκοῦσαι καὶ φθάσαι ἀναστάντας πρίν τινα τῷ Ἀγαμέμνονι ἀντειπεῖν. ὁ οὖν Ἀγαμέμνων ὀρθῶς ἐβουλεύσατο· οὐ γὰρ δεῖ ἐκ τῶν ἀποβαινόντων κρίνειν τὸ ὀρθῶς, ἀλλ' ἐκ τοῦ πῶς κατὰ λόγον ἦν ἀποβῆναι· πολλὰ γὰρ παραλόγως ἐπιτυγχάνει, εἴπερ γε καὶ κατορθοῦται· καὶ οἱ Ἀχαιοὶ ἀνέστησαν πρίν τινα
10 ἀντειπεῖν. τί γὰρ ἔφη; ἐγὼ μὲν ἐρῶ ὅτι δεῖ φεύγειν, ὑμεῖς δ' ἄλλοθεν ἄλλος ἀντιλέγετέ μοι πρὸς τοῦτο, οὐ προσδοκήσας ὅτι πρὶν ἀντειπεῖν αὐτῷ ἔσται τι τῶν ἀτόπων, οὐδ' ὅτι τὸ πλῆθος ἅμα τῷ φάναι αὐτὸν ἀΐξει ἐπὶ τὸ ῥηθέν. ἅμα δὲ καὶ ὁ ποιητὴς ἀγωνιᾶσθαι πεποίηκε τὸν ἀκροατήν· τό τε γὰρ ἀποβῆναι καὶ τὸ πάλιν εἰς ὀρθὸν ἐλθεῖν τραγικόν,
15 καὶ τοῦ ποιητοῦ ἐπιβολὴ ἔνογκος. ἡ δὲ λύσις οὐκ ἀπὸ μηχανῆς· ὅταν γὰρ διὰ τῶν εἰκότων γίγνηται, οὐ μηχανὴ τοῦτ' ἔστιν, ἅμ' ὅτε πρόσκειται θεός. ἀλλὰ τοῦτ' εἰπὼν ὃ εἰκὸς ἦν αὐτοῖς γίνεσθαι, εἰς θεὸν ἀνέθηκε τὸν Ὀδυσσέα διανοηθῆναι ταῦτα δρᾶν ἃ πρᾶξαι ἂν εἰκός ἐστιν, ὡς τὸ καὶ φεύγειν ἐν νηυσὶ πολυκλήϊσι κελεύσω· ὑμεῖς δ' ἄλλο-
20 θεν ἄλλος ἐρητύειν. ἢ οὐ τοὺς φεύγοντας ἐρητύειν κελεύει (οὐδὲ γὰρ ἤλπιζε τοῦτ' ἔσεσθαι), ἀλλ' ἐμοὶ ἀντιλέγειν, ἐπέχειν καὶ μένειν συμβουλεύοντας, καὶ τοῦτο ποιοῦντας πρὸς ἐμὲ διδάσκειν ὡς χρὴ μένειν καὶ μὴ τοῖς ὑπ' ἐμοῦ ῥηθεῖσι περὶ φυγῆς πείθεσθαι.

82. ἀπρεπὲς εἶναι δοκεῖ τὸ οὕτω κολακεύειν, ὡς τὰ μὲν τῶν ἄλ- *B f. 21ᵃ ad
25 λων ὀνείρατα ψευδῆ λέγειν, μόνον δὲ τὸ τοῦ Ἀγαμέμνονος ἀληθές. εἰ μέν τις.
λύεται δὲ κατὰ λέξιν. οὐ γὰρ εἶπεν, εἴ τις εἶδεν ὅτι ψευδὲς ἐθεάσατο, ἀλλ' εἴ τις εἶπε τάχ' ἂν πρὸς χάριν ἐδόκει πλάσαι· νῦν δὲ αὐτὸς ἑαυτὸν οὐκ ἂν ἐξαπατῴη ⟨ἐξαπατοίη cod.⟩.

88. τὸ νέον ἐρχομενάων ἀποδεδώκασιν ἀντὶ τοῦ νεωστὶ ἐρχο- *B f. 21ᵃ ad
30 μένων ἀεί, ὡς τὸ κεῖνος γὰρ νέον ἄλλοθεν εἰληλούθει (γ 318). νέον. Vat. Ζητ. κς' (rect. 27).

---

12 cod. οὔθ', corr. Dind. φᾶναι cod. 17. 18 ἀνέθηκε correxi ex ἀντέθηκε 19 πολυκληῖσι cod. 23 sequitur: καὶ ἄλλως. ἄλογον τὸ πειράζειν κτλ., v. supra ad p. 24, 16 29 Vatic. inc.: ἠύτ' ἔθνεα εἴσι μελισσάων ἀδινάων π...ης ⟨V² in marg. ἑτρ⟩ ἐκ γλαφυρῆς αἰεὶ νέον ἐρχομενάων. τὸ νέον ἐρχομενάων ἀποδεδώκ.... ⟨V² mg. κασιν⟩ ἀντὶ τοῦ νεωστὶ ἀεὶ ἐρχομένων 30 εἰλήλουθεν V

10—23 † B f. 21ᵃ ad *ἐρητύειν* B 75 (id. L f. 26ᵇ s. l., Lp f. 66ᵃ c. l. *ἐρητύειν*): *οὐκ ἐκείνους φεύγοντας, ἀλλ' ἐμὲ ταῦτα λέγοντα· οὐ γὰρ ᾤετο τοσοῦτον ταχέως* ⟨*ταχαίως* Lp⟩ *ἀναπτερωθῆναι πρὸς φυγὴν αὐτούς.*

13 Cf. p. 26, 27.

24 sqq. † Eust. *Λ*, p. 175, 34 sqq. — Aliter Paris. ap. Cramer., A. P. III, p. 148, 17 sqq.

29 *νέον* pro *νεωστί* Aristarchus accepisse videtur, v. Lehrs, Ar. p. 151.

τί οὖν ἐcτι τὸ νεωcτί ἐξηγούμενοί φαcιν, ὅτι τὰc πτήcειc οὐ διηνεκεῖc ποιοῦνται, ἀλλ' εἰc βραχύ, ὥcτε φανταcίαν ἀεὶ παρέχεcθαι ὡc ἀρτίωc ἐξορμωμένων. ἐμοὶ δὲ δοκεῖ τὴν ὥραν μηνύειν μᾶλλον ὅτε πέτονται, πέτονται δὲ τοῦ ἦροc αἰεί, νέον δὲ τὸ ἔαρ ἐκάλουν καὶ νέον ἔτοc ἀπὸ τοῦ ἦροc προcηγόρευον. αὐτόc τε ἐν ἄλλοιc ἐκ πλήρουc ἔφη ἔαροc νέον ἱcταμένοιο (τ 519), πατέρα τε τῶν καιρῶν τὸν χειμῶνα Πυθαγόραc καλεῖ. αὗται οὖν κατὰ τὸ νέον ἔαρ ἔρχονται. ὅτι γὰρ τὸ ἔαρ δηλοῖ, ἐπάγει βοτρυδὸν δὲ πέτονται ἐπ' ἄνθεcιν εἰαρινοῖcιν (B 89). θαυμάcαι δὲ ἔcτι Ζηνόδοτον τὸ βοτρυδόν ἐκλαβόντα ἐοικότωc βότρυϊ τῷ ὀρνέῳ, ὅπερ αὐτὸ cυcτρέφει ἐν τῇ πτήcει. οὐδεὶc γὰρ τῶν παλαιῶν οὐδ' Ἀριcτοτέληc βότρυν ζῶον ἔγραψε, κέχρηται δὲ Ὅμηροc ἐπ' ἀμπέλου τῷ βότρυοc ὀνόματι· μέλανεc δ' ἀνὰ βότρυεc ἦcαν (Σ 562). βοτρυδόν οὖν τὸ ἐοικότωc βότρυϊ cταφυλῆc, κατὰ cυcτροφὰc γὰρ πέτονται. τάχα δὲ καὶ ὅτι ἐν cχήματι βοτρύων ἐκκρέμανται τῶν ἀνθέων, τῶν ῥαγῶν τὴν τραχύτητα μιμούμενοι τῷ πολλὰc καθ' ἑνὸc ἐκκρέμαcθαι. ἐπὶ μὲν οὖν τῶν μελιccῶν τὸ βοτρυδόν λέγει, ἐπὶ δὲ τῶν Ἑλλήνων, οἷc τὰc μελίccαc παραβέβληκεν, ἰλαδὸν εἰc ἀγορήν (B 93), κατὰ ἴλαc καὶ cυcτροφάc, ὅτι ὡc cυνήθειc καὶ τῆc πρὸc ἀλλήλουc ἑταιρείαc εἶχοντο. ἰcοδυναμεῖ οὖν ἄρα τὸ ἰλαδόν τῷ βοτρυδόν.

B f. 22b ad κινήθη. Lp f. 67b c. l. ὡc κύματα.

144 sqq. . . . . διὰ τί δὲ, προειπόντοc τοῦ Ἀγαμέμνονοc ἐν τοῖc προβεβουλευμένοιc ὑμεῖc δ' ἄλλοθεν ἄλλοc ἐρητύειν ἐπέεccιν (v. 75), ὁρμηcάντων τῶν Ἑλλήνων ἐπὶ τὰc ναῦc, οὔτε Ὀδυccεὺc οὔτε ἄλλοc οὐδεὶc τοῦτο ἐποίηcε ταχέωc, ἀλλ' ὁ μὲν ἕcτηκεν ἁπλῶc μονονουχὶ ἁπτόμενοc τῆc νηόc, οἱ δὲ ἐπὶ τῆc ἐκκλησίαc μένουcι, καὶ παραγίνεται ἡ Ἀθηνᾶ ὥcπερ καθεύδοντα ἐγείρουcα τὸν Ὀδυccέα; ἢ ὅτι οὐχ οἷόν τε ἦν ὁρμηcάντων παραχρῆμα ἐπέχεcθαι αὐτούc, θορύβου κατέχοντοc τοcούτου· θεατὰc γοῦν ἡμᾶc ποιῶν τῆc τότε ἀταξίαc αὐτῶν ἐπιτραγῳδεῖ ταῦτα τὰ ἔπη· κινήθη δ' ἀγορὴ ὡc κύματα (v. 144).

---

1 τί οὖν ⟨ὖν humiditate deleta V² rescripsit⟩ V 1. 2 οὐ — ἐπὶ βραχύ (sic) in cod. hum. deleta rescripsit V² 2 αἰεὶ παρέχειν V 2. 3 litterae quae inter ἀρ (ἀρτίωc) et τὴν ὥραν in V exstabant tinctura adhibita deletae sunt 3 μ.νύειν ⟨η a V² sprascrpt.⟩ ὅτε πέτονται μᾶλλον V 4 ν.ον V τοῦ ἔαροc V 5 αὐτὸc δὲ ἐκπλήρω. ἔφη V pro νέον legendum videtur νέου 6 τὸν καιρῶν V 7 .ῦται οὖν κατ..έον ἔαρ V 8 ἐ..νθειν ⟨π et α a V² suprascrpt.⟩ V 10 δ ἑαυτὸ V 11. 12 ἐπ' ἀμπέλῳ τ. βότρυc ὀνόματι V 15 καθ' om. V ἐκκρεμᾶcθαι B 17 ἰλαδὸν φηcὶν εἰc ἀγορήν V 18 cυνήθειc correxi, B cυνηθείαc. Extrema enim V ita: cυcτροφάc. ἰcοδυναμεῖ ἄρα τὸ ἰλαδόν τῷ βοτρυδόν. δηλοῖ δὲ τὸ ὡc cυνήθωc καὶ τῆc πρὸc ἀλλήλουc ἑταιρίαc εἶχον. 20 B inc.: ὥρμηcε. μακρὰ δὲ τὰ ὑψηλά, ἤτοι τὰ ἐκ βάθουc κινούμενα. cυνωθοῦνται γὰρ ἄλλα ἐπ' ἄλλοιc, ὡc πάcηc ἐκ βυθοῦ ταρaccομένηc τῆc θαλάccηc. διὰ τί δὲ κτλ. Lp inc.: διὰ τί προειπ. 22. 23 οὔτε ἄλλοc οὐδεὶc οὔτε ὁδ. Lp 23. 24 μόνον οὐχ Lp 24. 25 καὶ ἡ ἀθ. παράγει ἀπὸ μηχανῆc Lp 25 τὸν ὁδ. ἐγείρουcα Lp 27 τοιούτου Lp θεατὰc οὖν ἡμᾶc ποιῶν τῆc ἀταξίαc Lp

---

27 Cf. p. 25, 13.

διὸ Ὀδυccεύς, μετὰ Νέcτορα cυνέcει προΰχων, ἵcταται μὴ καθέλκων τὴν ναῦν, διὰ τούτου δεικνὺc ὃ ἐβούλετο καὶ τοὺc ἄλλουc ποιεῖν. ἔcτι δὲ Ὀδυccεὺc ἱκανώτεροc Νέcτοροc πάντα πρᾶξαι τὰ διὰ cώματοc, τῶν δὲ ἄλλων cυνετώτεροc. διὸ πρὸc τοῦτον ἡ Ἀθηνᾶ ἥκει· οὐ γὰρ πιθανὸν θεοῦ δίχα παυθῆναι τοιοῦτον θόρυβον.

145. τὸ Ἰκάριον πέλαγοc πολύκυκόν ἐcτι καὶ ταραχῶδεc, τῇ μὲν ἀναcπωμένου τοῦ ῥόθου περὶ Ἄμπελον ἀκρωτήριον τῆc Cάμου ⟨cάμηc L⟩ καὶ ἀνακοπτομένου ταῖc Κορcεαῖc ⟨κύρcαιc L, κόρcαιc Dind.⟩, ἐπεγειρομένων δὲ ⟨τε L⟩ καὶ διὰ ⟨om. L⟩ τὰc τῶν ἀνέμων ἐκβολὰc ἐπαλλήλων κυμάτων, περιβεβλημένων πανταχόθεν ὧδε τῷ πελάγει νήcων ἀπλέτων· τῇ μὲν Νάξου τε καὶ Πάρου ⟨καὶ ἐπάρου L⟩, τῇ δὲ ἀντιπέραc Ὠλιάρου ⟨ἀντιπέρα cωλιάρου L⟩ τε καὶ Μελάντου cκοπέλων καὶ Δήλου ⟨δήλων L⟩ καὶ Μυκόνου· καὶ ἀναθλίβοντοc † τὰc νήcουc τοῖc ἑαυτῶν τόνοιc τοῦ Αἰγαίου πελάγουc τῆc τε ἐπικειμένηc Ἰκαρίαc ⟨καρίδοc L⟩ νήcου καὶ πανταχόθεν κυμαινομένηc. ἀγριαίνει δὲ ὅλον τὸ πέλαγοc ὁ ἐπικείμενοc κρημνὸc cκοπελώδηc τε ὢν καὶ ἀγχιβαθὴc ⟨ἀγχίβαθοc L⟩. ταῦτα δὲ καὶ Ὅμηρον ἀκριβῶc ἐπιcτάμενον τὸν τῶν Ἑλλήνων τάραχον ἀποπλεῖν διεγνωκότων εἰc τὰc πατρίδαc παρεικάcαι ⟨παρεικάcθαι, cθαι e corr., L⟩ εἰπόντα ⟨τὸν Ἀγαμέμνονα add. L, quae delenda sunt⟩· κινήθη δ' ἀγορὴ ὡc κύματα μακρὰ θαλάccηc πόντου Ἰκαρίοιο, τὰ μέν τ' Εὖρόc τε Νότοc τε ὤρορ' ⟨ὤρορεν L⟩ ἐπαῖξαc πατρὸc Διὸc ἐκ νεφελάων ⟨ἐκ διὸc πατρὸc νεφ. L⟩. καὶ οἱ ἄνεμοι δέ, φηcί, χειμέριοι, καὶ ἀντίπαλοι Εὖρόc τε Νότοc τε ταῖc τοῦ Ἑλληcπόντου ἐκβολαῖc, ἔνθα δὴ ἀναθλιβόμενον τὸ Ἰκάριον ἀνοιδαίνει πέλαγοc.

L f. 29ᵃ, *II*, c. l. πόντου Ἰκαρίοιο. Cf. Scor. ap. Dind. IV, p. 410, *II*.

169. ad Ψ 269.

183. ἀπρεπὲc εἶναι δοκεῖ τὴν χλαῖναν ἀποβαλόντα μονοχίτωνα θεῖν τὸν Ὀδυccέα διὰ τοῦ cτρατοπέδου, καὶ μάλιcτα οἷοc Ὀδυccεὺc εἶναι

*B f. 23ᵇ s. signo.

---

1 μετὰ τὸν νεcτ. Lp 2 ἐπιδεικνὺc Lp 3 Νέcτοροc om. Lp διὰ τοῦ cώματοc Lp 4 ἐλήλυθεν ἡ ἀθ. οὐ γὰρ δίχα θεοῦ πιθ. τοcοῦτον καταcτέλλεcθαι θόρυβον Lp 27 in cod. Lips. lemmati praemissum ἀριcτοτλ. ⟨τλ supra ο scriptis⟩; idem nomen scholio B adscriptum

---

2 Cf. p. 32, 13.

6 sqq. Scholium ab usitata quaestionum forma prorsus discrepans nemo huc referret, nisi a codicibus Porphyrio nominatim tribueretur. Quod nisi quis transcribentium errore factum esse probaverit, statuendum est, fragmentum esse scriptoris nescio cuius quod Porphyrius quaerens, cur Icarium maxime mare poeta commemoraret, attulerit; unde simul apparet, cur lin. 17 sqq. oratione quae dicitur obliqua utantur.

27 sqq. †B f. 23ᵇ ad *θέειν B* 183 (id. Lp f. 68ᵃ c. l. *ἀπὸ δὲ χλαῖνα*): .... *ἀπέβαλε δὲ τὴν χλαῖναν ἢ διὰ τὸ εὐπερίcταλτον ἢ διὰ τὸ ἐπιcτρέφειν τῇ παραδόξῳ θέᾳ τοὺc πολλούc, ἢ ἵνα ταπεινὸc ὑπηρέτηc εἶναι δοκῇ ⟨δοκῇ εἶναι* Lp⟩ *τῶν βαcιλικῶν δογμάτων. οἱ δέ, ὅτι ἀπὸ τῆc cπουδῆc αὐτομάτωc πέπτωκε. καὶ περὶ Ἀγαμέμνονοc δὲ ἑτέρωθί φηcι πορφύρεον μέγα φᾶροc ⟨φάροc* Lp⟩

L f. 30ᵇ, Lp f. 68ᵃ c. l. χλαῖναν βάλε.

Π. ὑπείληπται. φηcὶ δ' Ἀριcτοτέλης, ἵνα διὰ τὸ τοῦτο θαυμάζειν ὁ ὄχλος ἐπιcτρέφηται καὶ ἐξικνῆται ἡ φωνὴ ὡc ἐπὶ μεῖζον, ἄλλου ἄλλοθεν cυνιόντος, οἷον καὶ Cόλων λέγεται πεποιηκέναι, ὅτε cυνῆγε τὸν ὄχλον περὶ Caλαμῖνος. ἄλλοι δέ, ὅτι ἐμπόδιον ἦν αὐτῷ πρὸc τὸν δρόμον ἡ χλαῖνα. οἱ δέ, ὅτι ταπεινὸν αὐτὸν καὶ ὑπηρέτην τῶν Ἀγαμέμνονος πραγμάτων δεῖξαι βούλεται. οἱ δέ, ὅτι τὸ cκῆπτρον λαμβάνει μετιὼν τὸ τοῦ Ἀγαμέμνονος, ὥcτε τὴν ἐξουcίαν ἔχων τὴν βαcιλικὴν τὸ οἰκεῖον cχῆμα τῆc ἀξίαc περιεῖλεν. οἱ δέ, ὅτι τρέχοντος αὐτοῦ πεcεῖν αὐτομάτωc cυνέβη.

. . . . . οἱ δέ, ὅτι τὴν cπουδὴν ἐπιδεῖξαι θέλων διὰ τῆc πτώcεωc τῆc χλαμύδος ἥτιc . . . . ἐγεγόνει. οἱ δὲ μᾶλλον cυντίθενται, ὅπωc ἐπιcτρέψῃ τὸ πλῆθοc πρὸc ἑαυτὸν ἀπὸ τῆc περὶ τοῦ φεύγειν ταραχῆc ἐπέχων διὰ τοῦ ξενιcμοῦ, ὡc καὶ τὸν Ἀγαμέμνονα ἑτέρωθί φηcι (Θ 271) πορφύρεον μέγα φᾶροc ἔχοντα παρακελεύεcθαι τοῖc Ἕλληcιν. τὸ δὲ cκῆπτρον λαμβάνειν ἔοικε παρὰ τοῦ Ἀγαμέμνονοc, ἤτοι ἵνα τὰ τῷ βαcιλεῖ δοκοῦντα φαίνηται πράττων καὶ παρὰ τοῦ βαcιλέωc λαβεῖν τὴν ἐξουcίαν, ἢ ἵνα ἀντὶ βαcιλέωc φαίνηται ποιεῖν καὶ τὴν τοῦ αὐτοκράτοροc εἰc τοὺc πλημμελοῦνταc εἰληφέναι ἐξουcίαν, ἢ ὅτι ἄλλωc οὐκ ἐξὴν δημηγορεῖν ἢ τὸ cκῆπτρον ἔχοντα.

184. v. ad Ε 576. III

*B f. 24ᵃ ad ἐν βουλῇ. Lp f. 68ᵇ c. l. ἐν βουλῇ δ' οὐ πάντες.

194. διὰ τί τὸ ὄναρ οὐδεὶc τῶν ἐν τῷ προβουλίῳ ἀκούcαc παρὰ Ἀγαμέμνονοc ἐξεῖπε τοῖc ἄλλοιc Ἕλληcιν; ἓν μὲν αἴτιον· εὐλάβεια γὰρ ἦν μὴ ὑπονοήcωcιν οἱ Ἕλληνεc ὅτι διὰ τὴν πρὸc Ἀχιλλέα cτάcιν τὸν ὄνειρον πλάccει ⟨coni. Cobet ap. Dind.; codd. πράccει⟩, ὅπερ οὐ βαcιλικόν· ἕτερον δὲ ὅτι τὰ τῶν ὀνείρων οὐ βεβαίωc πιcτεύεται, δι' ἣν αἰτίαν οὐκ ἐξεῖπε. τρίτον δὲ ὅτι τὰ ἐν ταῖc βουλαῖc βαcιλικὰ cκέμματα καὶ διηγήματα τοὺc ἀκούονταc οὐ προcῆκεν ἐκκαλύπτειν.

---

1 τοῦτον L τὸ om. Lp 4 ἐπὶ caλαμῖνι L 5 αὐτὸν BLp . 6 μετιὼν τοῦ τοῦ ἀγ. Lp 10 in tribus e quibus edidi codicibus (etiam in Lips.) verba οἱ δὲ ὅτι τὴν cπουδὴν κτλ. cum iis quae antecedunt cohaerent interiectis quidem his: βῆ δὲ θέειν ἀπὸ δὲ χλαῖναν βάλε, τὴν δ' ἐκόμιcε ⟨ἐκόμιccε Lp⟩ κῆρυξ εὐρυβάτηc, quae quin in lemmate posita sint eo minus dubitandum est, quod quae sequuntur partim idem continent quod superiora. Duo inter se scholia ita coaluisse, ut unam efficere videantur quaestionem, etiam aliis locis, e. c. Z 168, videre licet. Nostro loco ea re factum esse, ut initium quod fuerat alterius scholii ἀπορίαν continens abiceretur, non est quod mireris 11 post ἥτιc lacunam statui; excidisse videtur αὐτομάτωc vel sim. 11. 12 ἐπιcτρ́ B 12 παρὰ τοῦ φεύγειν Lp 13 ἑτέρωθεν Lp 15 ἤτοι om. L, qui pergit (17) ἵνα ἀντὶ βαcιλέωc φαίνηται ποιεῖν post ἵνα B duae fere litt. eras. 16 λαβὼν Lp 18 ἑξὸν L

ἔχων (Θ 221). ἢ διὰ τὸ μὴ ἐμποδίζεcθαι αὐτὸν cπεύδοντα ἀπὸ (sic) τοῦ πλήθουc τῶν ἱματίων. Verba inde a ἢ διὰ τὸ μὴ ἐμπ., quae B om., eadem fere in cod. Par. 2766 (Cram. III, p. 278, 20) leguntur: ἀπεδύcατο δὲ τὴν χλαμύδα διὰ τὸ μὴ ἐμποδίζεcθαι κτλ.

199. δόξειεν εἶναι τοῦτο ἄλογον, ὅτι τῆς Ἀθηνᾶς εἰπούσης cοῖς δ' ἀγανοῖς ἐπέεσσιν ἐρήτυε φῶτα ἕκαστον (v. 180) τύπτει τινάς· ταῦτα γὰρ παρακούοντος τῆς θεοῦ, ὅπερ ἁρμόζον οὐδαμῶς Ὀδυσσεῖ. ἐροῦμεν δὲ ὅτι ἡ μώμησις ἄλογος· εἰκὸς γὰρ ἦν ἐν τῷ τοσούτῳ θορύβῳ σφάλλεσθαι πολλάκις καὶ Ὀδυσσέα· πάντες γὰρ ἐν τοῖς τοιούτοις καιροῖς συνταραττόμεθα παρηχούμενοι, ὥστε πολλὰ ἐπιλανθάνεσθαι. οὐ μὴν ἀλλὰ καὶ οἱ θρασεῖς κολακευόμενοι πτεροῦνται, μᾶλλον δὲ πληγαῖς ὑπείκουσιν.

B f. 24ᵃ ad σκήπτρῳ. Lp f. 68ᵇ c. l. τὸν σκήπτρῳ ἐλάσασκε.

212. διὰ τί μηκέτι μέλλων ὁ ποιητὴς τοῦ Θερσίτου μνημονεύειν ἅπαξ αὐτοῦ ἐδεήθη; καὶ τίς ἡ χρεία τοῦ δεηθῆναι ἐν τῷ θορύβῳ γεγονότι ἐκ τῆς Ἀγαμέμνονος τῶν Ἑλλήνων πείρας; ῥητέον δὲ ὅτι παραλόγως γεγονυίας τῆς Ἑλληνικῆς στάσεως διὰ τὸ ἄλλως ἐκδέχεσθαι τοῦ βασιλέως τοὺς λόγους καὶ μὴ συνιέναι ὅτι πείρας ἕνεκα εἴρηκε τοὺς πολλοὺς καὶ συρφετώδεις, καὶ μάλιστα τῆς ἀγνοίας ἐν τῷ χυδαίῳ πλήθει γεγονυίας — τοῖς γὰρ ἡγεμόσι προείρητο ἡ τοῦ βασιλέως γνώμη, οἷς ἐν τῷ προβουλίῳ ἐρρήθη ⟨ἐρήθη cod.⟩

*B f. 24ᵃ ad Θερσίτης.

καὶ φεύγειν σὺν νηυσὶ πολυκλήισι ⟨πολυκληῖσι cod.⟩ κελεύσω,
ὑμεῖς δὲ ἄλλοθεν ἄλλος ἐρητύειν ἐπέεσσιν (v. 74. 75)

— , ἐκ τῶν πολλῶν ἔδει καὶ χυδαίων γενέσθαι τὴν μέμψιν· οὐ γὰρ ἐκ τῶν βασιλικὴν ⟨—ῶν cod.; corr. Vill.⟩ καὶ ἀναπολόγητον ἐσχηκότων τῆς στάσεως τὴν αἰτίαν. ἅπαξ δὲ ἐκ τῶν χυδαίων ὀφειλούσης γενέσθαι τῆς ἀταξίας, τοιοῦτον πρόσωπον εἰκότως ἐδέξατο, ὃ προσυνίστησιν ὅτι

ἔπεα φρεσὶν ἦσιν ἄκοσμά τε ⟨spr. lin. ab alt. man. addit.⟩
πολλά τε ἤδει,
μάψ, ἀτὰρ οὐ κατὰ κόσμον ἐριζέμεναι βασιλεῦσιν,
ἀλλ' ὅ τι οἱ εἴσαιτο γελοῖιον Ἀργείοισιν
ἔμμεναι (v. 213—16).

εἰδὼς δὲ ὅτι ὀργαὶ χυδαίων καὶ πλήθους ἀνοήτου ἢ φόβῳ κρατοῦνται ἢ γέλωτι διαχέονται ⟨διαδέχονται cod.; corr. Vill.⟩, ἀμφοτέροις κέχρηται, φόβῳ μὲν διὰ τοῦ Ὀδυσσέως, διαχύσει δὲ καὶ γέλωτι οὐκ ἂν ἄλλως ἔσχε χρήσασθαι ἢ διὰ τοῦ τοιούτου προσώπου, ὥστε τὸ αὐτὸ παρέλαβεν εἰς ἔνδειξιν τῆς τοῦ χυδαίου πλήθους στάσεως οἵα τις ἦν, καὶ εἰς τὴν τοῦ γέλωτος ὑπόθεσιν. καὶ μετὰ τοῦτο ἐξεῖλεν αὐτὸν τῆς ποιήσεως, ὅτι καὶ πᾶσαν τοιαύτην στάσιν ἐν τοῖς μετὰ ταῦτα τῶν ποιημάτων ἐξώρισε. τοιοῦτόν τι καὶ ἐν στάσει θεῶν καὶ ἐν ἔριδι, ἐν ᾗ ἔφη

1. 2 δόξειε καὶ τοῦτο εἶναι ἄλ. ὅτι τῆς θεᾶς εἰπούσης cοῖς δ' ἀγανοῖς φαίνεται τύπτων τινὰς ὡς παρακούων τῆς θεᾶς Lp 3 ἐπὶ ὀδυσσέως Lp 4 ἡ μίμησις οὐκ ἄλογος· τὸ γὰρ ἐν τοσ. θορ. μηδὲν σφαλλόμενον τὸν ὀδ. ποιεῖν ἀμίμητον· πάντες γὰρ ἐν τοιούτ. καιρ. ταραττόμεθα παρηχ. ὡς π. ἐπιλανθάνεσθαι, reliquis omissis, Lp

6 † A B 199 (id. fere Lp f. 68ᵇ, Paris. 2556 ap. Cramer. III, p. 151): *οἱ γὰρ θρασεῖς κολακευόμενοι ἐπαίρονται, εἴκουσι δὲ πληγαῖς μᾶλλον.....*

ὤχθηcαν δ' ἀνὰ δῶμα Διὸc θεοὶ οὐρανίωνεc (A 570), ἐπενόηcε διὰ τῆc Ἡφαίcτου οἰνοχοΐαc, ὃν κυλλοποδίωνα καὶ ἀμφιγυήεντα ἔφη, διὰ τῆc τούτου οἰνοχοΐαc τὴν cτάcιν βουληθεὶc εἰc γέλωτα παρατρέψαι. τὰ γὰρ ἐναντία τῶν ἐναντίων ἰάματα πρῶτοc ὑπέλαβεν ⟨correxi; cod. ὑπέβαλεν⟩ εἶναι, καὶ τὰc παρὰ τῶν ἀνθρώπων ὀργὰc θεῶν διαλύεcθαι καὶ διὰ γέλωτοc, ὡcανεὶ γέλωτοc ⟨ita videtur; litterae duorum verb. admodum detrit.⟩ ἀξίων τῶν ἀνθρώποιc προcηκόντων πραγμάτων.

A ..... ἐζήτηται δὲ διὰ ποίαν αἰτίαν ὁ Θερcίτηc ἐcτράτευcεν εἰc Τροίαν τοιοῦτοc ὤν. ῥητέον οὖν ὅτι ὡc ⟨Ludw., Mus. Rh. XXXII p. 19⟩ cταcιώδηc ὢν οὐκ ἀπελείφθη ἐπὶ τῆc πατρίδοc, ἢ ὅτι κατ' ἐπειcόδιον παρῆκται πρὸc τὸ ἐκ τοῦ cκυθρωποῦ πρὸc ἱλαρότητα τὰc ψυχὰc ἀνακαλέcαcθαι τῶν Ἑλλήνων, ὥcπερ εἴληπται καὶ Ἥφαιcτοc γέλωτοc χάριν παρὰ τοῖc θεοῖc ἐν τῇ A. λαμβάνεται δὲ πᾶν ἐπειcόδιον τῷ ποιητῇ ἢ πιθανότητοc ἕνεκεν ἢ χρείαc, ὥcπερ τοῦτο νῦν, ἢ κόcμου καὶ ὑψώcεωc χάριν.

L f. 31b. Lp 226. διὰ τί ὑπὲρ τὴν ἄλλην ὕλην τοῦ χαλκοῦ ἐμνήcθη; ὅτι ἐν τοῖc ἀρχαίοιc cφόδρα τίμιοc ἦν ὁ χαλκόc ⟨χαλκεύc L⟩.

L f. 32a. Idem fere A et Par. 2556, Cramer III, p. 152, 15. 249. ἅμ' Ἀτρείδηc' ⟨suprascrpt. αιc⟩ ὑπὸ Ἴλιον ἦλθον: οὗτοι δὲ ἦcαν κατὰ μὲν τὸ cύνηθεc Πλειcθένουc καὶ Ἀερώπηc Ἀτρέωc παῖδεc τοῦ Πέλοποc, ὥc φαcιν ἄλλοι τε πολλοὶ καὶ Πορφύριοc ἐν τοῖc Ζητήμαcιν. ἀλλ' ἐπειδὴ Πλειcθένηc νέοc τελευτᾷ μηδὲν καταλείψαc μνήμηc ⟨μνημ, μ spr. η scrpt., cod.⟩, νέοι ἀνατραφέντεc ⟨ἀνατρεφέντεc cod.⟩ ὑπὸ Ἀτρέωc αὐτοῦ παῖδεc ἐκλήθηcαν.

*B f. 25b ad Ὀδυccεὺc v. 272. 257—277. διὰ τί ἐπὶ τῷ Θερcίτῃ πληγὰc λαβόντι καὶ γελοίωc δακρύcαντι, καὶ τοὺc Ἕλληναc καίπερ ἐφ' οἷc ἐπεπόνθειcαν ὑπὸ τοῦ

18—23 Verba scholii codicem Leidensem religiose secutus dedi. Quae inter Didymi quae dicuntur scholia leguntur: *οὗτοι ἦσαν κατὰ μὲν τὸ σύνηθες Ἀερόπης καὶ Ἀτρέως παῖδες τοῦ Πέλοπος, τῇ δ' ἀληθείᾳ Πλεισθένους, ὥς φασιν κτλ.*, quin si rem spectes recte se habeant dubitari nequit; ea non coniectura sed libri cuiusdam auctoritate niti Dindorf., vol. I, p. 95, 12 not., innuere videtur. Cum Leidensi ad verbum fere concinunt A et Paris., nisi quod ille *φησὶν* (20) pro *φασιν*, hic *Ἀτρέως παιδὸς* (20) pro *παῖδες* et (22) *μνήμης ἄξιον πάνυ ἀνατραφέντες νέοι οἱ αὐτοῦ παῖδες ὑπὸ Ἀτρέως αὐτοῦ ἐκλήθησαν παῖδες*. In utroque codice recte *Ἀερόπης* pro *Ἀερώπης*.

Ceterum nemo sibi persuadebit hoc fragmentum originem debere quaestioni hoc loco oblato a Porphyrio institutae. Eam etsi veri simile est cum rebus Atridarum *B* 104 sqq. narratis coniunctam fuisse, tamen id monere quam scholium eo referre maluimus. Conferendi autem praeter schol. A *A* 7 Dict. Cret. I, 1; Malal. V, p. 94 Dind.; Herm. XIV, p. 238.

24 sqq. Ex iis, quae in utroque scholio extremo de diversa ingeniorum coercendorum ratione leguntur (p. 31, 28; 32, 8), sequitur, utrumque ex uberiore Porphyrii quaestione excerptum esse. Quod ad v. 272 servatum est scholium eam ob caussam codicis ordine neglecto alteri praemisimus quod ipsum Porphyrium magis repraesentare videtur.

†B f. 25b ad *ὦ πόποι* v. 272 (id. L f. 33b, Lp f. 70a c. l. *ἦ δὴ μυρί' Ὀδυσεύς*): *πῶς εἰπὼν ⟨πῶς προειπὼν* Lp⟩ *αὐτοὺς γεγελακέναι σπουδαῖα καὶ οὐ*

Ἀγαμέμνονος λελυπημένους γελάσαι ποιήσας ⟨om. cod.; add. Vill.⟩ ἐπὶ τῷ Θερσίτῃ αἰσχρῶς δακρύοντι, οὐκ ἠρκέσθη ὁ ποιητὴς εἰπὼν οἱ δὲ καὶ ἀχνύμενοί περ' ἐπ' αὐτῷ ἡδὺ γέλασσαν (v. 270), ἀλλὰ καὶ προστίθησι καὶ λόγους δὲ λεγομένους τοιούτους· ἦ δὴ μυρί' Ὀδυσ-
5 σεὺς ἐσθλὰ ἔοργε, βουλάς τ' ἐξάρχων ἀγαθὰς πόλεμόν τε κορύσσων (v. 272. 73) καὶ τὰ ἑξῆς; οὐ γὰρ ἀκόλουθον τῷ γέλωτι γνωμολογεῖν, ἀλλὰ μᾶλλον ἐπισκώπτειν ἤ τι τοιοῦτον διασύροντας καὶ ἐπιτωθάζοντας λέγειν. φαίνεται δὲ ὁ ποιητὴς ἐνδείκνυσθαι διὰ τοῦ λόγου τούτου ἀνακειμένου τῷ πλήθει, ὅτι πᾶν τὸ ἄκοσμον τῶν πολλῶν
10 ἤδη κατέσταλται καὶ τὸ στασιῶδες αὐτῶν ἐξήρηται καὶ ὅλως τὸ κατεξανίστασθαι τοὺς φαύλους τῶν κρειττόνων καὶ νομίζειν αὐτοῖς ἐξουσίαν εἶναι τοῦ καὶ λέγειν ὃ βούλονται καὶ ποιεῖν, πεπαυμένου ἤδη ὑβριστοῦ καὶ ἐπεσβόλου τοῦ ἐκ τοῦ τολμᾶν ἐκκλησιάζειν, ἅμα δὴ καὶ ἄλλο τι προσοικονομεῖσθαι. ἐπεὶ γὰρ οὐκέτι μνησθήσεσθαι Θερσίτου
15 ἔμελλεν, ἀλλὰ πρὸς ὀλίγον χρησάμενος ἐξαιρήσειν πᾶσαν αὐτοῦ μνήμην ἐκ τῆς ποιήσεως, πιθανῶς τὴν μηκέτι μέλλουσαν αὐτοῦ πάροδον ἀνατέθεικε τῇ τότε παιδεύσει καὶ προεῖπεν, ἡμῖν τοῦτο τῷ παντὶ πλήθει χρησάμενος κήρυκι ⟨seq. τὲ, quod inde a Vill. om.⟩ τοῦ μέλλοντος, δι' ὧν ἔφη

20 οὔ θήν μιν πάλιν αὖτις ἀνήσει θυμὸς ἀγήνωρ
νεικείειν βασιλῆας ὀνειδείοις ἐπέεσσιν (v. 276. 77).

εἰ γὰρ προσῆν μὲν αὐτῷ τὸ μὴ κατὰ κόσμον ἐριζέμεναι βασιλεῦσιν (v. 214), οὐκέτι δὲ φαίνεται τοῦτο δρῶν, ἀναγκαία ἡ τῆς αἰτίας ἀπόδοσις ὅτι σωφρονισθεὶς ἐπαύσατο, ὡς μηδ' ἂν ἐπιθυμῆσαι πάλιν
25 ἀκοσμεῖν. τοῦτο γὰρ ἠπειλεῖτο ⟨ἠπίλειτο cod., acc. evan.⟩ αὐτῷ ὑπὸ τοῦ Ὀδυσσέως — εἴ κ' ἔτι ⟨εἰ κέ τι cod.⟩ σ' ἀφραίνοντα κιχήσομαι ὥς νύ περ ὧδε (v. 258) — μεθ' ὅρκου τὴν κόλασιν ἐπανατεινομένου εἰς κώλυσιν πάσης τοιαύτης μελλούσης ἀκοσμίας. ὁ μὲν ⟨post h. v. duae litt. eras.⟩ οὖν εὐφυὴς λόγῳ ἁμαρτάνων νουθετεῖται, ὁ δὲ
30 κακοφυὴς πλουτῶν μὲν χρημάτων ζημίᾳ, ῥώμῃ δὲ σώματος θαρρῶν δεσμοῖς καὶ ταῖς τοῦ σώματος βασάνοις. ὁ δὲ οἷος ἦν ὁ Θερσίτης, ἀσθενής τε καὶ λελωβημένος πάντοθεν τὸ σῶμα, πληγαῖς τε καὶ μεθ' ⟨om. cod.; add. Vill.⟩ ὅρκων ἀπειλαῖς αἰκισμοῦ μέλλοντος μετὰ γυμνώσεως καὶ πάσης ἐνδείξεως τῆς τοῦ σώματος αἰσχύνης· ταῦτα γὰρ
35 γενόμενα ὑπὸ τοῦ πολιτικοῦ ἀνδρὸς τὰ μέτρα τῶν κολάσεων καὶ τοὺς τρόπους καὶ τὸ κατ' ἀξίαν ἑκάστου ἁμαρτήματος ὑπέδειξεν.

γελοῖα παράγει λέγοντας ⟨λέγοντα L⟩; τάχα οὖν τοῖς ἐπὶ Θερσίτου περιαιρεῖται ⟨παρῄρηται Lp⟩ τὸ θρασὺ καὶ παρρησιαστικὸν αὐτῶν Ὀδυσσεύς. ἄλλως τε προοικονομεῖ τὴν εἰς ὅλην τὴν ποίησιν ἀμνηστίαν Θερσίτου διὰ τοῦ οὔ θήν ⟨οὐ μήν L⟩ μιν πάλιν.

14 sqq. Lp f. 70ᵃ c. l. *οὔ θήν μιν πάλιν: τοῦτο διὰ τὸ μὴ ἔτι μνησθῆναι αὐτοῦ ἐν τῇ ποιήσει.....*

28 sqq. Cf. p. 32, 8 sqq.

B f. 25ᵇ ad ὡς ἄρ ἔφη v. 265. Lp f. 70ᵃ c. l. ὡς ἄρ' ἔφη σκήπτρῳ δὲ.

πῶς ἠπείλησε μὲν περὶ τῶν ἔπειτα, νῦν δὲ τὴν ἀπειλὴν ἐκτελεῖ; ἀλλ' οὐχ ἃ ἠπείλησεν ἐτέλεσεν, ἀλλὰ διὰ τῆς βραχείας πληγῆς πιστοῦται, ὅτι μὴ σωφρονιζόμενον καὶ ταῖς μείζοσιν αἰκίσεται πληγαῖς. ἢ ἀπόπειραν διὰ τῆς ἀπειλῆς ποιεῖ, ὅπως οἱ πολλοὶ ἐπισχεθῶσι δι' αὐτοῦ, εἶτα ἰδὼν αὐτοὺς βουλομένους ταὐτὰ οὐχ ὑπερέθετο τὴν κόλασιν, ἀλλὰ παίει τὸν κυρτόν, ἐκ τούτου γέλωτα κινῶν. ἢ νῦν μὲν ἐνδεδυμένον παίει, ὕστερον δὲ γυμνὸν πλήξειν ἀπειλεῖ. δικαίως δὲ τιμωρεῖται βραχείᾳ πληγῇ· κολάζεται γὰρ ὁ μὲν εὐφυὴς νουθεσίᾳ, ὁ δὲ ἄκοσμος ὑγιὴς δὲ βασάνοις ἢ χρημάτων εἰσφοραῖς, ὁ δὲ λελωβημένος οἷος ὁ Θερσίτης βραχείᾳ πληγῇ καὶ τῇ μεθ' ὅρκων ἀπειλῇ.

B f. 26ᵃ ad παρὰ. L f. 34ᵃ. Lp f. 70ᵃ c. l. ἀνὰ δ' ὁ πτολίπορθος Ὀδυσσεὺς ἔστη.

279. . . . . διὰ τί δὲ ὁ Ὀδυσσεὺς πρὸ τοῦ Νέστορος πρεσβύτου ὄντος λέγει; ὅτι αὐτὸς συνήγαγε τὴν ἐκκλησίαν, καὶ θορύβου τοσούτου ὄντος ἔδει γεγωνότερον βοᾶν. ὁ μὲν οὖν Νέστωρ ὡς γέρων βοᾶν οὐκ ἠδύνατο, ὁ δὲ Ὀδυσσεὺς μεγάλην ὄπα ἐκ στήθεος ἵει (Γ 221). διὰ τοῦτο ὁ μὲν τεταραγμένων αὐτῶν δημηγορεῖ, ὁ δὲ ἡσυχίαν ἀγόντων.

*B f. 26ᵇ ad ἡμεῖς δ' ἀμφὶ v. 305.

305—329. ἡμεῖς δ' ἀμφὶ περὶ κρήνην ἱεροὺς κατὰ βωμοὺς μέχρι τοῦ τῷ δεκάτῳ δὲ πόλιν αἱρήσομεν εὐρυάγυιαν. περὶ τούτων τῶν ἐπῶν ἠπόρησεν ὁ Ἀριστοτέλης τοιαῦτα· διὰ τί ὁ Κάλχας,

---

2 ἐτέλεσεν om. Lp 3 σωφρονιζόμενος Lp 3—5 ἢ ἀπόπειρα ἦν διὰ τῆς ἀπειλῆς πῶς οἱ πολλοὶ ἕξουσι τυπτομένου, εἶτα βουλομένους ἰδὼν τοὺς Ἕλληνας οὐχ ὑπερέθετο κτλ. Lp 5 ταὐτὰ e ταῦτα corr. B 6 ἀεὶ pro παίει Lp 8 βραχεῖα πληγή Lp 9 post ἄκοσμος ins. ὕβρει Lp, idem τὸ σῶμα post ὑγιὴς δέ 9 καὶ χρημ. εἰσφ Lp 10 ὁ om. Lp τῇ om. Lp 11 in B et Lp nonnulla praemittuntur aliunde illata ὁ om. Lp 12 sqq. Lp ita: καὶ θορύβου ὄντος ὡς καὶ τὴν Ἀθηνᾶν εἰδομένην κήρυκι σιωπᾶν λαὸν ἀνώγειν ἔδει τὸν πρῶτον δημηγοροῦντα γεγωνότερον βοᾶν, ὡς ἅμα οἱ πρῶτοί τε καὶ ὕστατοι μῦθον ἀκούσειαν. ὁ μὲν οὖν κτλ. lin. 13 14 ἠδύνατο ὁπότε ὄπα τε μεγάλην ἐκ στήθεος εἴη Lp ἵει, ἵ in ras., B 15 ὁ μὲν ἔτι τεταρ. δημηγορεῖ, ὁ δὲ νέστωρ ἤδη ἡσ. ἀγ. Lp addit B: τρία δὲ ῥητορικῆς εἴδη, συμβουλευτικὸν κτλ., quae aliunde illata sunt 18 in cod. huic lineae in interiore paginae latere adscriptum Ἀριστοτελ.

1—7 †*B f. 25ᵇ ad *ἀφραίνοντα* v. 258 (id. Lp f. 69ᵇ c. l. *εἴ κ' ἔτι σ' ἀφραίνοντα*, L f. 33ᵃ *Π*, c. l. *εἰς τὸ εἴ κ' ἔτι σ' ἀφραίνοντα κιχήσομαι*): *ἐναντίον ἐστὶ τὸ εἴ κ' ἔτι ⟨εἰ κέ τι B⟩ σ' ἀφραίνοντα κιχήσομαι* ⟨L pro *τὸ — κιχήσομαι: τοῦτο*⟩ *τῷ ὡς ἄρ' ἔφη, σκήπτρῳ δὲ μετάφρενον ἠδὲ* ⟨*ἠὲ* L⟩ *καὶ ὤμω πλῆξεν· μεταξὺ γὰρ οὐχ ὑπερβαλλόμενος αὐτὸν παίει. λύοιτο δὲ τῇ λέξει· προεῖπε γάρ· εἰ μὴ ἐγώ σε λαβὼν ἀπὸ μὲν φίλα εἵματα δύσω καὶ γυμνὸν αἰκιοῦμαι, ὧν οὐδὲν φαίνεται δρῶν τὰ νῦν.*

† L f. 32ᵇ (id. fere Paris. ap. Cramer. III, p. 152, 17): *διὰ ποίαν αἰτίαν εἴ κ' ἔτι σ' ἀφραίνοντα κιχήσομαι εἰπὼν καὶ τὰ ἑξῆς εὐθὺς λέγει σκήπτρῳ δὲ μετάφρενον ἠδὲ καὶ ὤμω πλῆξεν; λέγομεν δὲ ἡμεῖς, ὅτι εἶπε τὸ τηνικαῦτα ἀποδύειν καὶ οὕτω τύπτειν γυμνόν. νῦν δὲ ἁπλῶς ἔπληξεν.*

8 sqq. Cf. p. 32, 28 sqq.

† Paris. ap. Cramer. III, p. 279, 32: .... *κολάζεται ὁ μὲν εὐφυὴς νουθεσίαις, ὁ δὲ ἄκοσμος βασάνοις, ὁ δὲ λελωβημένος βραχείᾳ πληγῇ καὶ μεθ' ὅρκων ἀπειλῇ.* Idem fere apud Eustathium, p. 217, 32, *τοὺς παλαιούς* afferentem.

13 Cf. p. 27, 2.

εἰ μὲν οὐδὲν ἦν τέρας τὸ γινόμενον, ἐξηγεῖται ὡς τέρας — τί γὰρ ἄτοπον ὑπὸ ὄφεως στρουθοὺς κατέδεσθαι ἢ τούτους ὀκτὼ εἶναι; — περὶ δὲ τοῦ λίθον γενέσθαι οὐδὲν λέγει, ὃ ἦν μέγα; εἰ μὴ ἄρα εἰς τὸν ἀπόπλουν ἐσήμαινεν, ὥς τινές φασιν (οὐκ ἔδει δὲ ἀναμνῆσαι· εἰκὸς γὰρ ἦν ὑπολαβεῖν καὶ εἰ μή τις ἔλεγε), καὶ τότε ἀξίως ἔλεξε τοῦτο, ὅτι οὐδὲ ἀπέδωκεν ἄν, εἰ ἦν τὸ * * * * τέρας· ἐνάτη γὰρ ἦν ἡ μήτηρ, δεκάτῳ δὲ τὸ Ἴλιον ἥλω. φησὶν οὖν μὴ εἰς τὸν νόστον εἰρῆσθαι τὰ περὶ τῆς ἀπολιθώσεως τοῦ δράκοντος· διὸ οὐδ' ἐποίησε λέγοντα· οὔτε γὰρ πάντες ἄνοστοι ἐγένοντο γελοῖός τ' ἂν ἦν οὐκ ἀποτρέπων τοῦ πλοῦ ἀλλὰ πλεῖν προτρεπόμενος οὓς ἐδήλου τὰ σημεῖα μὴ ἐπανήξειν. μήποτ' οὖν, φησί, τὸ σημεῖον τὸ λίθον γενέσθαι βραδυτῆτος σημεῖον ἦν, ὅπερ ἤδη ἐγεγόνει καὶ οὐκέτ' ἦν φοβερόν. ἐλήφθη δὲ ἐν ἔτεσιν ἐννέα· τοῦ δεκάτου γὰρ ἔτους ἀρχομένου ἐγένετο, ἀριθμεῖ δὲ τὰ ὁλόκληρα ἔτη, ὥστε συνᾴδει ὀρθῶς ὁ ἀριθμὸς τῶν ἀπολωλότων καὶ τῶν ἐτῶν.

οἱ δὲ τὰ περὶ οἰωνιστικῆς τῆς καθ' Ὅμηρον γράψαντες τὴν μὲν νεοττιάν, ὡς ἂν ἐπ' ἄκρας τῆς πλατάνου κειμένην τῶν κλάδων, οὖσαν ἐνάερον εἰλῆφθαί φασι πρὸς τὴν ἀνεμόεσσαν πόλιν, τούς τ' ἐνοικοῦντας ἐν αὐτῇ στρουθοὺς στρατὸν εἶναι ἀλλοεθνῆ· πολλοὶ γὰρ ἐπίκουροι πολλέων ἐκ πολίων (v. 130) κατῴκουν τὴν πόλιν· πτηνοὶ γὰρ ἀέρι

5. 6 καὶ τότε ἀξίως ἔλε[ξε] τοῦτο ὅτι οὐδὲ ἀπέδωκεν ἂν εἴη τὸ τέρας, quae corrupta esse liquet. ἔλεξε Cobet. ap. Dind.; εἰ ἦν τὸ ..... τέρας nos tentavimus. Lacunam ita fere supplendam esse: τοὺς στρουθοὺς ὑπὸ τοῦ ὄφεως κατέδεσθαι, ea quae sequuntur veri simile reddunt: numerum avium non congruere cum annorum numero. Corruptelam temporibus deberi codice Veneto superioribus e scholio excerpto infra edito sequi videtur 10 οὓς Bekk., cod. ὡς 16 νεοττείαν cod., corr. Bkk. ἄκρας in cod. compend. scrpt., potest esse ἄκρων

3—10 † B f. 27[a] ad ὦον v. 325 (Lp f. 71[a] c. l. ὦον κλέος): .....*τὸν δὲ λίθον οὐκ ἐξηγεῖται ἢ πρὸς τὸ μὴ λυπῆσαι ἢ ὅτι τέρας ἐστίν* (cf. var. lect. lin. 5. 6).

12—14 †*B f. 27[a] ad *τῷ δεκάτῳ* v. 329 (id. L f. 36[a] *Π*, *εἰς τὸ τῷ δεκάτῳ δὲ πόλιν αἱρήσομεν εὐρυάγυιαν*, Lp f. 71[a] c. l. *τῷ δεκάτῳ*): *μαχόμενον ἔχει τὸν ἐπιλογισμὸν* ⟨*ἀπολογησμὸν* B; *ἀπολογισμὸν* Lp; idem, *ἀπο* supra lin. script., L⟩ *τοῦ ἀριθμοῦ τῷ προκειμένῳ πλήθει τῶν στρουθῶν· προείρηκε γάρ· ὀκτώ, ἀτὰρ μήτηρ ἐνάτη ἦν, ἣ τέκε τέκνα. λύεται δὲ ὅτι τὸ δέκατον τίθεται καὶ ἐπ' ἀρχῆς, ὥστε εἰ κατ' ἀρχὰς τοῦ δέκατου γέγονεν ἡ ἅλωσις, οὐκ ἂν ἐπιβάλλοι* ⟨*ἐπιβάλλον* L⟩ *καὶ τοὺς στρουθοὺς δέκα ποιεῖν.*

Eadem fere, adiunctis aliis quae nonnullis interiectis infra (p. 34, 30) leguntur, in alterum scholium transierunt:

†B f. 27[a] ad *τῷ δεκάτῳ* (id. L f. 36[a], Lp f. 71[a] c. l. *τῷ δεκάτῳ*, A): *διὰ τί οὐχὶ ἐνάτῳ* ⟨*καὶ διὰ τί οὐχ ἑν.* L⟩ *ἔφη ἐνιαυτῷ ἔσεσθαι τὴν πόρθησιν* ⟨*ἑλέσθαι τὴν πόλιν* L⟩, *καίτοι τῆς ἀκολουθίας τῶν σημείων τοῦτο ἐχούσης· ὀκτώ, ἀτὰρ μήτηρ ἐνάτη ἦν; ἢ ὅτι τῶν* ⟨*τὸ* Lp⟩ *ἐννέα πληρωθέντων ἀνάγκη νοεῖν τὸ ἐπέκεινα* ⟨B *ἐκ* in ras.⟩ *δέκατον. ἢ καὶ τὸν δράκοντα αὐτὸν δεῖ συναριθμεῖν, ὃς ἐστι δέκατος, ὡς ὅλου τοῦ ἀγῶνος ἐν τούτῳ μέλλοντος παύσεσθαι* ⟨*παύσασθαι* L⟩. ⟨quae sequuntur A om.⟩ *ὁ λιθωθεὶς οὖν δράκων ἐσήμανεν* ⟨*ἐσήμαινεν* Lp⟩, *ὅτι οὐκέτι κίνησιν ἔλαβεν ὁ πόλεμος.*

μᾶλλον ἢ χώρᾳ οἰκειότεροι. τὸ δὲ ξύλον τῆς πλατάνου, νεαροῦ ξύλου καὶ ὑδρηλοῦ, δι' οὗ ὁ δράκων ἐπίγειον ἀνύει πορείαν ἐπὶ τοὺς στρουθούς, ἐδήλου οὖν, διότι πολὺς στρατὸς, πορείαν ποιησάμενος διαπόντιον νηίτης, περάσας διὰ τῆς χώρας ἐπιπεσεῖσθαι τοῖς Τρωσὶν ἔμελλεν. ἐπίγειος γὰρ ὁ ὄφις· διὰ ξύλου οὖν ἕρπων ὑδρηλοῦ τὴν διὰ νηῶν πορείαν ἐδήλου, εἶτ' ἀπόβασιν καὶ διὰ τῆς χώρας ἔφοδον τοῖς τὴν ἡνεμόεσσαν κατοικοῦσι πόλιν. τὸ δὲ πετάλοις ὑποπεπτηῶτας εἶναι τοὺς στρουθοὺς δηλοῦν τὸ ἀβέβαιον τῆς εὐθαλείας τῶν κατοικούντων τὴν πόλιν· φυλλορροεῖ γὰρ τὰ δένδρα. στρουθοὺς δὲ καὶ οὐκ ἄλλα ὄρνεα παρείληφεν, ὅτι ἱερὰ μὲν Ἀφροδίτης ἡ στρουθὸς κατωφερέστατον δὲ ζῶον καὶ λάγνιστον, οἰκεῖοι δὲ τῇ Ἀφροδίτῃ οἱ Τρῶες καὶ λαγνείας εἵνεκα τὸν πόλεμον ἐνστησάμενοι, ὥσπερ τῆς Ἀθηνᾶς ἱερὸς ὁ δράκων, φίλοι δὲ Ἀθηνᾶς οἱ Ἕλληνες, οὓς τῷ σημείῳ ὁ δράκων ἐσήμανεν. ὁ δὲ τῶν στρουθῶν ἀριθμὸς τῶν ἐτῶν ἐδήλωσε τὸν ἀριθμόν· ἐτήσιος γὰρ ἡ γένεσις ὄρνισι, καὶ ὀκτὼ μὲν ἔτη, ἐν οἷς ἦσαν ἀπόρθητοι, μικρὰ ταῦτα, τὸ δὲ ἕνατον, ἐν ᾧ τὸ τέλος, τὸ κεφάλαιον ἂν εἴη τοῦ χρόνου, ὥστε οἰκεία ἡ μήτηρ τῷ χρόνῳ τούτῳ. ἐννέα δὲ καὶ οὐ δέκα ὁ ἀριθμός, ὅτι τοῦ πολέμου ὁ χρόνος ἀριθμεῖται, οὐ τῆς ἁλώσεως. τί γάρ φησιν;

ὣς ἡμεῖς τοσσαῦτ' ἔτεα πολεμίζομεν αὖθι

(v. 328), ἐννέα ἔτεα, ὧν τὸ ἕνατον τὸ κεφάλαιον περιεῖχε τῶν κακῶν καὶ περιοχὴν τῶν παρελθόντων ὀκτώ, τῷ δεκάτῳ δὲ πόλιν αἱρήσομεν (v. 329), μετὰ γὰρ τὴν μητέρα τῶν στρουθῶν καὶ τὸ ἕνατον ἔτος ἑτοίμη ἦν ληφθῆναι ἡ νεοττιὰ καὶ ἡ πόλις ἡ τῶν Τρώων. ἡ ἰαχή τε τῆς μητρὸς καὶ τῶν τριζόντων νεοττῶν τὴν οἰμωγὴν ἐδήλου τῶν ἁλισκομένων. ἡ δὲ τοῦ δράκοντος ἀπολίθωσις κατὰ μὲν Ἀριστοτέλην τὴν βραδυτῆτα ἐδήλου καὶ τὸ σκληρὸν τοῦ πολέμου, κατὰ δὲ [τοὺς] ἄλλους τὴν τῆς πόλεως ἐρήμωσιν καὶ τοῦ μὲν ζωτικοῦ παντὸς κένωσιν τῶν δὲ λίθων καὶ οἰκοδομημάτων κατάλυσιν, τῶν Τρώων ἁλόντων Ἑλλήνων ἀποπλευσάντων.

τὸ δὲ δέκατον ἔτος, ὅπερ διὰ τοῦ δράκοντας δεκάτου ὄντος ἐν τοῖς σημείοις ἀριθμεῖται, λαμβανόμενον τὸ αὐτὸ εἰς μὲν τοὺς Ἕλληνας

---

8 εὐθᾶ cod. 9 φυλλοροεῖ cod. 19 τοσαῦτ' cod. 23 νεοττεία cod. 26 τοὺς cod. om.

---

23 Aristotelem cf. supra p. 33, 11. Eust., p. 226, 32, si quidem recte editum: *ὁ μὲν δράκων Ἀθηνᾶς, φησίν, ἱερός, ὡς ἐν τῇ Ἀ ῥαψῳδίᾳ εἴρηται, διὸ καὶ εἰς τοὺς Ἕλληνας ἐκλαμβάνεται*, Porphyrium afferre videtur; neque tamen propterea ausim res nonnullas et ab eodem Eustathio et in scholiis praeter ea quae h. l. contulimus allatas ad eundem auctorem referre (velut schol. B *B* 328: *τρεῖς εἰσιν οἱ χρόνοι, δι' ὧν ὁ πᾶς αἰὼν ἀριθμεῖται κτλ.* coll. Eust. p. 226 extr.).

30 sqq. Quae iam sequuntur aliunde neque e libro *περὶ οἰωνιστικῆς τῆς καθ' Ὅμηρον* petita esse, vel inde sequitur, quod decem annorum numerus, qui in iis quae antecedunt aliter constitutus est, nunc ita efficitur, ut ipse serpens novem

γίνεται λίθος μένων καὶ ἀρίζηλος, πᾶσιν διακένωμα ὢν καὶ λίθους μεμενηκέναι τοῦ πολέμου καταλυθέντος, ὥστε τὸν δράκοντα ἐπιόντα μὲν δηλοῦν τὴν ἔφοδον τῶν Ἑλλήνων, διὰ δὲ τῆς πλατάνου τὴν διὰ τῶν νεῶν γινομένην, κατεσθίοντα δὲ τοὺς ἐννέα στρουθοὺς μετὰ τῆς μητρὸς σημαίνειν τὸν ἐνναετῆ πόλεμον, ἀπολιθούμενον δὲ δέκατον ἐν τοῖς σημείοις αὐτὸν ἐρημίαν δηλοῦν τὴν ἐν τῷ δεκάτῳ ἔτει, τῶν Ἑλλήνων ἀποστάντων καὶ τῆς πόλεως ἐν λίθοις μόνοις καταλειφθείσης, παντός τε τοῦ ἐμψύχου ἔκ τε αὐτῆς καὶ τῶν περὶ αὐτὴν καθημένων κενωθέντος· ἐμήνυε δὲ ἡ εἰς παράδοξον καὶ θαυμαστὸν μεταβολὴ τὴν τῶν κατειργασμένων ἐπὶ πλεῖστον μνήμην. ἡ δὲ ἕδρα τῶν ὀρνίθων καὶ ἡ ἐν τῇ νεοττιᾷ τῶν στρουθῶν καθέδρα ἐδήλου τοὺς ἐνδομυχοῦντας καὶ ἐν τῇ πόλει κατακλείστους Τρῶας. οἱ δὲ βεβαιότερόν φασιν εἶναι τὰ διὰ τῶν καθεδρῶν ἢ ὅσα πετόμενοι σημαίνουσιν ὄρνιθες, ὥσπερ γὰρ πετόμενοι μηνύουσι ταχύτερον οὕτω πάντα ἔσεσθαι, οὕτω καθεζόμενοι ποιοῦσι χρόνια καὶ παράμονα. τὸ δὲ καὶ περιπέτεσθαι τὴν νεοττιὰν τὴν μητέρα ἀεὶ καὶ μὴ πόρρω ἀποχωρεῖν ἐδήλου, ὅτι καὶ οἱ ἐκ τῆς πόλεως ἐξιόντες αὐτόθι περὶ τὴν πόλιν καὶ οὐ πόρρω χωρεῖν ἔμελλον, ἀλλὰ ζῆν περὶ αὐτὴν χρειοῖ ἀναγκαίῃ πρό τε παίδων καὶ πρὸ γυναικῶν (Θ 57). τὴν δὲ νεοττιὰν οὐ διέφθειρεν ὁ δράκων, ὅτι οὐκ ἐξηλίφη τέλος ἡ πόλις, ἀλλὰ μόνοι οἱ ἐνοικοῦντες, αὐτῆς μὲν μενούσης, τῶν δ' ἐπελθόντων μετὰ τὴν ἀναχώρησιν καὶ πόρθησιν ἐρημίαν φοβερὰν καταλελοιπότων καὶ πάντα εἰς λίθους περιστησάντων διὰ τὸ ἄπορον καὶ ἄψυχον τῆς χώρας, ἐγκαταλελειμμένης καὶ τῆς πόλεως. ἅμα δὲ καὶ ὅτι ἡ ἀποστροφὴ τοῖς Ἕλλησιν ἀντιτυπής ἐστι καὶ σκληρὰ ἐδήλου ὁ ἀπολιθούμενος δράκων· ἀπαλλάσσεσθαι γὰρ μέλλων ἤδη τῆς νεοττιᾶς ἐγένετο λίθος καὶ ἐπὶ τῆς ὁδοῦ ἔτι ὤν. τὸ δὲ δένδρον οὖν ἡ ὁδός. ἀλλὰ καὶ ἡ πορεία τοῦ δράκοντος οὐκ οὖσα ὀρθὴ φύσει οὐδὲ εὐθεῖαν τὴν ὁδὸν τοῖς Ἕλλησιν ἐσήμαινεν, ὁποία ἐγένετο καὶ αὐτοῖς ἀπιοῦσί τε καὶ ὑποστρέφουσιν. οὐδὲ τὸ ἐλελιξάμενος πτέρυγος λάβεν (B 316) ἐστὶν ὡς πρὸς μαντείαν ἄχρηστον· ἐδήλου δὲ τὸν τρόπον καθ' ὃν τὴν Ἴλιον ἔμελλον ἐκπορθήσειν οἱ Ἕλληνες· οὐ γὰρ ἐκ τοῦ εὐθέος ἐκράτη-

1 διακένωμα corrupt.; nisi gravius mendum latet, fortasse scribendum πᾶσι δὲ μνῆμα ὢν κτλ. 11 νεοττεία corr. e νεοττιᾶ cod. 13 πετόμενοι, ante τ littera eras., cod. 19 ἐξειλίφη cod. 23 ἐγκαταλειμμένης cod. 25 νεοττείας cod.

avibus annumeretur. Accedit quod dicendi ratio a pedestri oratione remotior, quae illic occurrit (*πορείαν* dico *ἀνύειν*, *νηίτην*, *εὐθάλειαν*, *λάγνιστον*, *μικρὰ ταῦτα* omisso articulo), in sequentibus desideratur (*ἐνδομυχεῖν* p. 35, 11 a scholiorum usu non alienum est, v. schol. V Ar. Vesp. 970). Esse tamen etiam in fragmento illo *περὶ οἰωνιστικῆς* et maxime quidem sub finem eius ubi ipse Porphyrius quae legerit referat apertum est.

29 sqq. †B f. 27ᵃ ad *ἐλελιξάμενος* v. 316 (id. L f. 35ᵇ, Lp f. 71ᵃ c. l. *τὴν δ' ἐλελιξάμενος*): *ἐπιστραφείς. οὐδὲ τοῦτο δὲ* ⟨om. L⟩ *ἄχρηστον πρὸς τὴν μαντείαν· οὐ γὰρ εὐθέως ἐκράτησαν αὐτοὺς καὶ εἷλον* ⟨*καὶ ἀνεῖλον* L⟩, *ἀλλ' ἀν-*

καν καὶ εἷλον, ἀλλ' ἀναχθέντες ἀπὸ τῆς Τρωάδος εἶθ' ὑποστρέψαντες, ὃ ἔστιν εἰπεῖν ἐλελιξάμενοι. ἡ δὲ πλάτανος διὰ μὲν τὸ ὑδρηλὸν καὶ εὔμηκες ἐδήλου τὴν διὰ νεῶν καὶ ὕδατος μακρὰν πορείαν, διὰ δὲ τὸ ἄκαρπον φύσει καὶ ὅτι ἄκαρπος ἡ πορεία καὶ τοῖς ἐπελθοῦσιν Ἕλλησι καὶ τοῖς ἐνοικοῦσι τὴν πόλιν τῶν Τρώων· τά τε γὰρ ληφθέντα λάφυρα ἐξ Ἰλίου ἄλλα ἄλλως ἀπώλετο, καὶ οἱ Τρῶες οὐδένα καρπὸν ἔσχον, μεινάσης αὐτοῖς τῆς νεοττιᾶς ἐν ἀκάρπῳ μὲν δένδρῳ φύλλοις δὲ πρὸς καιρὸν θάλλουσιν, αὐτοὶ ἄρδην ἀπολόμενοι.

ad scholia excerpta referendum:

B f. 26ᵇ ad σῆμα v. 308. L f. 34ᵇ. Lp f. 71ᵃ c. l. μέγα σῆμα. A f. 30ᵃ c. l. στρουθοῖο v. 311. Cf. Townl. et Par. ap. Cramer., An. Par. III, p. 280; 153.

ὁ δράκων Ἀθηνᾶς ἱερός, οἱ στρουθοὶ Ἀφροδίτης χρόνον τε δηλοῦσιν, ἐπεὶ πτηνὸς ὁ χρόνος. ὁ δὲ λίθος, ἐπεὶ οὐκέτι κίνησιν ἔλαβεν ὁ πόλεμος. καὶ τὸ μὲν ἐφ' ὕψους κεῖσθαι τὴν νεοττιὰν τὴν ἠνεμόεσσαν Ἴλιον. οἱ δὲ ὑπὸ τοῖς πετάλοις νεοσσοὶ τὸ ὀλιγοχρόνιον τῶν Τρώων· μαραινομένων γὰρ ὅσον οὔπω τῶν φύλλων ἀποπεσοῦνται. ἡ δὲ ἐνάτη μήτηρ τῆς ἐννεατηρίδος τὸν ἔσχατον ἀγῶνα ἐσήμανεν. ἡ δὲ διὰ τοῦ ὕδατος πορεία τοῦ δράκοντος τὴν δι' ὕδατος ἄφιξιν τῶν Ἑλλήνων. τὸ δὲ περιλειφθῆναι τὴν νεοττιὰν τὸ μὴ παντελῶς ἠφανίσθαι τὸν τόπον· οἰκεῖται γὰρ μέχρι τοῦ νῦν. ἡ δὲ ἀπολίθωσις τὸ δυσδιεξόδευτον τῶν νόστων ἢ ὅλου τοῦ ἀγῶνος παῦσιν· οὐ γὰρ ἠμύναντο ἔτι τοῦ λοιποῦ τοὺς Ἕλληνας οἱ Τρῶες. ἢ ὅτι εἰς λίθους περιστήσεται τοῦ πολέμου τὸ τέλος.

A f. 30ᵃ.

δράκων (v. 308). τούτῳ ⟨τοῦτο cod.; corr. Dind.⟩ τὸ ὄνομα ὁ Πορφύριος ἐν τοῖς Ζητήμασί φησι Σθένιος· οὕτως γὰρ ἱστόρηται Διονυσίῳ ἐν τῷ ε' τῶν ἀπόρων.

---

5 τὴν πλάτανον τῶν τρ. cod., quae fort. ita servanda erant ut lacuna post πλάτανον constitueretur; πόλιν etiam Roemer ap. Fleckeis. 1878, p. 538 10 initium scholii e codd. B et Lp dedi; AL brevius: οἱ στρουθοὶ ἀφρ. χρόνον τε ⟨om. L⟩ δηλοῦσιν 12 ἢ τὸ μὲν BLp ὅτε μὲν A νεοττείαν BLLp καὶ (pro τὴν) ἠν. L 13 οἱ δὲ ὑποπετάλιοι ν. A ὑποτπετάλιοι (sic) L 14 οὔπω L, om. BLp, οὐδέπω A 15 τῆς ἐννεατηρίδος τὸ πολέμου τὸ ἐναγώνιον ἐσήμ. AL 16 πορία L 17 νεοττείαν BLp, νεοσσιὰν L, νοσσιὰν A 18 ἕως τοῦ ν. A post ἀπολ. A ἡ ins. 19. 20 ἢ ὅλου — Τρῶες om. AL 20 καὶ ὅτι pro ἢ ὅτι A τὸ τέλος τ. π. A 21 post τέλος sequuntur in codd. BLLpA: ἔστι δὲ σῆμα ⟨σημεῖον B⟩ μὲν τὸ παρὰ τόπον γινόμενον κτλ., quae neque ex integra disputatione excerpta sunt neque Porphyrii esse probari possunt. Eadem fere in schol. B ad Ε 742 leguntur

---

αχθέντες ἀπὸ τῆς Τρωάδος ⟨*τρωίδος* BLp⟩, *εἶτα ὑποστρέψαντες*. Quae sequuntur aliunde huc illata sunt: *ἀμφιαχυῖαν δὲ τελειοτέρᾳ φωνῇ ἐχρήσατο τοῦ τετριγῶτας* ⟨*τετριγότας* B; *τετριγῶτας* L, ι e corr.; *χρήσατο τοῦ τετριγότας* Lp, primo verbo *ἐ* ab alia manu addito, quae eadem *ο* ultimi verbi in *ω* mutavit⟩.

10 sqq. Cum veri haud simile sit verba *χρόνον τε δηλοῦσιν, ἐπεὶ πτηνὸς ὁ χρόνος* ex ipso Porphyrii libro excerpta in iis quae modo edidimus casu intercidisse, scholium ad scholia excerpta referendum infra textum edendum erat. In magna tamen codicum discrepantia eo quo posuimus loco perspicuitati melius consultum esse existimavimus.

ἔνθ' ἐφάνη (ibid.). ὅπου ἡμῖν ὤφθη ὁ δράκων. οὗτινος δρά- L f. 35ᵃ.
κοντος τὸ ὄνομα ὁ Πορφύριος ἐν τοῖς ζητήμασί φησι. λέγει γὰρ αὐτὸν Σθένιον. οὕτως γὰρ ἱστορεῖται Διονύσιος ἐν τῇ πέμπτῃ τῶν ἀπόρων.

5 350. v. ad v. 370 (p. 38, 36).

362. ..... ζητοῦσι δέ τινες, τί δή ποτε οὐκ ἐν ἀρχῇ τοῦ πολέ- B f. 28ᵃ ad κρῖν'.
μου τὸ στράτευμα διατάττει ὁ Νέστωρ. ῥητέον δὲ ὅτι ἔχοντες πρῶτον Lp f. 72ᵃ c. l. κατὰ φῦλα.
Ἀχιλλέα τούτων οὐκ ἐδέοντο, ὡς οὐδὲ τοῦ τείχους.

362. ἐζήτηται, διὰ τί ταύτην τὴν τάξιν πρὸ πολλοῦ μὴ ὑπετίθετο A
10 ⟨μὴ πρὸ πολλῶν ὑπετ. Par.⟩ ὁ Νέστωρ. ἤτοι ὅτι πάλαι μὲν Ἀχιλλεὺς Par. 2767
φίλος ⟨φιλόσοφος A⟩ ὢν τῶν Ἑλλήνων ἤρκει πρὸς τὸ συνέχειν τοὺς (Cram. III,
βαρβάρους, καὶ καλῶς ἐκείνῳ θαρρῶν οὐκ ἐποίει τοῦτο, νῦν δὲ αὐτοῦ p. 191).
μηνίοντος εἰκότως ἀσφαλεστέραν διάταξιν εἰσάγει.

367. ad I 1 sqq.

15 370 sqq. διὰ τί, Ὀδυσσέως καὶ κρατήσαντος τοὺς Ἕλληνας φεύγειν *B f. 28ᵃ ad νικᾶς v. 370.
μέλλοντας καὶ τοὺς οἷος ὁ Θερσίτης καταστασιάζοντας ἐπισχόντος καὶ ἀπειλαῖς καὶ πληγαῖς — ὁμοίως γὰρ τῷ Θερσίτῃ ὃν δ' αὖ δήμου τ' ἄνδρα ἴδοι βοόωντά τ' ἐφεύροι, τὸν σκήπτρῳ ἐλάσ|σασκεν ὁμοκλήσασκέ τε μύθῳ (v. 198. 99)· ὅθεν καὶ τὸν Θερσίτην προήχθη
20 τύψαι, χείρονα ὄντα τῶν πληγὰς εἰληφότων — πρὸς δὲ τούτοις δημηγορήσαντος οὕτως ὡς ἐπιβοῆσαι αὐτῷ ἅπαντας ἐπαινοῦντας — ὣς ἔφατ', Ἀργεῖοι δὲ μέγ' ἴαχον, ἀμφὶ δὲ νῆες σμερδαλέον κονάβησαν ἀυσάντων ὑπ' Ἀχαιῶν, μῦθον ἐπαινήσαντες Ὀδυσσῆος θείοιο (v. 333—35) —, Ἀγαμέμνων μόνῳ Νέστορι τὰ πρωτεῖα
25 δίδωσι καὶ τῆς νίκης παραχωρεῖ, λέγων ἦ μὰν αὖτ' ἀγορῇ νικᾷς, γέρον, υἷας Ἀχαιῶν (v. 370), καὶ τοιούτους δέκα εὔχεται συμφράδμονας γενέσθαι; οὕτω γὰρ τάχα πορθηθῆναι τὴν Ἴλιον, χερσὶν ὑφ' ἡμετέρῃσιν ἁλοῦσαν (v. 374).

ῥητέον οὖν ὅτι οὐχ ἁπλῶς νικᾶν ἔφη καὶ ἐν πᾶσι τὸν Νέστορα,
30 ἀλλὰ μόνον ἐν τῇ ἀγορῇ νικᾷς, γέρον, τὰ πρωτεῖα διδοὺς κατὰ τὴν δημηγορίαν καὶ αὐτὸς τῷ Νέστορι, καθάπερ οἱ Ἕλληνες τῷ Ὀδυσσεῖ. Ὀδυσσεὺς μὲν γὰρ ἐδημαγώγησεν ὡς πρὸς δημοκρατίαν ἁρμόσας τὸν λόγον, καὶ ὡς ἐπ' αὐτοῖς ὃν μένειν ἢ ἀποπλεῖν — τί γάρ φησιν, ὑποτάξας τὸν Ἀγαμέμνονα τῇ τῶν Ἑλλήνων ἐξουσίᾳ; Ἀτρείδη, νῦν σε, ἄναξ, ἐθέλουσιν Ἀχαιοὶ πᾶσιν ἐλέγχιστον θέμεναι μερόπεσσι βροτοῖσι (v. 284. 85) καὶ τὰ ἑξῆς — ὁ δὲ Νέστωρ τὸν Ἀγα-

8 πλήθους codd., quod e schol. B 491 correxi 21 ὡς addidi; cod. om.

1 sqq. Cf. Paris. 2556 (Cram. III, p. 153, 10) c. l. *δράκων: ὅπου ἡμῖν ἐφάνη ὁ δράκων. οὗτινος τὸ ὄνομα ὁ Πορφύριος ἐν τοῖς ζητήμασιν ἔφη, λέγων αὐτὸν Σθένιον.*

6—13 Cf Porph. B 494.

29 Cf. ad p. 38, 36.

μέμνονα αὐτὸς ἄρχειν παρακαλεῖ καὶ μὴ φροντίζειν τῶν ἀποστατούντων, συμφέρειν γὰρ πᾶσι τὴν τούτου ἀρχὴν διὰ τὸ πάντας οὐχ ὑποσχέσεσιν ἁπλῶς, ὡς Ὀδυσσεὺς ἔφη (v. 286), ὅρκοις δὲ καὶ συνθήκαις καὶ δεξιαῖς πιστώσασθαι τὴν τούτου ἡγεμονίαν, ἀπειθοῦσι δὲ αὐτοῖς καθὼς ἐξώμοσαν πάντες γενέσθαι τὴν παράβασιν· Ἀτρείδη, σὺ δ' ἔθ' ὡς πρὶν ἔχων ἀστεμφέα βουλὴν ἄρχευ' Ἀργείοισι κατὰ κρατερὰς ὑσμίνας, διὰ τί; πῇ γὰρ αἱ συνθῆκαι καὶ ὅρκια βήσεται ἡμῖν σπονδαί τ' ἄκρητοι καὶ δεξιαὶ ἧς ἐπέπιθμεν;

διόπερ Ὀδυσσεὺς μὲν τοὺς Ἕλληνας εἰπών· ὥστε γὰρ ἢ παῖδες νεαροὶ χῆραί τε γυναῖκες ἀλλήλοισιν ὀδύρονται οἴκόνδε νέεσθαι (v. 289. 90), εὐθὺς ἐπιλαμβάνεται αὐτῶν ἀνακαλούμενος τὸν λόγον διὰ τοῦ φάναι ἢ μὴν καὶ πόνος ἐστὶν ἀνιηθέντα νέεσθαι καὶ ἐκ τοῦ ἥττονος παραβάλλειν τὸ μέγεθος τῆς Ἑλληνικῆς [ἀθυμίας]· εἰ γὰρ καὶ ὁ ἕνα μῆνα μένων ἀπὸ ἧς ἀλόχοιο ἀσχάλλει ὑπὸ ἀνέμων ἐναντίων ἐμποδιζόμενος, ἡμῖν δ' εἴνατός ἐστι περιτροπέων ἐνιαυτὸς ἐνθάδε μιμνόντεσσι, [τίς ἂν νε]μεσήσαι ἀσχάλλουσι τοῖς Ἕλλησιν; ὁ δὲ Νέστωρ οὐχ Ἑλληνάς φησιν ἀξίους εἶναι ὡς παῖδας διασύρεσθαι, ἀλλ' αὐτοὺς τοὺς δημηγόρους τὰ τοῦ πολέμου ἔργα μὴ σκοπουμέ[νους] . . ὧν μάλιστα ἤρτηται ἐκ τῆς πρὸς θεοὺς εὐσεβείας· ἦ δὴ παισὶν ἐοικότες ἠγοράασθε νηπιάχοις, οἷς οὔτι μέλει πολεμήια ἔργα (v. 337. 38)· πῶς οὖν οὐ μέλλει [τις κακῶς] διὰ ἀφροσύνην τὰ τῶν πολέμων φρονεῖν, ὅτε δή φησιν ἐν πυρὶ δὴ βουλαί τε γενοίατο, συνθεσίαι καὶ τὰ ὅρκια, σπονδαί τ' ἄκρητοι καὶ δεξιαὶ ἧς ἐπέπιθμεν· τὸ θαρρεῖν γὰρ εὐορκοῦσι καὶ τηροῦσι τὰς διὰ θεῶν πίστεις ἀνδρῶν ἂν εἴη εὐφρόνων καὶ εἰδότων τὰ κοινὰ τῶν πολέμων εὐλαβεῖσθαι· καὶ τούτων ἀναμιμνήσκειν δεῖ, φησί, τοὺς συμβουλεύοντας ῥήτορας. ἀκολούθως δὲ τούτοις ἐπάγεται καὶ τὸ ἔα φθινύθειν ἕνα καὶ δύο τῶν ἀπειθούντων, οἳ οὐκ ἀνύουσι πρότερον τὸ εἰς οἶκον ἀπελθεῖν, πρὶν καὶ Διὸς αἰγιόχοιο γνώμεναι εἴτε ψεῦδος ὑπόσχεσις εἴτε καὶ οὐχί (v. 346—49). εἰ γὰρ ἐπὶ ὅρκοις καὶ σπονδαῖς καὶ τοῦ πολέμου, παρασκευαῖς καὶ δεξιαῖς καὶ Διὸς ἐγένετο ἡ ὑπόσχεσις, κίνδυνος τοῖς ταῦτα παραβαίνουσι, καὶ οὐ χρὴ θωπεύειν δημαγωγοῦντας, ἐπιπλήττειν δὲ μᾶλλον ἁμαρτάνουσι καὶ ἐπάγειν τὸν βασιλέα εἰς τὸ τῆς ἐξουσίας ἡγεμονικόν, ἀλλ' οὐκ ἀπέχεσθαι τῶν ἀρχομένων, ἐπισταμένων, οἷς ἔκριναν μετὰ πίστεως ὡς χρεὼν ἐν πᾶσιν ὑπακούειν. διὸ Ὀδυσσεῖ μὲν ἀκόλουθον δημαγωγοῦντι καὶ Κάλχαντος

---

5 δέ θ' cod. 11 αὐτῶν conieci; cod. αὐτοῦ 13 ἀθυμίας vel simile verbum supplendum esse liquet; in cod. lacuna 6 fere litterarum 16 τῆς ..... μεσήσαι cod. 19 post σκοπουμε 5 vel 6 litterae in cod. evanuerunt 21 τις κακῶς e coniectura dedi; in cod. 5 vel 6 litt. evan. 22 ὅτι cod.

36 sqq. †B f. 27ᵇ ad *γὰρ οὖν* v. 350 (id. Lp f. 71ᵇ c. l. *φημὶ γὰρ οὖν*, L f. 37ᵃ): *οἰκείως ὁ μὲν Ὀδυσσεὺς δημοχαριστικῶς δημηγορῶν τοῦ Κάλχαντος*

χρήcacθαι μαντείαις· ὕβριcτο μὲν γὰρ ὑπὸ Ἀγαμέμνονος, αἴτιος δὲ ἐδόκει ἔναγχος αὐτοῖς γεγονέναι τοῦ λοιμοῦ τῆς θεραπείας, καὶ διὰ τοῦτο πρὸς αὐτῶν ἠγαπᾶτο καὶ ἐπιcτεύετο· Νέcτορι δὲ τούτου μὲν ἀμελεῖν, εἰς δὲ τὰς Διὸς ἀνάγειν ὑποcχέcεις, αἷς μετὰ τῆς τοῦ πολέμου
5 κατορθώcεως καὶ τὸ ἡγεῖcθαι τοῦ πολέμου τὸν Ἀγαμέμνονα ἐκύρωcεν· φημὶ γὰρ κατανεῦcαι ὑπερμενέα Κρονίωνα (v. 350) καὶ τὰ ἑξῆς.

γράφει δὲ περὶ τῶν δεξιῶν ἀcτραπῶν Ἕρμων ὁ Δήλιος· καὶ ὅταν κατὰ δεξιὰ χειρὸς ἀcτράπτῃ, νίκην καὶ ὑπέρτερον εὖχος ὀπάζει. καὶ ὅλως οἱ περὶ τούτων cκεψάμενοί φαcιν ἀcτραπαὶ καὶ βρονταὶ δεξιαὶ
10 τοῖς ἐπιχειροῦcιν ἄγεcθαι. φόβους γὰρ τοῖς πολεμίοις cημαίνουcιν ἐν δεξιοῖς γινόμεναι.

διαφόρων τοίνυν οὐcῶν τῶν δημηγοριῶν, καὶ τῆς μὲν Ὀδυccέως δημοτικωτέρας τῆς δὲ Νέcτορος βαcιλικωτέρας καὶ ἀρχικῆς, εἰκότως ὁ μὲν θωπεύει, οὐ νεμεcίζομαι Ἀχαιοὺς λέγων ἀcχάλλειν παρὰ
15 νηυcί (v. 296), καὶ ὅμως ἀξιῶν· τλῆτε φίλοι καὶ μείνατ' ἐπὶ χρόνον· αἰcχρὸν γὰρ δηρόν τε μένειν κενεόν τε νέεcθαι (v. 299. 98), ὁ δὲ ὀλίγον ἐνδοὺς καὶ τοcοῦτον θεραπεύcας ἐν τῷ φάναι τῷ μή τις πρὶν ἐπειγέcθω οἴκόνδε νέεcθαι, πρίν τινα πὰρ Τρώων ἀλόχῳ κατακοιμηθῆναι (v. 354. 55), εὐθὺς μὲν ἐγείρει τὸν λόγον
20 εἰς τὴν ὑπὲρ τοῦ βαcιλικοῦ ὅρκου μνήμην ***** τίcαcθαι γὰρ Ἑλένης ὁρμήματα cτοναχάς τε (v. 356), εἰς ἀπειλὰς δὲ χωρεῖ οἰκείας βαcιλικῷ φρονήματι· εἰ δέ τις ἐκπάγλως ἐθέλει οἴκόνδε νέεcθαι, ἁπτέcθω ἧc νηὸc ἐυccέλμοιο μελαίνης, ὄφρα πρόcθ' ἄλλων θάνατον καὶ μοῖραν ἐπίcπῃ (v. 357—59). λοιπὸν δὲ οὐκ ὦ
25 Ἀτρείδη λέγει οὐδ' ὦ Ἀγάμεμνον· ἀλλὰ ἄναξ (v. 361), ὦ βαcιλεῦ, λέγων ἀξιοῖ μὲν αὐτὸν κατάρχειν cκεμμάτων καλῶν, πείθεcθαι δὲ καὶ ἄλλῳ καὶ διατάττειν ὡc χρὴ κατακοcμηθῆναι κατ' αὐτούc. εἰκότως οὖν, τοῦ μὲν πρὸc τὸ ἀρχόμενον καὶ δημοτικὸν ἁρμόζοντος λόγου, τοῦ δὲ

8 cod. Ἑρμόδημος, corr. collato schol. K 274 Meineke, Ztschr. f. Alterth. 1844, p. 11 9 sqq. verba ἀcτραπαὶ κτλ. corrupta esse facilius intellegere quam qua ratione sananda sint perspicere. Excidisse nonnulla videntur 19 εὐ . . . (evan.) cod.; εὐθὺς Dind. 20 lacuna quam post μνήμην significavi in cod. non exstat 26 λέγων Dind.; in cod. evanuit 29 ἁρμό.... (evan.) cod. λόγον cod.

προβάλλεται τὰς μαντείας, ὃς ἦν ἐχθρὸς τοῖς Ἀτρείδαις τῷ δὲ πλήθει γλυκύς, ὁ δὲ Νέστωρ τῷ βασιλεῖ χαριζόμενος τὰ τῶν θεῶν προβάλλεται. διὸ Ὀδυσσεὺς μὲν παρὰ τῶν Ἑλλήνων, Νέστωρ δὲ παρὰ τοῦ βασιλέως ἐγκωμιάζεται· ἦ μὰν αὖτ' ἀγορῇ νικᾷς, γέρον, υἷας Ἀχαιῶν· ἐπὶ δὲ Ὀδυσσέως· ὣς ἔφαθ', οἱ δ' Ἀργεῖοι μέγ' ἴαχον καὶ τὰ ἑξῆς (quae sequuntur huc non pertinent). Similia ap. Eust. p. 232 extr., *τοὺς παλαιούς* afferentem.

7 sqq. Transierunt in cod. Eton. ad *B* 353: *γράφει δὲ περὶ τῶν δεξιῶν ἀστραπῶν Ἑρμόδημος κτλ.*; post *φασιν* (lin. 9) haec leguntur: *ἀστραπὰς καὶ βροντὰς δεξιὰς τοῖς ἐπιχειροῦσιν ἄγεσθαι· φόβους γὰρ τοῖς πολεμίοις σημαίνουσιν ἐν δεξιοῖς γινόμενα.* Unde ad locum sanandum nihil lucramur.

πρὸς τὸν ἄρχοντα καὶ βασιλέα τῶν ἄλλων, τὸν μὲν τὸ πλῆθος ἐπαινεῖ, τῷ δὲ τὸ νικᾶν ὁ βασιλεὺς ἀποδίδωσιν.

A v. 374 c. l. ἁλοῦσά τε περθομένη τε.

ἐζήτηται διὰ τί, Ὀδυσσέως κατασχόντος διὰ λόγων τοὺς ὄχλους καὶ τοιοῦτον πρᾶγμα συνετὸν καὶ σπουδαῖον ποιήσαντος, ὁ βασιλεὺς νῦν δύναμιν ἐν τῷ λέγειν Νέστορι προσμαρτυρεῖ. ἤτοι ὡς δυναμικωτέρῳ· προκατειλημμένων γὰρ τῶν ἐπιχειρημάτων Ἀθηνᾷ τε καὶ Ὀδυσσεῖ ὅμως εὐπόρησε λόγων. ἢ ὅτι ὁ μὲν μόνον ὠνείδισε, Νέστωρ δὲ σὺν τῇ διατάξει καὶ συμβουλίᾳ καὶ τὰς ἀστραπὰς εἶπεν· βεβαιότερον γὰρ νίκης φῶς.

B f. 28b ad εἰ δέ ποτ'. Lp f. 72a.

379. 80. καὶ πῶς οὐ παρακαλεῖ; αἰδεῖται χωρὶς ἀνάγκης καὶ τῷ ὀνείρῳ πείθεται.

B ibid. ad πανημέριοι v. 385. Lp f. 72b c. l. πανημέριοι.

ἀβέλτερος, φησίν, ὁ Ἀγαμέμνων μήσυν ὁρῶν ὅτι ἐν πολέμῳ οὐκ ἐπὶ τοῖς μαχομένοις κεῖται τὸ τούτου τέλος, ἀλλ' ὡς ἂν τύχῃ γενόμενον. ἀγνοοῦσι δὲ ὅτι καλόν ἐστι δυσχερῆ ἐλπίζειν, ἵνα ὡς ἐπὶ πλείονι πόνῳ προθυμότεροι παρασκευασθῶσιν. ἢ γὰρ ἀποβάντων ἧττον, ἠχθέσθημεν, ἢ μή, τελεσθέντων ὑπεράγαν ἐχάρημεν.

B f. 29a ad Μενέλαος. L f. 38b. Lp f. 73a c. l. Μενέλαος.

408. διὰ τί τοὺς ἀνδρείους βοὴν ἀγαθοὺς ἀποκαλεῖ; νῦν μὲν Μενέλαον, ἀλλαχοῦ δὲ (e. c. B 563. E 114) Διομήδην, πῇ δὲ βοὴν ἀγαθὸς βάλεν Αἴας (O 249) καὶ Ἕκτορα δ' ἐφράσσαντο βοὴν ἀγαθὸν καὶ ἑταίρους (O 671). ῥητέον δὲ ὅτι μήπω σάλπιγγος εὑρεθείσης βοῇ διώκουν τὰς τῆς μάχης ἐπιθέσεις τε καὶ ἀνακλήσεις. ἄλλως τε καὶ σημεῖον τοῦ θαρσεῖν τὸ βοᾶν· ἡ γὰρ δειλία θραύουσα τὸ πνεῦμα βραχίστην ἀπεργάζεται τὴν φωνήν. διὰ τοῦτο βοῶντας παρεισάγει τοὺς ἥρωας· σμερδαλέον δ' ἐβόησεν (Θ 92), ἤυσε δὲ διαπρύσιον (Θ 227).

423. ad Φ 363.

*B f. 38b ad αἰγιόχοιο v. 787.

447. τῶν μεθ' Ὅμηρον ποιητῶν πολλοί τινες τὴν αἰγίδα παραδιδόασιν ὡς ἴδιον Ἀθηνᾶς ὅπλον, διὸ καὶ πλέονα τῶν ἐπιθέτων ἀπ'

---

3 λόγων Vill.; cod. λόγον 6 γὰρ Vill.; cod. om. 7 εὐπορῆσαι λόγον cod.; λόγων Vill.; ut Bekk. corr. Dind. alios codd. secutus 12 ἐπὶ in ras. B τύχῃ, ι eras., B 17 πῇ, ι eras., B 18 ἐφράσσατο codd., Lp. altero σ supra scripto 19 ἑτέρους codd.; correxi, quoniam praeter eos qui iam allati sunt unus Polites (Ω 250) a poëta βοὴν ἀγαθός vocatur 20 ἀνακλίσεις Lp 21 τοῦ βοᾶν Lp 22 βραχίτην L βοῶν L 26 ad v. 447 *B in interiore paginae 30a latere: ζήτει τὴν ἐξήγησιν τῆς αἰγίδος εἰς τὴν Βοιωτίαν ἐν τῷ στίχῳ τῷ οὕτως ἔχοντι· πὰρ Διὸς αἰχιόχοιο σὺν ἀγγελίῃ ἀλεγεινῇ

3–8 Ex parte certe ad Porphyrium referenda esse ex Eust. (p. 240, 9—17) sequitur, qui nonnulla quae in hoc scholio leguntur iis, quae in altero scholio exstant: *οὐ γὰρ ἐν πᾶσι πάντων ὑπερτίθησι τὸν Νέστορα, ἀλλ' ἐν μόνῃ τῇ ἀγορᾷ ἤτοι τῇ δημηγορίᾳ* (cf. supra p. 37, 29—31), subiungit.

16 sqq. Transcripsit Eust. p. 247, 35 sqq.

19 sqq. Etym. M. v. *βοή* (p. 202, 20): ... *βοὴν ἀγαθός, ὁ ἐν τῷ πολέμῳ γενναῖος· ἡ μὲν γὰρ δειλία θραύουσα τὸ πνεῦμα βραχίστην ἀπεργάζεται τὴν φωνήν*.....

26 sqq. Ex Aristarcho petita esse prima verba quaestionis Ariston. docet, e. c. Δ 167, cf. Lehrs, p. 192.

αὐτῆς τίθεται τῇ θεῷ. ὁ δὲ χρωμένην μὲν οὐδενὸς ἧccον παρεισάγει ταύτῃ τὴν Ἀθηνᾶν, τῷ δὲ Διί φηcιν αὐτὴν δοθῆναι παρὰ Ἡφαίcτου, caφῶc οὕτω διὰ τῶν ἐπῶν cυνιcτάc (O 307 sqq.)·

πρόcθεν δὲ κί' αὐτοῦ Φοῖβοc Ἀπόλλων
5 εἱμένοc ὤμοιιν νεφέλην, ἔχε δ' αἰγίδα θοῦριν
δεινὴν ἀμφιδάceιαν ἀριπρεπέ', ἣν ἄρα χαλκεὺc
Ἥφαιcτοc Διὶ δῶκε φορήμεναι ἐc φόβον ἀνδρῶν.

καθὸ δὴ καὶ πυκνῶc αὐτὸν αἰγίοχον καλεῖ. ταύτην δὲ τὴν αἰγίδα παρασκευαcτικὴν ὑποτίθεται τῶν λεγομένων κατὰ τοὺc ἀνέμουc αἰγίδων, 10 ἃc καταιγίδαc εἰώθαμεν προcαγορεύειν. Ὅμηροc μὲν γὰρ οὕτω λέγει (B 147. 48)·

ἠύτε κινήcῃ Ζέφυροc βαθὺ λήιον ἐλθὼν
λάβροc ἐπαιγίζων. * * * * *

νῦν γοῦν οὐκ ἄλλο τι, τὸ αὐτὸ δὲ τὸ λάβροc ἐπαιγίζων βούλεται 15 δηλοῦν. ἔλεγον δὲ αἰγίδαc τὰc νῦν καταιγίδαc τῶν cφοδρῶν καὶ cυνεcτραμμένων πνευμάτων καὶ ἅμα καταρcccόντων, οἷόν τι καὶ ἐν τούτῳ θεωρεῖται λέγων ὁ ποιητής (Λ 297. 98)·

ἐν δ' ἔπεc' ὑcμίνῃ ὑπεραέι ἶcοc ἀέλλῃ,
ἥτε καθαλλομένη ἰοειδέα πόντον ὀρίνει.

20 Ἀλκαῖοc δέ που καὶ Cαπφὼ τὸν τοιοῦτον ἄνεμον κατώρη λέγουcιν ἀπὸ τοῦ κατωφερῆ τὴν ὁρμὴν ἔχειν. τὴν δὲ τοῦ Διὸc αἰγίδα cυμβέβηκεν ὠνομάcθαι διὰ τῆc Ὁμήρου ποιήcεωc ὡcαύτωc τῇ περὶ τοὺc ἀνέμουc λεγομένῃ κατὰ μὲν αὐτὸν ἐκεῖνον αἰγίδι, καθ' ἡμᾶc δὲ καταιγίδι, παρασκευαcτικὴν δὲ αὐτὴν τῶν ὁμωνύμων εἰcάγεcθαι πνευμάτων, ὅτε ἐπιcει- 25 cθείη κατὰ τὸ ἐναντίον. ἐπιcειcθείcηc γὰρ αὐτῆc καὶ καταρρηγνυμένηc ἐπὶ τὴν γῆν, οὐ μόνον ἀπὸ τοῦ ψιλοῦ πνεύματοc τοὺc ἐναντίουc βλάπτεcθαι cυμβαίνει, κονιορτοῦ δὲ πρὸc τὰc ὄψειc φερομένου παντελῶc ἐμποδίζεcθαι. οἷον·

---

4 φοῖβοc, oc supra β in ras., cod. 13 lacunae quam statui in codice vestigium non exstat; exciderunt nonnulla, in quibus altera quae olim prolata erat v. ἐπαιγίζειν interpretatio (Suid. v. ἀcτήρ· ὅτι τοῦ ἀcτέροc τῆc Αἰγὸc λάμψαντοc cφοδροὶ πνέουcιν ἄνεμοι. ἔνθεν καὶ Ὅμηροc λάβροc ἐπαιγίζων), coniungenda sine dubio cum ea v. αἰγίc et αἰγίοχοc interpretatione, ex Hesiodo ut Aristarcho visum (schol. th. 484) repetenda, quae utrumque verbum ad Amaltheam s. τὴν Αἶγα retulit (e. c. Lp B 157, cf. A ibid., Apoll. v. αἰγίοχοc, Et. M. p. 27, 28), commemorata et reiecta fuisse videtur. Ad quam refutandam etiam diple ab Aristarcho posita spectavit (v. infra) 20 caμφὼ cod.

---

9 sqq. Ariston. B 148: *ὅτι χωρὶς προθέσεως εἴρηκεν ἀντὶ τοῦ ἐπικαταιγίζων· αἰγίδας γὰρ ἔλεγον ἃς ἡμεῖς καταιγίδας.* Cf. Apollon. v. *ἐπαιγίζοντα: Ἀρίσταρχος τὸν σφοδρότερον πνέοντα ἄνεμον.*

20. 21. Cf. Eust. E 738, p. 603, 39 (v. infra ad p. 42, 24), ubi *κατάρη* legitur. Ab Hesychio *κατώρης* ⟨ita Lob. path. prol. p. 275 pro *κατωρής*, cf. Herodian. I, p. 72, 4⟩ explicante *κάτω ῥέπων* rectam verbi formam servatam esse iam cod. Ven. B probat auctoritas.

καὶ τότε δὴ Κρονίδης ἕλετ' αἰγίδα θυσσανόεσσαν,
σμερδαλέην, Ἴδην δὲ κατὰ νεφέεσσι κάλυψεν·
ἀστράψας δὲ μάλα μεγάλ' ἔκτυπε, τὴν δ' ἐτίναξε,
νίκην δὲ Τρώεσσι δίδου, ἐφόβησε δ' Ἀχαιούς

(P 593 sqq.). οἰκεῖα γοῦν τοῖς ἀπὸ ταύτης φερομένοις πνεύμασι καὶ τὰ παρακείμενα αὐτῷ συνεκπεφώνηται ἐν οἷς φησιν, ὅτε ἔλαβε τὴν αἰγίδα τὴν μὲν Ἴδην αὐτὸν καλύψαι τοῖς νέφεσιν, ἀστράψαντα δὲ μέγα μὲν ἐπιβροντῆσαι τινάξαι δὲ ἐκείνην. ὅτι δὲ κατ' ἐναντίαν τοῦτο γίνεται τῶν ταπεινοῦσθαι μελλόντων σαφὲς ἐκ τούτων· ὄφρα μὲν ἀσπίδα χερσὶν ἔχ' ἀτρέμα Φοῖβος Ἀπόλλων, τόφρα μάλ' ἀμφοτέροισι βέλε' ἥπτετο· αὐτὰρ ἐπεὶ κατένωπα ἰδὼν Δαναῶν ταχυπώλων [σεῖσ'], εἶτα ἐπιφέρει· τοῖσι δὲ θυμὸν ἐνὶ στήθεσσιν ἔθελξε, λάθοντο δὲ θούριδος ἀλκῆς (O 318 sqq.). ποτὲ δὲ διότι μὲν ἐπέσειε τὴν αἰγίδα τοῖς Ἀχαιοῖς ἀπὸ τῆς Ἴδης ὁ Ζεὺς οὐ παρέδωκε ῥητῷ λόγῳ, τὸ δὲ γενόμενον ἐπ' αὐτοῖς ἐσήμαινε, διὰ τοῦ συμβάντος συνιστὰς τὸ προηγούμενον. λέγει γὰρ ὣς ἄρα φωνήσας ἡγήσατο, τοὶ δ' ἅμ' ἕποντο ἠχῇ θεσπεσίῃ, ἐπὶ δὲ Ζεὺς τερπικέραυνος ὦρσεν ἀπ' Ἰδαίων ὀρέων ἀνέμοιο θύελλαν, ἥ ῥ' ἰθὺς νηῶν κονίην φέρεν (M 251 sqq.). ἡ γὰρ εἰς εὐθὺ τῶν νηῶν τὸν κονιορτὸν φέρουσα θύελλα δῆλον ὡς ἐξ ἐναντίου προσφέρεται τοῖς Ἀχαιοῖς. διὸ δὴ καὶ ἐπέζευξεν ἄλλως· αὐτὰρ Ἀχαιῶν θέλγε νόον, Τρωσὶ δὲ καὶ Ἕκτορι κῦδος ὄπαζε (M 254 sqq.)· τοῦτο δὲ δεῖ νοεῖν τῆς αἰγίδος ἐπισεισθείσης.

καὶ ἐπ' ἄλλων δὲ πλειόνων ὁ παραπλήσιος ὑπάρχει τρόπος, ὥστε τοῖς πάθεσι καὶ τοῖς πράγμασιν ὁμωνύμους τινὰς ποιεῖν δαίμονας εἰδωλοποιουμένους εἰς κατασκευὰς μυθώδεις, ἐφ' ὧν οὐκ αὐτὸ τὸ ἀποτελούμενον δεῖ νοεῖν, τὸ δὲ παρασκευαστικὸν τοῦ καθ' ἡμᾶς ἐνεργουμένου συμπτώματος. οἷον ἔρως ἐπὶ τοῦ πάθους αὐτοῦ λέγεται καὶ ἐπὶ τοῦ κατὰ τὸ παρασκευαστικὸν εἶδος λεγομένου, καὶ πάντα τὰ τοιαῦτα,

6 συνεκπεφάνηται cod. 8 ὅτε cod. 11 κατενώπα cod. 24 καὶ ἀπ' ἀλλήλων cod.

16 sqq. Ariston. *M* 253: *ὅτι διὰ τῶν ἀποτελουμένων φανερὸν ὅτι τὴν αἰγίδα ἔσεισεν ὁ Ζεύς.*

24 sqq. † Eust. *E* 738, p. 603, 28: *ὁ δὲ γραμματικὸς Ἀριστοφάνης ἴδιόν τι σύγγραμμα περὶ αἰγίδος προενεγκὼν ἄλλα τέ τινα λέγει οὐ πάνυ γλαφυρά, καὶ ὅτι Ὅμηρος τοῖς πάθεσι καὶ τοῖς δι' αὐτῶν ἀποτελουμένοις πράγμασιν ὁμωνύμους τινὰς ἐφιστᾷ δαίμονας εἰδωλοποιουμένους μυθικῶς, ἐφ' ὧν καὶ τὸ ἀποτελοῦν ἤγουν παρασκευαστικὸν νοεῖται καὶ τὸ ἀποτελούμενον κακὸν ἐναργῶς. ἔρως γοῦν καὶ πλοῦτος καὶ ἔρις καὶ ὕβρις καὶ δεῖμος καὶ φόβος καὶ κυδοιμὸς καὶ βροντὴ καὶ ἀστραπὴ καὶ ἄλλα μυρία ὁμωνύμως δηλοῦσι τὰ εἰδωλοποιίᾳ* ⟨edit. *τὸ εἰδωλοποιίαν*⟩ *τε δαιμονιώδη καὶ τὸ ἐκεῖθεν σύμπτωμα. ἐν δὲ τοῖς τοιούτοις λέγει ὁ αὐτὸς καὶ ὅτι τὸ συνεστραμμένον πνεῦμα καὶ καταράσσον ἄνεμον κατάρη λέγουσιν ὁ Ἀλκαῖος καὶ ἡ Σαπφὼ διὰ τὸ κατωφερῆ ὁρμὴν ἔχειν.* Cf. ad. p. 45 et Porph. *Θ* 1; *I* 1 sqq.

πλοῦτος, ἔρις, ὕβρις καὶ ὅσα ἂν τίς ἀριθμήσειε ῥᾳδίως; δεῖ γὰρ παραθεωρεῖν τὴν τῶν τοιούτων διαφοράν, ὡς ὁπόταν εἴπωμεν· ὁ Ἔρως ἐνέβαλεν ἔρωτα τῷ δεῖνι, καὶ πάλιν ἡ Ἔρις ἔριν. τότε γὰρ ὡς θεὸν ἢ δαίμονά τινα δεῖ νοεῖν παρασκευαστικὸν τοῦ ὁμωνύμου συμπτώματος ἢ πάθους, καὶ [τότε] τὸ συμβαῖνον ἐξ ἐκείνου πάλιν ἀνάλογον πάθος ἢ σύμπτωμα, καθάπερ ὁ ποιητὴς ἐν τούτοις (Ε 592) δεικνύει·

οἱ δ' ἴσαν, ἦρχε δ' ἄρα σφιν Ἄρης καὶ πότνι' Ἐνυώ,
ἡ μὲν ἔχουσα κυδοιμὸν ἀναιδέα δηιοτῆτος·

νῦν γὰρ οὐχὶ τὸν ἐνεργῶς θεωρούμενον, ἀλλὰ τὸ παρασκευαστικὸν τοῦ ὁμωνύμου συμπτώματος μυθικῶς εἰδωλοποιούμενον. τὸ δ' αὐτὸ κἀπὶ τούτων νοητέον· Ζεὺς δ' Ἔριδα προΐαλλε θοὰς ἐπὶ νῆας Ἀχαιῶν ἀργαλέην, πολέμοιο τέρας μετὰ χερσὶν ἔχουσαν (Λ 3. 4). οὐδὲ γὰρ νῦν ἄλλο τι πάλιν ἀλλὰ τὸν πόλεμον ἔχουσα παραγίνεται τὸν παρασκευαστικὸν τοῦ κατὰ πρᾶγμα φαινομένου πολέμου. καὶ γάρ ἐστιν ἐκεῖνος ὁ κατὰ τὸ μυθικὸν εἰδωλοποιούμενος τοῦ κατὰ τὸ ἐνεργὲς θεωρουμένου πολέμου σημεῖον, ὃ δὴ νῦν προσαγορεύει τέρας. εἴη δ' ἂν οὗτος κυδοιμὸς μάχης, ὡς θεὸς οἷον ἔμπροσθεν θεωρούμενος, ὁπότε ἐλέγομεν ἡ μὲν ἔχουσα κυδοιμὸν ἀναιδέα δηιοτῆτος· ὡσαύτως ἐπὶ τούτου πάλιν, ὃ δὴ πολέμοιο τέρας φησὶν εἶναι, τὸ ἀπαράλλακτον ὑπάρχει. κατὰ τὸν αὐτὸν δὲ τρόπον ἐπὶ τῆς βροντῆς καὶ ἀστραπῆς καὶ τῶν παραπλησίων, ὥστε δεῖ νοεῖν ἕτερα μέν τινα κατασκευάσματα παρασκευαστικὰ τῶν ἐν ἡμῖν ἐναργῶς ἀκουομένων, ἕτερα δὲ τὰ διὰ τούτων μὲν ἀποτελούμενα, καθ' ὁμωνυμίαν δὲ ἐνεργήματα. καθάπερ ὅταν εἴπῃ (Ν 242—44)·

βῆ δ' ἴμεν ἀστεροπῇ ἐναλίγκιος, ἥν τε Κρονίων
χειρὶ λαβὼν ἐτίναξεν ἀπ' αἰγλήεντος Ὀλύμπου,
δεικνὺς σῆμα βροτοῖσιν, ἀρίζηλοι δέ οἱ αὐγαί.

οὕτω γὰρ δεῖ τὸν νοῦν ἐκδέχεσθαι, οἷον τὴν μὲν ἀστραπὴν λαβὼν ὁ Ζεὺς ἐτίναξεν ἀπ' αἰγλήεντος Ὀλύμπου, οἷον ἐγκατασκεύασμά τι θεῖον καὶ τοῦτο εἰκότως ἡμεῖς θεῖον ἐνοήσαμεν. ἀλλ' ὁπότε τῇ χειρὶ τινάξειεν, οὗ διασεισθέντος ἀπέλαμψε τὸ τοιοῦτον φέγγος, οὐ κατὰ τὴν

5 τότε addidi; cod. om. 18 ἐλέγομεν correxi; cod. λέγομεν 20 ὑπάρχει tentavi (cod. ὑπάρχειν); dubito an nonnulla exciderint 29 sqq. ἐγκατασκεύασμά τι — ἐνοήσαμεν corrupta sunt. Nisi statuendum verba nonnulla excidisse, conicias: ἐν κατασκευάσμασι θείοις καὶ τοῦτο κτλ.

13 sqq. Aristarchi eam esse rationem docet schol. A *Λ* 4 Arist.: *ὅτι πολέμοιο τέρας τὸν εἰδωλοποιούμενον πόλεμον, τὸν ποιητικὸν τοῦ ἐνεργουμένου πολέμου, ὡς καὶ ἐν ἄλλοις κυδοιμοῦ φησιν εἴδωλον τὴν Ἐνυὼ ἔχειν· ἡ μὲν ἔχουσα κυδοιμὸν ἀναιδέα.* Ibid. Didym: *οἱ δὲ ἀστραπὴν φασι τὴν Ἔριδα φέρειν, ὡς καὶ Ἀριστοφάνης· φησὶ γὰρ ὡς δ' ὅταν ἀστράπτῃ — τεύχων ἢ πολὺν — ἠέ ποθι πτολέμοιο* (*K* 5—8). *Ἀπολλώνιος δὲ τὸν κυδοιμὸν ἀναιδέα δηιοτῆτος* ⟨*δηιοτῆτα* Dind.⟩. *οἱ δὲ τὸ ξίφος κτλ.* Prior pars in Suid. lex. v. *πολέμοιο τέρας* transiit.

αὐτὴν ἔννοιαν ἔτι τὴν ἀστραπὴν παραλαμβάνομεν, ἀλλὰ τὴν μὲν ἀποτελοῦσαν, τὸ δὲ ἀποτελούμενον. οὕτως ἐπὶ τῆς αἰγίδος ταὐτὸ δεῖ νοεῖν· ἣν μὲν ὁ Ζεὺς ἐπισείων * * * * *, κατασκεύασμά τι θεῖον, ἑτέραν δὲ τὴν ἀποτελουμένην διὰ τῆς κατ' ἐνέργειαν ὁμωνυμίας, ἣ τότε μὲν ὁμωνύμως αἰγὶς λέγεται, νῦν δὲ ἐπὶ τῆς ἡμετέρας συνηθείας καταιγίς. διὸ καὶ τὸ τοιοῦτον ἐπίφθεγμα τέταχεν ὁ ποιητὴς ἐπ' αὐτῆς κατὰ τὸν τοῦ Ἀγαμέμνονος λόγον (Δ 164—67)

ἔσσεται ἦμαρ ὅταν ποτ' ὀλώλῃ Ἴλιος ἱρὴ
καὶ Πρίαμος καὶ λαὸς ἐυμμελίω Πριάμοιο·
Ζεὺς δέ σφιν Κρονίδης ὑψίζυγος
αὐτὸς ἐπισσείῃσιν ἐρεμνὴν αἰγίδα πᾶσιν.

ὃν τρόπον γὰρ ἐπ' ἄλλων μερῶν τῆς ποιήσεως τὴν λαίλαπα προσαγορεύων φανερός ἐστιν — ἐρεμνὴν γὰρ αὐτήν φησι διὰ τὸ τοῦ πνεύματος ἀθροῦν καὶ ζοφῶδες, οἷον ὁπόταν λέγῃ (Υ 51. 52)·

αὖε δ' Ἄρης ἑτέρωθεν ἐρεμνῇ λαίλαπι ἶσος,
ὀξὺ κατ' ἀκροτάτης πόλιος Τρώεσσι κελεύων —,

τὸν αὐτὸν τρόπον, οὐ παρ' ἄλλο τι, δεῖ νοεῖν ἐρεμνὴν τὴν αἰγίδα, κατὰ δὴ τὸ τῆς λαίλαπος οἰκεῖον οἱονεὶ λαιλαπώδη λεγομένην.

τοῦτον δὴ τὸν τρόπον ἡ τῆς εἰσηγημένης καθ' Ὅμηρον αἰγίδος διάθεσις καὶ δύναμις οὕτως ἂν ἄριστα δειχθείη.

*B f. 78ᵃ ad Γοργείη Ε 741. L f. 118ᵇ, Π. Cf. schol. λ 634 et V. Rose, Ar. ps., p. 162.

διὰ τί ποτὲ μέν φησι τὴν κεφαλὴν τῆς Γοργόνος ἐν Ἅιδου εἶναι, λέγων (Λ 633)

μή μοι Γοργείην κεφαλὴν δεινοῖο πελώρου
ἐξ Ἀΐδου πέμψειε,

ποτὲ δὲ τὴν Ἀθηνᾶν ἔχειν ἐν τῇ αἰγίδι, λέγων (Ε 738) βάλετ' αἰγίδα θυσσανόεσσαν, καὶ ἐπάγει·

ἐν δ' ἔρις, ἐν δ' ἀλκή, ἐν δὲ κρυόεσσα ἰωκή,
ἐν δέ τε Γοργείη κεφαλὴ δεινοῖο πελώρου;

φησὶ δ' Ἀριστοτέλης, ὅτι μήποτε ἐν τῇ ἀσπίδι οὐκ αὐτὴν εἶχε τὴν κεφαλὴν τῆς Γοργόνος, ὥσπερ οὐδὲ τὴν Ἔριν οὐδὲ τὴν κρυόεσσαν Ἰωκήν, ἀλλὰ τὸ ἐκ τῆς Γοργόνος γιγνόμενον τοῖς ἐνορῶσι πάθος καταπληκτικόν. καὶ μήποτε πάλιν ῥητέον, ὅτι οὐκ αὐτὴν εἶχεν, ἀλλ' ὅτι γεγραμμένον τῇ ἀσπίδι ὥσπερ σημεῖόν τι. ῥητέον δὲ ὅτι οὐδὲ Ὀδυσσεὺς λέ-

---

3 lacunae, quam statui, in cod. vestigium non exstat 9 ἐϋμελίω cod. 11 ἐπισείῃσιν cod. 18 δὲ cod. 25 βάλε δ' L 28 κεφαλὴ οἷα πελώρου L 29 φησὶ δὴ ὁ ἀρ. L 31 γινόμενον L 32 γεγραμμένη L

---

21 sqq. † Eust. λ 633, p. 1704, 27: *ἔνθα (ἐν τῇ αἰγίδι) ὥσπερ ἡ ἔρις καὶ ἡ ἀλκὴ οὐκ αὐτὰ ἐκεῖνά εἰσι τὰ σωματοειδῆ, οὕτως οὐδὲ Γοργεία αὐτόχρημα κεφαλὴ τῇ αἰγίδι ἐντέθειται, ἀλλὰ ἢ ἀντίμιμόν τι αὐτῆς ἢ κατάπληξις δηλοῦται γινομένη διὰ τῆς αἰγίδος οἷα καὶ Γοργόνος τινός.*

Recte a nobis quae de Gorgone in aegide depicta disputantur cum altero fragmento longe illo uberiore coniuncta esse, cum inde veri simile fit, quod quae Aristoteli tribuuntur (maxime quidem illa *τὸ ἐκ τῆς Γοργόνος γιγνόμενον τοῖς*

γει, ὡς ἦν ἐν Ἅιδου ἡ Γοργόνος κεφαλή, ἀλλ' ὅτι αὐτὸς ἐφοβήθη μὴ τοιοῦτος δαίμων ἐκπεμφθῇ· φοβηθῆναι οὖν οὐκ ἰδεῖν. ἢ ὅτι ἡ μὲν ψυχὴ ἐν Ἅιδου, τὸ δὲ σῶμα ἐν τῇ ἀσπίδι. καὶ Γοργείην κεφαλὴν οὐ πάντως τὴν τῆς Γοργόνος, ἀλλά τινα φοβερὸν δαίμονα, ὡς τοίην γὰρ κεφαλὴν πόθεον υἷες Ἀχαιῶν (λ 549 mixt. c. A 240).

467. 8. ἔσταν δ' ἐν λειμῶνι Σκαμανδρίῳ ἀνθεμόεντι
μυρίοι, ὅσσά τε φύλλα καὶ ἄνθεα γίνεται ὥρῃ.

*B f. 30ᵇ ad Σκαμανδρίῳ. Lp f. 74ᵃ. Eton. (Noehd. p. 30), Π.

ἐν μὲν τῷ λίαν φύλλοισιν ἐοικότες ἢ ψαμάθοισιν (v. 800) ἐπίτασίς ἐστι κατὰ τὸ ἐπενηνεγμένον τοῖς φύλλοις τοῦ πλήθους τῶν ψαμάθων, ἐν δὲ τῷ περὶ Κικόνων ῥηθέντι ἦλθον ἔπειθ' ὅσα φύλλα καὶ ἄνθεα γίνεται ὥρῃ (ι 51) δόξειεν ἂν ἐλάττωσις εἶναι ἐκ τοῦ

5 quae extremo scholio codd. Od. addunt: ἐκ τούτου τὸ πλάσμα τὸ περὶ τὴν Γοργόνην γέγονεν Ἡσιόδου κτλ., aliunde illata sunt 6 εἰς τὸ ἔσται ἐν λειμ. Et 8 post ψαμάθοισιν in B fuit καί, quod ex parte eras. est

ἐνορῶσι πάθος καταπληκτικόν) ad idem quod illic totiens inculcatur discrimen rei effectae et efficientis recurrunt, tum ex Eustathio probatur. Is enim ad eundem illum libri *E* locum, ad quem in scholiorum codicibus quaestio de Gorgoneo adscripta legitur, verba affert (cf. supra ad p. 42, 24) quae iis, quae in cod. B ad librum *B* leguntur, prorsus respondent. Quod autem Aristophani grammatico Eustathius ea tribuit, potest is sane a Porphyrio transcriptus esse, ita ut nomen auctoris in codice quo Eustathius usus est lectum in nostro desideretur; sed ad eas quas olim Nauckius, cui Porphyrii fragmentum nondum innotuerat, de libello *περὶ αἰγίδος* Aristophaneo moverat dubitationes alia momenta accedunt:

Ac primum quidem, cum apud Porphyrium Aristarchum secutum v. *ἐπαιγίζειν B* 148 ita explicetur, ut ad *αἰγίς* s. *καταιγίς* referatur, Aristophanes in loco simillimo *o* 293 pro *ἐπαιγίζοντα* legi maluit *ἐπαΐσσοντα* (schol. Q. Vind. 133). Deinde a schol. A *Λ* 4 docemur, Aristophanem verba *πολέμοιο τέρας* ad fulmen retulisse neque, ut Porphyrium Apollonii vel Aristarchi rationem secutum, ad *κυδοιμὸν ἀναιδέα δηιοτῆτος*. Veri igitur simillimum, Porphyrium ab Eustathio transcriptum esse, indeque quod ille Aristotelem attulisset Aristophanis per errorem nomen natum esse (ut e contrario ad ipsum versum *B* 447 in scholio cod. B: *οὕτως καὶ Ἀρίσταρχος καὶ Ἀριστοτέλης*, Aristotelem pro Aristophane scriptum videmus). Quod tum facillime fieri potuit, si in codice, quo Eustathius usus est, Aristotelis nomen compendio scriptum primis scholii verbis praemissum erat.

Ceterum vix est quod moneamus, quae in codicibus nostris ad *E* 741 legantur cum medio potius quam extremo scholio *B* coniungenda, e. c. ante p. 42, 24 ponenda esse. Tamen, praesertim cum ab ipsius Porphyrii verbis multo longius quam alterum scholium absint, alteri illi subiungere maluimus.

6 sqq. Casu accidit ut scholium Porphyrianum in codicibus Iliadis ita traditum sit ut potius ad *ι* 51 quam ad eum locum cui adscriptum est pertineat. Contra ea scholium quod ad *ι* 51 in cod Mediolan. (Q Dind.) legitur habet, cur ad nostrum potius quam ad alterum locum spectet, maxime quidem extrema verba: *καὶ τῇ ἄλλῃ ἀμφιέσει, τῶν Θρᾳκῶν μάλιστα, ὧν εἰσιν οἱ Κίκονες, ταῖς χροιαῖς ποικιλόντων τὴν ἀμφίεσιν* (quibus probatur non necessariam esse Noehdeni coniecturam pro *Θρᾳκῶν* scribentis *Θωράκων*). Sed quia neque schol. Odyss. ipsum

ἐπαγομένου· ἐλάττω γὰρ τὰ ἄνθη τῶν φύλλων. οὐκ ἔστι δέ· οὐ γὰρ τοῦ πλήθους παραστατικὰ παρείληπται ἄμφω, ὥσπερ ὡς ἐπὶ τῶν φύλλων καὶ τῆς ψάμμου ἔσταν δ' ἐν λειμῶνι Σκαμανδρίῳ ἀνθεμόεντι μυρίοι, ἀλλὰ τὰ μὲν φύλλα παρίστησι τὸ πλῆθος, τὰ δὲ ἄνθη τὴν τοῦ πλήθους ποικιλίαν ἔν τε τῇ καθοπλίσει καὶ τῇ ἄλλῃ ἀμφιέσει τῶν Θρᾳκῶν.

"B f. 31ᵃ ad Ἀτρείδην v. 482. L f. 41ᵃ c. l. εἰς τὸ ὄμματα καὶ κεφαλήν, *Π.* Eton. (p. 31 Noehd.) c. cod. l., *Π.*

478 sqq. διὰ τί δὲ ὄμματα καὶ κεφαλὴν τοῦ Ἀγαμέμνονος τῷ Διὶ ὡμοίωσε, στέρνον δὲ Ποσειδάωνι, τὸ δ' ἐν τῷ καθοπλισμῷ φοβερὸν τῷ περὶ τὸν Ἄρην δεινῷ τε καὶ λαμπρῷ, καὶ ἀπὸ τῶν θείων ὑπέβη, ταύρῳ μετὰ θεοὺς αὐτὸν ἐξομοιῶν; τί δὲ καὶ βούλεται τὸ στέρνον δὲ Ποσειδάωνι; ῥητέον οὖν ὅτι τὸ μὲν σεμνὸν αὐτοῦ καὶ βασιλικὸν διὰ τῆς βασιλικῆς τοῦ Διὸς προλήψεως παρέστησεν, ὡς ἂν βασιλικὰ καὶ φρονοῦντος καὶ αἰσθομένου, τῆς μὲν φρονήσεως ἐκ τῆς ἡγεμονευούσης κεφαλῆς παρισταμένης, τῆς δὲ αἰσθήσεως ἐκ τῶν ὀμμάτων. ὑπερβολὴ δὲ τὸ μὴ Διὸς κεφαλῇ καὶ ὄμμασιν ἐοικέναι τὴν κεφαλὴν αὐτοῦ φάναι καὶ τὰ ὄμματα, ἀλλὰ τῷ Διὶ ὅλῳ. οὐ τῷ σωματοειδεῖ οὖν ἀπείκασε θεῷ, ἀλλὰ τῇ δυνάμει τοῦ Διὸς τῇ βασιλικῇ τε καὶ ἀρχικῇ. ὀφθεὶς γὰρ μόνον ἐκ τῆς κεφαλῆς καὶ τῶν ὀφθαλμῶν διέφηνε τὸ βασιλικὸν κράτος. τὸ δ' εὔρωστον καὶ δυναμικὸν αὐτοῦ, ὅπερ περὶ τὸν θώρακα καὶ τὸ στέρνον καθιδρῦσθαι λέγεται, Ποσειδῶνι ἀπείκασε τῷ ἐνοσίχθονι, οὗ καὶ ἐρχομένου, φησί, τρέμε δ' οὔρεα μακρὰ καὶ ὕλη (N 18), τὸ δὲ φοβερὸν τῆς καθοπλίσεως τῷ Ἄρει. ἦν οὖν τὴν μὲν κρίσιν καὶ τὴν φρόνησιν τὴν βασιλικὴν ἔχων τοῦ Διός, τὴν δὲ δύναμιν καὶ τὴν ῥώμην τοῦ Ποσειδῶνος, τὴν δὲ πανοπλίαν καὶ τὴν δι' ὅπλων χρῆσιν ὡς ὁ Ἄρης. λοιπὸν δὲ τὸ ἡγεμονικὸν καὶ ἔξαρχον τῶν ἄλλων ταύρῳ ἀπείκασεν, οὐ

2 παραστατικὸν Et ὡς om. Et 3 ψάμου B 5 ποικίλην ἅτε καθοπλίσει καὶ τῇ ἄλλῃ ἀφίεμεν τῶν θρακῶν Et 6 addunt BLp nonnulla de campo Scamandrio quae huc non pertinent 7 δὲ om. LEt; B nonnulla praemittit quae v. infra ad lin. 25 sqq. 9 τε om. Et ἀπὸ τῶν θεῶν L δὲ post στέρνον om. L 12 προσλήψεως LEt παρίστησιν LEt 16 ἀλλὰ καὶ τ. δ. ὅλῳ Et post ὅλῳ vacuum spat. duarum litterarum capax B; quae L sequuntur: οὐ τὸ σωματειδὴ οὖν ἀπεικάζεσθαι θεῷ, novum scholium incipiunt οὐ γὰρ σωματοειδεῖ οὖν ἀπεικάζεσθαι θεῷ Et 17 τε om. LEt 18 διέφανε L διέφαινε Et 20 καθιδρύσθαι B 21 καὶ μακρὰ ὕλη B 22 ἄρη, η e corr., L 25 λοιπὸν δὲ κτλ. in L nov. schol. incipiunt

Porphyrium repraesentat, sed ex parte loco, cui explicando adscriptum legitur, accommodatum est, codices Iliadis secuti sumus. Ceterum vix casu factum est quod in eodem cod. Mediol. et cod. Heidelberg. (P Dind.) idem scholium ad ζ 103 exstat: quae illic leguntur *κάπροισι καὶ ὠκείῃς ἐλάφοισιν* in integra Porphyrii disputatione, unde scholia quae attulimus excerpta sunt, ut exemplum *ἐλαττώσεως* commemorata fuisse videntur.

25 sqq. †* B f. 31ᵃ ad *Ἀτρείδην* v. 482 (scholio quod supra edidimus sine intervallo praemissum, ita ut unum efficere videantur. Idem in Eton. ad v. 480 c. l. *Πορφυρίου. εἰς τὸ ἠύτε βοῦς ἀγέληφι μεγ' ἔξοχος ἔπλετο πάντων*, alteri item praemissum): *ἀπρεπὲς δοκεῖ τὸ* ⟨om. Et.⟩ *τὸν εἰκασθέντα τοῖς θεοῖς κατὰ*

μειώcας, οὐ γὰρ τὸ αὐτὸ εἶδος καὶ πρᾶγμα ἀπὸ τῶν θεῶν ἐπὶ τὸν ταῦρον κατήγαγεν, ἀλλ' ὅτι τὰ περὶ τὸν Ἀγαμέμνονα ἀπείκαcε τῷ ἀγελάρχῳ ταύρῳ. ὥcπερ οὖν ἀπὸ τοῦ Διὸc εἰc τὸν Ἄρεα μεταβὰc οὐκ ἐμείωcε διὰ τὸ ἀπὸ ἄλλου εἰc ἄλλο τῶν περὶ τὸν Ἀγαμέμνονα μεταβῆναι, οὕτωc οὐδὲ τὸν ταῦρον παρειληφὼc εἰc παράcταcιν τῆc ἐξοχῆc τῶν ὁμογενῶν ἐμείωcε τὸν ἔπαινον. καὶ τὰ μὲν ἦν τὰ καθ' αὑτὸν προcόντα ἐπαίροντα, τὸ δὲ cυγκριτικὸν τὴν ὁμοίωcιν ἀπὸ ὁμογενῶν λαμβάνει εἰc ὁμογενεῖc· ταῦροc δὲ διαπρέπει ἐν ὁμογενέcι βουcὶ τῆc ἀγέλης ἐξάρχων.

πῶc μετὰ τοὺc θεοὺc βοῖ παρέβαλε τὸν Ἀγαμέμνονα; ἔνιοί μὲν οὖν φαcιν ὅτι διὰ τοὺc μὴ δυναμένουc τὴν θείαν νοῆcαι φύcιν πάλιν ἑτέραν εἰκόνα ἀπὸ γνωρίμου ζώου παρέλαβε ⟨παρέβαλε Lp⟩ μὴ νοητὴν οὖcαν· ἡ γὰρ προτέρα τῶν θεῶν παραβολὴ ⟨μεταβολὴ codd.; mut. Bekk.⟩ ὅλωc ἐcτὶ νοητή. ἔcτι δὲ εἰπεῖν ὅτι τὴν πορείαν αὐτοῦ ταύρῳ εἴκαcε ⟨fuit εἴκαcεν, ν eras., B⟩ βαδίζοντι δι' ἀγέλης, ὅπερ ἐcτὶ ζῶον ἡγεμονικόν. τὴν αὐτὴν δὲ εἰκόνα Ὀδυccεῖ προcθεῖναι ⟨προθεῖναι Lp⟩ θέλων τὸ μὲν ὅμοιον ἐφύλαξε, τὸ δὲ μέγεθοc ἐμείωcεν, ἀρνειῷ παρεικάcαc (Γ 197). ἐπεὶ δὲ ἐν τῇ μάχῃ ταύτῃ Ἀγαμέμνων τι πλεονεκτῆcαι οὐκ ἔμελλε, κατὰ τὴν ὁδὸν αὐτὸν κοcμεῖ· οὐ γὰρ ἔδει εὐτυχεῖν, ἵνα δεηθῇ Ἀχιλλέωc.

B f. 31ᵃ ad ἠύτε βοῦc v. 480. Lp f. 74ᵇ c. l. ἠύτε βοῦc.

484. ζητοῦcί τινεc, διὰ ποίαν αἰτίαν τῆc μὲν ὅλης πραγματείαc ἀρχόμενοc ὁ ποιητὴc μίαν ἐπεκαλέcατο τῶν Μουcῶν, ἐπὶ δὲ τοῦ καταλόγου τὰc πάcαc. λέγουcι δέ τινεc τῶν γραμματικῶν ἐπὶ τοῦ μῆνιν ἄειδε τὸν τρόπον εἶναι cυνεκδοχήν, ὡc ἀπὸ μιᾶc τῆc κυριωτέραc τῶν Μουcῶν νοεῖcθαι τὰc πάcαc. ἄλλοι δὲ λέγουcιν, ὅτι περὶ ἑνὸc μὲν προcώπου καὶ τῆc ὀργῆc τῆc τούτου τὸν λόγον ποιούμενοc δεόντωc πρὸc μίαν τῶν Μουcῶν ἐποιήcατο τὸν λόγον, μέλλων δὲ κατάλογον ἐρεῖν νεῶν καὶ βαcιλέων ἐθνῶν τε καὶ τόπων πλήθουc τε πραγμάτων εὐλόγωc πρὸc ἁπάcαc τὰc Μούcαc τὸν λόγον ἀπερείδεται. A

486. εἴ φηcιν ἀγνοεῖν τοὺc ἡγεμόναc, πῶc ὑποκατιών φηcιν ἀρχοὺc αὖ νηῶν ἐρέω (v. 493); cτικτέον οὖν εἰc τὸ ἴδμεν καὶ τὸν λόγον οὕτωc ἐκδεκτέον· δύο ὑποτίθεται, ὧν τὸ μὲν μηδ' ὅλωc ⟨μηδό- m

B f. 31ᵃ ad ἴδμεν (ι in ras.) Lp f. 74ᵇ c. l. ἴδμεν. A

3 ἄρεα e corr. Et οὐκ ἀπεμείωcε Et 4 ἀπ' ἄλλου LEt τῶν — Ἀγαμέμνονα om. Et 5 τῆc ἐξοχῆc om. Et 6 πρὸc (linea transversa delet.), suprascrpt. καθ, αὑτὸν L τὰ ante καθ' αὑτὸν om. Et 7 ἐπαίροντοc L

τὴν μορφὴν νῦν ὅμοιον εἶναι βοῖ. λύεται δὲ ἐκ τῆς λέξεως· ὃν γὰρ τρόπον, φησί, ταῦρος ἐν βουσίν, οὕτως ἐν τοῖς ἄλλοις ὑπῆρχεν ὁ Ἀγαμέμνων.

Veri simile est etiam schol. Vict. Γ 168 a Bekkero editum: *κεφαλῇ καὶ μείζονες ἄλλοι. καὶ πῶς κεφαλῇ εἴκελος Διί* (B 478); *ἢ τὸ ἡγεμονικὸν ἔλεγε τότε ἢ τῷ εἰπεῖν ἤματι κείνῳ δηλοῖ τότε μόνον πρὸς ἡμέραν ταῦτα συμβῆναι αὐτῷ*, ex eadem Porphyrii quaestione derivatum esse. Idem certe apud Eustathium, qui etiam altero scholio quod supra edidimus (*πῶς μετὰ τοὺς θεοὺς κτλ.*) aperte usus est (p. 258, 1 sqq.), ad B 478 legitur (p. 257, 41): *καὶ εἰδὼς ὅτι παρ' ἱστορίαν λαλῶν οὐκ ἂν πιστευθείη, οὐ γὰρ τοιοῦτος ὁ Ἀγαμέμνων ἀλλὰ μάλιστα ὁ Αἴας καὶ ὁ Ἀχιλλεύς, ἐπάγει ὅτι τὴν ἡμέραν ἐκείνην ἐφάνη τοιοῦτος.*

29 sqq. Nicanorem sequitur, v. Friedl. p. 161.

λωc B Lp⟩ δύνacθαι διὰ τὸ πλῆθοc εἰπεῖν, τὸ δὲ δύνacθαι μὲν χρῄζειν δὲ τῆc τῶν Μουcῶν cυμμαχίαc. ἔcτιν οὖν οὕτωc ⟨om. A⟩ τὸ πᾶν· ἔcπετε νῦν μοι, Μοῦcαι, οἵτινεc ἡγεμόνεc· ἀρχοὺc δ' αὖ νηῶν ἐρέω νῆάc τε προπάcαc· πληθὺν δ' οὐκ ἂν ἐγὼ μυθήcομαι οὐδ' ὀνομήνω, εἰ μὴ αὐταὶ δι' ἑαυτῶν εἴποιτε ⟨αὐταὶ αἱ Μοῦcαι δι' ἑαυτ. εἴποιεν A⟩. τὸ δὲ ὑμεῖc γὰρ θεαί ἐcτε ἐμεcόλαβηcε ⟨ἐμεcομβόληcε Lp⟩ τοῦ ἔcπετε νῦν μοι, Μοῦcαι, οἵτινεc ἡγεμόνεc, ὥcπερ αἰτίαν ἐπαγαγὼν τοῦ πρὸc τὰc Μούcαc ἀπερεῖcαι τὸν λόγον.

*B f. 32ᵃ ad νῦν v. 484 (f. 31ᵃ). Lp f. 75ᵇ c. l. τεccαράκοντα (v. 524).

494. διὰ τί τοῦ δεκάτου ⟨om. codd.; τοῦ ἔτουc ι' Vill.⟩ ἔτουc τῆc μάχηc ἐνcτάντοc νεῶν κατάλογον ποιεῖται Ὅμηροc; ἢ ὅτι καὶ ἡ ὑπόθεcιc αὐτῷ περὶ τὸ δέκατον ἔτοc τοῦ πολέμου εἴληπται, γνώριμον δὲ τῷ θεατῇ οὐκ ἦν γενέcθαι μὴ προκαταλεχθέντων τῶν ἀφικομένων. ἡ μέντοι πρόφαcιc εὔλογοc, ὠργιcμένου γὰρ τοῦ Ἀχιλλέωc, καὶ ἡ τοῦ τείχουc οἰκοδομὴ εὔλογον ἔcχε πρόφαcιν καὶ ἡ τῶν Ἑλλήνων κατὰ φῦλα ⟨φύλα B, φυλὰc Lp⟩ διάκριcιc, ὅπωc ἂν διάδηλοι γίγνοιντο οἱ ῥαθυμοῦντεc, καὶ ὁ Τρωικὸc ὡcαύτωc διάκοcμοc ἐν πεδίῳ τότε παραταccόμενοc, καὶ ἄλλωc τοῖc μὲν Τρωcὶ τὸ θαρcῆcαι τοῖc δ' Ἕλληcι τὸ εὐλαβεcτέρουc γενέcθαι. τοῦτο δὲ ἑκατέροιc αἴτιον ἐγίγνετο τῆc διακοcμήcεωc καὶ τῷ ποιητῇ πρόφαcιν ἐδίδου τῆc εὐλόγου ἐκτάξεωc τοῦ καταλόγου.

494 sqq. quae ab Eustathio ad Βοιωτίαν Porphyriana afferuntur, uno fortasse loco p. 359, 33 excepto, e libro Paralipomenorum Homericorum neque e Quaestionibus petita esse in dissertatione 'Porphyr. bei Eustath. zur Βοιωτία' (Herm. XIV) demonstravi.

517. ad Ε 576.

*B f. 35ᵃ ad Κρήτην. L f. 47ᵃ, Π. Lp f. 78ᵃ c. l. ἄλλοι θ' οἳ Κρήτην. Eton. (p. 33 Noehd.), Π.

649. διὰ τί ἐνταῦθα μὲν πεποίηκεν ἄλλοι θ' οἳ Κρήτην ἑκατόμπολιν ἀμφενέμοντο, ἐν δὲ Ὀδυccείᾳ (τ 174) εἰπὼν ὅτι ἔcτιν ἡ Κρήτη καλὴ καὶ πίειρα καὶ περίρρυτοc ἐπάγει· ἐν δ' ἄνθρωποι πολλοὶ ἀπειρέcιοι καὶ ἐννήκοντα πόλεεc; τὸ γὰρ ποτὲ μὲν ἐνενήκοντα ποτὲ δὲ ἑκατὸν λέγειν δοκεῖ ἐναντίον εἶναι. Ἡρακλείδηc μὲν οὖν καὶ ἄλλοι λύειν ἐπεχείρουν οὕτωc· ἐπεὶ γὰρ μυθεύεται τοὺc μετ' Ἰδομενέωc ἀπὸ Τροίαc ἀποπλεύcανταc πορθῆcαι Λύκτον καὶ τὰc ἐγγὺc πόλειc, ἃc ἔχων Λεύκων ὁ Τάλω πόλεμον ἐξήνεγκε τοῖc ἐκ Τροίαc

26 ἀμφινέμονται L ἐν δὲ τῇ ὀδ. Lp 27 καὶ ἐπίειρα LEt ἐπίρρυτοc L 28 ἐνενήκοντα BLEt ἐν ενήκοντα (sic) Lp πόλιεc L 29 ἐν ενήκοντα Lp ἐναντία Lp 31 ἰδομενέου Et λέκτον codd.; corr. Hoeck, Cret. II, p. 431; Λύκτον etiam codd. schol. Od. (v. p. 49) 32 τάλαc codd.; corr. Dind. e schol. τ 174 (de accentu cf. Lentz ad Herod. I, 244, 33) ἀπὸ τροίαc Lp

9 sqq. Cf. Porph. B 362.

25 sqq. † L f. 47ᵇ: *διὰ τί ἐνταῦθα μὲν ἑκατόμπολιν εἴρηκε τὴν Κρήτην, ἐν δὲ τῇ Ὀδυccείᾳ ἐνεννηκοντάπολιν; λύcιc· ῥητέον οὖν, φηcίν, ὅτι ἤτοι ρ' ἀντὶ τοῦ πολλὰc cημαίνει, οὐχὶ τῷ ἀριθμῷ. Λεύκοc γὰρ ὁ Τάλω Κρητῶν ⟨τὰ λοκροτῶν* cod.⟩ *ἐπικρατήcαc τὰc δέκα πόλειc ἐπόρθηcεν εἰc φόβον τῶν ἄλλων. καὶ εὐλόγωc ἐν τῇ Ὀδυccείᾳ ἐνεννήκοντα εἶπεν ἔχειν αὐτήν.*

Difficultatem chorizontes moverunt, v. Ariston. schol. A.

ἐλθοῦσιν, εἰκότως ἂν φαίνοιτο μᾶλλον τοῦ ποιητοῦ ἡ ἀκρίβεια ἢ ἐναντιολογία τις. οἱ μὲν γὰρ εἰς Τροίαν ἐλθόντες ἐξ ἑκατὸν ἦσαν πόλεων, τοῦ δὲ Ὀδυσσέως εἰς οἶκον ἥκοντος ἔτει δεκάτῳ μετὰ Τροίας ἅλωσιν καὶ φήμης διηκούσης, ὅτι πεπόρθηνται δέκα πόλεις ἐν Κρήτῃ καὶ οὔκ εἰσί πως συνῳκισμέναι, μετὰ λόγου φαίνοιτ' ἂν Ὀδυσσεὺς λέγων ἐνενηκοντάπολιν τὴν Κρήτην, ὥστε, εἰ καὶ μὴ τὰ αὐτὰ περὶ τῶν αὐτῶν λέγει, οὐ μέντοι διὰ τοῦτο καὶ ψεύδεται. Ἀριστοτέλης δὲ οὐκ ἄτοπόν φησιν, εἰ μὴ πάντες τὰ αὐτὰ λέγοντες πεποίηνται αὐτῷ· οὕτως γὰρ καὶ ἀλλήλοις τὰ αὐτὰ παντελῶς λέγειν ὤφειλον. μήποτε δὲ καὶ μεταφορά ἐστι τὰ ἑκατόν, ὡς ἐκ τῆς ἑκατὸν θύσανοι (B 448)· οὐ γὰρ ἑκατὸν ἦσαν ἀριθμῷ· καὶ ἑκατὸν δέ τε δούρατ' ἀμάξης (Hes. ἑκή 456). ἔπειτα οὐδαμοῦ λέγει ὡς ἐνενήκοντα μόναι εἰσίν· ἐν δὲ τοῖς ἑκατόν εἰσι καὶ ἐνενήκοντα.

πῶς οὖν ἐν τῷ καταλόγῳ φησὶν ἄλλοι θ' οἳ Κρήτην ἑκατόμπολιν ἀμφενέμοντο; ἤτοι οὖν ἐκεῖ τὸ ἑκατόν ἀντὶ τοῦ πολλοῦ κεῖται, ὡς τῆς ἑκατὸν θύσανοι· ἢ ἐπεὶ μετὰ τὸν ἀπόπλουν οἱ μετὰ Ἰδομενέως ἐπόρθησαν Λύκτον καὶ τὰς πέριξ, ἃς ἔχων Λεῦκος ὁ Τάλω πόλεμον ἤρατο πρὸς αὐτούς. οὗτος θετὸς ὢν Ἰδομενέως παῖς ἀφεθεὶς ὑπ' αὐτοῦ φύλαξ τῆς Κρήτης ἐστασίασε πρὸς αὐτοὺς ἐπανελθόντας.... μετὰ δὲ ταῦτα προσεκτίσθησαν αἱ δέκα. HQ τ 174 Dind.

787. ν. 447.

827. Δ 105—11.

844 sqq. μάχεσθαι δοκεῖ τὸ αὐτὰρ Θρήκας ἦγ' Ἀκάμας καὶ Πείροος ἥρως τῷ Ἰφιδάμας Ἀντηνορίδης ἠύς τε μέγας τε ὃς τράφη ἐν Θρήκῃ (Λ 221)· ἐκεῖ γὰρ ὑποτίθεται τὸν Ἰφιδάμαντα βασιλέα τῶν Θρᾳκῶν. ἡ δὲ λύσις ἐκ τῆς λέξεως· οὐ γὰρ οἱ περὶ τὸν *B f. 40ᵃ ad Θρήκας v. 844. L f. 53ᵇ, Π. Lp f. 81ᵇ c. l. αὐτὰρ Θρήκας.

1 μᾶλλον δὲ τοῦ ποιητοῦ LpEt 3 ἔτι δὲ καὶ τῶν μετὰ BLpEt ἔτι δὲ καὶ μετὰ τὴν τῆς τροίας ἅλωσιν φήμης διοικούσης ὅτι κτλ. L; corr. Bekk. 5 φαίνοιντ' ἂν L 7 καὶ om. LEt 9 ὤφει, sprascr. λ, B; ὤφειλεν LLp; ὠφείλουσι Et 10 post τὰ ἑκατόν LEt add.: πολὺ γάρ ἐστι τὰ ἑκατόν, tum ὡς ἐκ κτλ. 11 τε om. L ἀμάξης Et 12 μόνα L ταῖς ἑκατόν Et 23 τὸ om. Lp 24 ἥρως L τὸ ἰφιδ. L 25 θράκη L 26 ἐκ δὲ τῆς λέξεως λύσεις· οὐ γὰρ πάντας οἱ περὶ τ. ἀκ. τ. θρ. ἄγ. L

9. 10 Idem Aristarchus ap. Ariston. *B* 649.

12 Cf. Porph. *K* 252.

15 Cf. lin. 9. 10.

20 *μετὰ δὲ ταῦτα κτλ.* Is qui scholium e quaestione Porphyrii excerpsit nimis brevitati studuit. Apertum enim est eum sententiam reddere aliorum, qui difficultatem ita solverent ut dicerent (schol. A) *Πυλαιμένη* ⟨*Ἀλθαιμένη* coni. Niese, Mus. Rh. XXXII, p. 283, 2⟩ *τὸν Λακεδαιμόνιον δεκάπολιν κτίσαι.* Inter eos Ephorum fuisse loco Strabonis X, p. 479, docemur: *Ἔφορος μὲν ὕστερον ἐπικτισθῆναι τὰς δέκα φησὶ μετὰ τὰ Τρωικὰ ὑπὸ τῶν Ἀλθαιμένει τῷ Ἀργείῳ συνακολουθησάντων Δωριέων.* Isne an Aristarchus, ad quem extrema schol. A verba referre Friedlaender, Ariston. p. 74, dubitavit, Porphyrii auctor fuerit

Ἀκάμαντα πάντας τοὺς Θρᾷκας ἄγουσιν, ἄλλως τε ἐπεὶ εἴρηκεν ὅσσους Ἑλλήσποντος ἀγάρροος ἐντὸς ἐέργει, ὥστε τῶν ἐκτὸς Θρᾳκῶν καὶ τὸν Ῥῆσον καὶ τὸν Ἰφιδάμαντα δύνασθαι βασιλεύοντας ὕστερον εἶναι βοηθούς.

πάλιν δὲ τὸ αὐτὰρ Πυραίχμης ἄγε Παίονας ἀγκυλοτόξους (B 848) ἐναντίον τῷ τὸν Ἀστεροπαῖον αὖθις ὑποτίθεσθαι τῶν Παιόνων βασιλέα (Φ 140 sqq.). λύοιτο δ' ἂν τῷ καιρῷ· τὸν γὰρ Ἀστεροπαῖον οὐκ ἀπεικὸς χρονίζοντος τοῦ πολέμου ἐλθεῖν ἄγοντα πάλιν τινὰς τῶν Παιόνων. τάχα δὲ καὶ τῇ λέξει διττὸν ἀποφαίνει γένος Παιόνων· τοὺς μὲν γὰρ εἴρηκεν ἀγκυλοτόξους, τοὺς δὲ δολιχεγχέας (Φ 155).

B f. 40ᵃ ad Ἀκάμας. Lp f. 81ᵇ c. l. Ἀκάμας.

καὶ πῶς Ἰφιδάμαντα καὶ Ῥῆσόν φησιν ἄρχειν τῶν Θρᾳκῶν; ἀλλὰ προστέθεικεν ὅσσους ⟨ὅσους codd.⟩ Ἑλλήσποντος. τῶν γὰρ Ἑλλησποντίων ἤτοι τῶν περὶ Μαρώνειαν ἦρχεν Ἀκάμας, ἑτέρων δὲ Ἰφιδάμας, ὃς ἦλθε σὺν δυοκαίδεκα ⟨δύο καὶ δέκα Lp⟩ νηυσίν (Λ 228), ἄλλων δὲ Ῥῆσος, ἤτοι τῶν περὶ τὸν ⟨om. codd.⟩ Λυδίαν.

B f. 41ᵃ ad ἕκαστοι. L f. 56ᵇ c. l. ἕκαστοι. Lp f. 82ᵇ c. eod. l.

Γ

1. πῶς ἐπὶ δύο στρατιῶν ⟨στρατιωτῶν BL; corr. Bkk.⟩ τὸ ἕκαστοι ἔταξεν; ἢ ὅτι κατὰ ἔθνη καὶ φυλὰς διεκοσμήθησαν, ἢ ἀντὶ τοῦ

---

1 ὅσσους BLp 2 ἐντὸς codd.; ἐκτὸς Bekk. 3 τὸν (e corr.) ῥήσσον L 5 πάλιν δὲ τὸ αὐτὸ τὸ αὐτὰρ κτλ. B; idem L et Lp, nisi quod hic τὸ ante αὐτὰρ, ille δὲ post πάλιν om.; dittographiam Bekk. correxit 10 πολυεγχέας L, δολιχέγχεας BLp

---

an (agitur enim de re ad Navium recensum pertinente) Apollodorus (v. Niese, l. c. p. 283), incertum relinquendum videtur. — Ceterum Eustathius quoque (p. 1860, 58) quaestionem eodem quo nos modo male decurtatam legit.

5—10 Alteri huic scholii parti etsi iungenda esse apparet quae in codicibus nostris ad Φ 140 et 155 leguntur, tamen hoc loco edere veremur, quod ab iis versibus quibus adscripta sunt divelli vix queunt. Sufficiat igitur id indicasse. Minus certo iudicandum est de verbis Eustathii, p. 359, 33: *περὶ δὲ Πυραίχμου ἐν τοῖς τοῦ Πορφυρίου φέρεται ὅτι Πατρόκλου ἀνελόντος αὐτὸν* (Π 287) *Ἀστεροπαῖος ἦγε τοὺς Παίονας, ὃν ἔρριψεν Ἀχιλλεύς*. Difficillimum enim est iudicatu, utrum e Quaestionibus an e libro Paralipomenorum Homericorum petita sint (cf. quae disputavimus in libello supra allato, Herm. XIV, p. 247. 48).

† B f. 40ᵃ ad *ἀγκυλοτόξους: οὗτοι τοξόται, οἱ δὲ ὑπὸ Ἀστεροπαῖον δολιχεγχέες* ⟨*δολιχέγχεες* cod.⟩. *εἰκὸς δὲ τὸν Ἀστεροπαῖον χρονίζοντος τοῦ πολέμου ὕστερον ἐλθεῖν, ὡς καὶ Ἰφιδάμαντα καὶ Ῥῆσον*, quae verbotenus paene *ἐκ τῶν παλαιῶν* Eust., p. 359, 44, attulit; simil. Vict. *K* 428 et *Π* 287.

11—15 Quaestionem ad *Δ* 520 servatam huc transtulissem, nisi nimis ad eum locum cui in codicibus adscripta est conformata esset. — Quae nostro loco leguntur in usum suum convertit Eust. p. 358, 24 sqq.

16 Ex eodem fonte derivatum videtur Epimer. in Cramer. Anecd. Oxon. I, p. 141, 15: *τί σημαίνει ἕκαστος; ἀντὶ τοῦ Ἕλληνες καὶ οἱ βάρβαροι* (quae sequuntur huc non pertinentia ex Etym. M. p. 320, 12 petita sunt).

ἑκάτεροι, Τρῶές τε καὶ Ἕλληνες, ὡς τὸ δενδίλλων ἐς ἕκαστον (I 180)· δύο γὰρ οἱ πρέσβεις. ἔστι δὲ Ἀττικόν.

16—49. .....διὰ τί δὲ θεοειδέα φησὶ τὸν πάσαις κακίαις χρώμενον; τοῦτο γὰρ ἐγκωμιάζοντος δόξειεν εἶναι καὶ ἀποσεμνύνοντος τὸν ἄνδρα. λεκτέον δὲ ὅτι εἰ μὲν ⟨εἰ μὴ codd.; corr. Vill.⟩ πάντα ἐπαινῶν ἐφαίνετο τὰ ἐν τούτῳ, δικαία ἦν ἂν ἡ μέμψις· ἐπαινεῖ δὲ αὐτοῦ τὴν μορφήν, ἵνα καὶ ἐπὶ τῶν ψεκτῶν νομίζηται ἀληθεύειν. εἶτα καὶ μεῖζον κατασκευάζεται τὸ μῖσος, εἰ τοιοῦτος ὢν τὴν μορφὴν καταισχύνει. B f. 41ᵃ ad προμάχιζεν v. 16. Lp f. 82ᵇ c. l. προμάχιζεν.

ἐζήτηται πῶς Ἀλέξανδρος προκαλεῖται τοὺς ἀρίστους τῶν Ἑλλήνων δειλὸς ὢν τὰ πάντα καὶ οὐδὲ ὁπλίτης ἀλλὰ τοξότης. λύσις· ἔνιοι μὲν οὖν φασιν ἀλαζονεύεσθαι αὐτὸν τὰ ἀδύνατα, φοβεῖσθαι δὲ τὰ τυχόντα, οἱ δέ, ὅτι συγκεκλεισμένοι ὑπὸ Ἀχιλλέως οἱ Τρῶες τοὺς τῶν Ἑλλήνων ἀρίστους οὐκ ᾔδεισαν. ἐμοὶ δὲ δοκεῖ ὅτι κωμῳδεῖν ἐπανῃρημένος ὁ ποιητὴς καὶ σχῆμα τῆς ὁπλίσεως καὶ θάρσος ἀλλότριον τῶν ὅπλων αὐτῷ προστέθεικεν, ἵν' ἐκ τοῦ μέλλοντος φόβου μείζονα προσοφλήσῃ τὸν γέλωτα. *B f. 41ᵃ ad προκαλίζετο v. 19. L f. 56ᵃ. Lp f. 82ᵇ c. l. προκαλίζετο. A f. 42ᵃ c. l. προπάροιθεν ὁμίλου.

ἐκ ποίας αἰτίας τὸν Ἀλέξανδρον ὀνειδίζων τοιαῦτα προφέρει (v. 39. 40)· *B f. 41ᵇ ad Δύσπαρι.

Δύσπαρι, εἶδος ἄριστε, γυναιμανές, ἠπεροπευτά,
αἴθ' ὄφελες

καὶ τὰ λοιπὰ τῆς λοιδορίας; λοιδόρου γὰρ πάθος τὸ μετὰ ἐννέα ἔτη εἰς τοιαύτας λοιδορίας ἐκπίπτειν. κἂν τοιοῦτος δὲ ᾖ, διὰ τί εἰς τοιαύτας κατηνέχθη ζητοῦσι. τὸ μὲν γὰρ ὅτι γυναιμανὴς καὶ ἠπεροπευτής, ὃ σημαίνει τὸν ἀπατεῶνα, ἐξ ὧν δέδρακε περὶ τὴν Ἑλένην εἶχεν ὀνειδίζειν, τὸ δὲ ἢ οὕτω λώβην τ' ἔμεναι καὶ ὑπόψιον ἄλλων καὶ τὸ ἀριστέα μὲν αὐτὸν ὑπολαβεῖν καὶ πρόμον τοὺς Ἕλληνας, χαίρειν δὲ ὅτι οὐκ ἔστι βίη ἐν αὐτῷ, πόθεν στοχάζεται ὅτι ἀριστέα καὶ πρόμον αὐτὸν εἶναι ὑπενόουν, καὶ πάλιν ὅτι ἔγνωσαν δειλὸν ὄντα καὶ ἄνανδρον; νῦν τε διὰ τί ταῦτα προφέρει; οὐ γὰρ δὴ ὥσπερ Ὅμηρος πρώτην μάχην ταύτην ὑφίσταται ἐν ποιήσει, καὶ ταῖς ἀληθείαις πρώτη ἦν, ἵνα λόγον ἔχῃ ὁ τοῦ Ἕκτορος ὀνειδισμός, εἰ μὴ ἄρα λοίδορον ἐπιδεῖξαι βούλεται καὶ ὀργίλον ἄλλως τὸν Ἕκτορα.

---

9 προκαλεῖτο Lp προεκαλεῖτο πάντας τ. ἀρ. A 10 λύσις om. A L 11 δὲ post φοβεῖσθαι om. L 13 καὶ ἐμοὶ μὲν δοκεῖ A L 14 ὁπλήσεως A θράσος A θάρσος ἀλλ ὅτι L 15 αὐτοῦ Lp προτέθεικεν L 16 προσοφλήσει L

---

2 Aliter Aristarchus, v. schol. Ariston. *I* 180.

9—16 Aristarchum v. 19. 20 obelo notasse schol. Ariston. docet.

27 †B f. 42ᵃ ad *ἀριστῆα* v. 43 (id. Lp f. 83ᵇ alteri schol. h. v. subiunctum, A f. 42ᵇ c. l. *φάντες ἀριστῆα*): *πότε* ⟨*δὲ* add. Lp⟩ *ὑπέλαβον Ἕλληνες Ἀλέξανδρον* ⟨pro *Ἕλλ. Ἀλ.* A *αὐτὸν*⟩ *ἀριστέα εἶναι; δῆλον ὅτι ὁπότε πάλλων τὰ δόρατα Ἀργείων προκαλίζετο πάντας ἀρίστους.*

ῥητέον οὖν ὅτι, ἐπεὶ συνέμιξαν ἀλλήλοις θέλοντες, φησὶν ὅτι Τρωσὶ μὲν προμάχιζεν Ἀλέξανδρος, παρδαλέην ὤμοισιν ἔχων καὶ τὰ λοιπὰ Ἀργείους προκαλίζετο ἀντίβιον μαχέσασθαι (v. 16—20). ὁ δ' ἐν τοῖς προμάχοις γινόμενος καὶ προκαλούμενος πάντας τοὺς ἀριστέας εἰς μάχην ὑπολημφθείη ἂν ἀριστεὺς εἶναι πρόμαχος. πάλιν δ' οὗτος, ἡνίκα τὸν Μενέλαον θεασάμενος κατεπλάγη καὶ ἀναστρέψας ἐκ τῶν προμάχων εἰς τὸ πλῆθος κατέδυ δείσας Ἀτρέος υἱόν (v. 37), καταγέλαστος γίνεται καὶ ἄλλως ἀλαζών τε καὶ ἀπατεὼν καὶ ἐν φανερῷ τοῖς πᾶσι διεφθαρμένος. ἐπεὶ τοίνυν ὁ Ἕκτωρ ἐκπηδῶντα εἰς τοὺς προμάχους ἐθεάσατο καὶ πάλιν ἐκπλαγέντα, ὅτε εἶδε τὸν Μενέλαον, εἰς τὸ πλῆθος ὑπονοστοῦντα διὰ δέος καὶ φόβον πρίν τι παθεῖν καὶ κινδυνεῦσαι, ἐξ αὐτῶν τῶν πᾶσιν ὀφθέντων εἰς τὰς λοιδορίας παρήχθη· ἀπατεὼν γὰρ ὁ τοιοῦτος καὶ ἄλλως ἀλαζὼν καὶ ἠπεροπευτὴς καὶ ὑπόψιος ἄλλων λώβη καὶ φθορά. τὸ γὰρ λώβην τ' ἔμεναι καὶ ὑπόψιον ἄλλων (v. 42) σημαίνει, ὅτι μὴ μόνον ἐφθαρμένος ἐστὶν ἀλλὰ καὶ πᾶσι πρόδηλος. εἶ γὰρ, φησὶ, λώβη (τοῦτο γὰρ σημαίνει τὸ ἔμεναι), καὶ γινώσκῃ ὑπὸ τὰς ὄψεις πάντων, ὅτι τοιοῦτος εἶ· ἀλλ' οὐκ ὢν λέληθας, καὶ ὑπολαμβάνουσι μέν σε Ἀχαιοὶ ἀριστέα ἐκ τοῦ Τρωσὶ προμαχίζειν καὶ Ἀργείων προκαλίζεσθαι πάντας ἀρίστους, οὐκ ἔστι δὲ βίη φρεσί (v. 45) — κατεπλάγη γὰρ φίλον ἦτορ (v. 31) — ἀλλ' ἐπεὶ τὸν Μενέλαον ἰδὼν πεφόβηται, εἰκότως καὶ τὸ οὐκ ἂν δὴ μείνειας ἀρηίφιλον Μενέλαον (v. 52) εἴρηται. καὶ ἐπειδὴ πάντες αὐτὸν εἶδον ἐν τοῖς προμάχοις καὶ πάλιν κρυπτόμενον ἐν τῷ πλήθει πάντων, ἔφη τὴν λώβην ἔχειν, ὡς πάντων αὐτῷ φοβερῶν ὄντων, ὥσπερ Μενέλαον ⟨ὥσπερ ὁ μενέλαος cod.⟩, διότι ἠδίκησε τὴν γυναῖκα ἁρπάσας, ἰδὼν ἐξεπλάγη. οὐκ ἐκείνου οὖν γυναῖκα, φησὶ, λαβὼν ἔχεις μόνου, ἀλλὰ νυὸν ἀνδρῶν αἰχμητάων (v. 49), τούτων μὲν νύμφην — πάντες γὰρ αὐτὴν ἐμνηστεύοντο οἱ ἄριστοι — Μενελάου δὲ γεγονυῖαν θαλερὴν παράκοιτιν (v. 53).

ἐκ τῶν οὖν νῦν ὑπὸ Ἀλεξάνδρου γεγονότων ὀνειδισμὸς γίνεται, ἀλλ' οὐκ ⟨supr. lin. script.⟩ ἐκ λοιδόρου καὶ εἰς ὕβριν ἐπιφόρου διανοίας τοῦ Ἕκτορος. τὸ δὲ Ἀργείων προκαλίζετο πάντας ἀρίστους ἀντίβιον μαχέσασθαι (v. 19. 20) ἀμφίβολον, πότερον αὐτὸς πάλλων προεκαλεῖτο τοὺς ἀρίστους τῶν Ἑλλήνων αὐτῷ μαχέσασθαι, ἢ πάλλων τὰ δόρατα προὐκαλεῖτο πάντας τοὺς ἀρίστους τῶν Τρώων Ἀρ-

26 † B f. 42ᵃ ad *νυὸν Γ* 49 (id. Lp f. 83ᵇ c. l. *νυὸν ἀνδρῶν*): *πάντες γὰρ οἱ ἄριστοι τὴν Ἑλένην ⟨τῶν Ἑλλήνων* Lp⟩ *ἐμνηστεύσαντο, μόνου δὲ Μενελάου θαλερὴ γένονε παράκοιτις.*

34 sqq. Duo scholia eandem rem in epitomen redactam continentia coniuncta esse vix est quod moneamus. Ex eodem fonte petita sunt verba quae in schol. B f. 41ᵃ ad *Ἀργείων* v. 19 (id. L f. 56ᵃ, Lp f. 82ᵇ c. l. *Ἀργείων*) leguntur: ..... *κραδαίνων τοίνυν τὸ δόρυ προεκαλεῖτο τοὺς τῶν Ἀργείων ἀρίστους εἰς μάχην. ἢ τοὺς ἀριστεῖς τῶν Τρώων προετρέπετο ⟨προτρέπεται* L⟩ *κατὰ τῶν Ἑλλήνων.* Quae ibi sequuntur aliunde illata esse videntur.

γείοις ἀντίβιον μαχέcαcθαι· ἢ γὰρ τοὺc ἀρίcτουc τῶν Ἑλλήνων αὐτὸc προεκαλεῖτο μάχεcθαι κραδαίνων τὰ δόρατα, ἢ τῶν Τρώων πάντας τοὺc ἀρίcτουc προὐκαλεῖτο Ἀργείοις ἀντίβιον μαχέcαcθαι.

46. v. ad Ε 886.

61. 62. τὸ ὅcτ' εἶcιν διὰ δουρὸc ὑπ' ἀνέροc, ὅc ῥά τε τέχνῃ
νήιον ἐκτάμνηcιν ὀφέλλει δ' ἀνδρὸc ἐρωήν *B f. 47ᵇ ad δουρὸc. Lp f. 83ᵇ.

ἀδύνατόν φαcιν εἶναι· τὸν γὰρ πέλεκυν ἀδύνατον τέχνῃ χρῆcθαι. λύοιτο δ' ἂν κατὰ λέξιν, οὐχ ὥc τινεc ὅτι ἐπὶ τοῦ ἀνδρὸc λέγεται τὸ ἀκροτέλευτον ⟨ἀκροτελεύτιον Lp⟩ ὅc ῥά τε τέχνη, ὁ ἀνήρ· τὸ γὰρ ἐπιφερόμενον ἐλέγχει τοὺc λόγουc ὑπὲρ τοῦ πελέκεωc ὄνταc· ὀφέλλει δ' ἀνδρὸc ἐρωήν· μᾶλλον ὥcτε τὸ τέχνῃ ἐcτὶν ὑπὸ τέχνηc. cυνήθηc δ' ὁ τρόποc τῆc ἑρμηνείαc, ὡc ἐν τῷ γήραϊ δὴ πολέμοιο πεπαυμένοι (v. 150) ἀντὶ τοῦ ὑπὸ τοῦ γήρωc, καὶ ὅc δὴ γήραϊ κυφὸc ἔην (β 16), ἀντὶ τοῦ ὑπὸ τοῦ γήρωc.

65. 66. τὸ οὔ τοι ἀπόβλητ' ἐcτὶ θεῶν ἐρικυδέα δῶρα ὅccα κεν αὐτοὶ δῶcιν, ἑκὼν δ' οὐκ ἄν τιc ἕλοιτο ἐναντιολογίαν δοκεῖ περιέχειν· τὰ γὰρ μὴ ἀπόβλητα δῶρα καὶ μάλα παρὰ θεοῦ δωρούμενα καὶ ἐρικυδέα πῶc οὐκ ἄν τιc ἑκὼν ἕλοιτο; λύεται τὸ ἑκὼν οὐκ ἄν τιc ἕλοιτο μαχομέναιc ταῖc κατὰ τὸ κοινὸν ἐννοίαιc· ἡ δὲ λύcιc· θεῶν δῶρα οὐ μόνον ἃ διδόαcιν ἀγαθὰ ἀλλὰ καὶ ἃ παρέχουcι κακά· δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸc οὔδει δώρων, οἷα δίδωcι, κακῶν, ἕτεροc δὲ ἑάων (Ω 527). ὥcτε δῶρα καὶ κακά, ἅπερ οὐκ ἄν τιc ἑκὼν ἕλοιτο, δοθέντα δὲ cτέργειν αὐτὰ ὀφείλει. ἢ ἁπλῶc τὰ δῶρα ὁποῖα ἂν ᾖ παρὰ θεῶν φηcιν οὐδὲ ἀπόβλητά ἐcτι διὰ τὸ μὴ ὑπὸ τὴν ἡμετέραν κεῖcθαι ἐξουcίαν εἰc τὸ ἀποβαλεῖν. τὸ οὖν μὴ εἶναι ἀπόβλητα μηδὲ ὑφ' ἑκόντων ληπτέα εἴρηται, ὅτι οὐκ ἐν τῇ ἡμετέρᾳ ἐξουcίᾳ κεῖται εἰc τὸ ἀποβαλεῖν ἢ λαβεῖν. ἀναιρεῖ δὲ καὶ ἑκάτερον τὸ ἐφ' ἡμῖν, ὡc μήτε ἐνὸν ἡμῖν αὐτὰ ἀποβαλεῖν ἐθελήcαcι μήτε λαβεῖν προθυμηθεῖcιν, ἄν τε ἀγαθὰ ἄν τε ἐναντία. καὶ ἔcτιν ὁ λόγοc· ἃ θεοὶ διδόαcι δῶρα, κἂν ἐρικυδέα ᾖ κἂν φαῦλα, οὔτε ἀποβαλεῖν ἐφ' ἡμῖν ἐcτιν οὔτε λαβεῖν ἐφ' ἡμῖν ἂν εἴη. τὸ γὰρ ἑκὼν ἐκ κοινοῦ δεῖ καὶ πρὸc τὸ ἀποβαλεῖν ἀκοῦcαι καὶ πρὸc τὸ ἑλεῖν· οὐ γὰρ ἑκὼν ἄν τιc καὶ θέλων ἀποβάλοι οὐδ' ἑκὼν ἄν τιc καὶ θέλων λάβοι ἃ ἐν τῇ τῶν κρειτ- *B f. 42ᵇ ad δῶρα. L f. 58ᵃ, Π. Lp f. 84ᵃ. Eton. (Noehden p. 34), Π.

---

15. 16 τὸ οὔ τοι — ἕλοιτο om. L ἐρικερδέα Lp 17 θεῶν L 18 ἐρικερδέα Lp πῶc ἄν τιc ἑκὼν οὐχ ἕλοιτο Et λύεται τὸ conieci; codd. λύcιc, om. τὸ 18. 19 ἑκὼν — ἕλοιτο om. Lp' 19 ταῖc om. Lp τὸ ante κοινὸν om. Et 20 post δοιοὶ aliquid eras. B 21 κατακείατο L 22 ἑάαν LEt καὶ τὰ κακὰ LEt 23 δοθέντων L 24 θεοῦ Lp 25 ἐξουcίαν κεῖcθαι LLp 26 μηδὲ correxi; codd. μήτε ὑπ' ἐχόντων codd.; corr. Vill. οὐχ ὅτι codd.; corr. Bekk. 30 ᾖ post utrumque κἂν LEt 33 ἀποβαλὼν LEt ἀποβαλ οὐδὲ ἑκὼν Lp

15 sqq. Aristarchus diplen posuit *πρὸς τὸ ζητούμενον, πῶς, εἰ οὐκ ἔστιν ἀπόβλητα, ἑκὼν οὐκ ἄν τις ἕλοιτο* (schol. A, cf. Lehrs, Ar. p. 209).

τόνων καὶ ὑπὲρ ἡμᾶς ὄντων ἐξουσίᾳ κεῖται. λύεται καὶ κατὰ λέξιν· τὸ γὰρ ἑκὼν ἐπὶ τοῦ βουληθεὶς τιθέμενον δηλοῖ ὅτι καλὰ μὲν τὰ δῶρα, οὐ μὴν ἅπαντι τῷ βουληθέντι ῥᾷστα ληφθῆναι.

*B f. 19ᵇ ad πανσυδίη B12. 98 sqq. ἀποροῦσί τινες πῶς ὁ Ἀγαμέμνων ἀκούσας θωρῆξαί σε κέλευσε καρηκομόωντας Ἀχαιοὺς πανσυδίῃ· νῦν γάρ κεν ἕλοις ⟨ἑ² cod.⟩ πόλιν εὐρυάγυιαν (B 28. 29), καὶ πιστεύσας τῷ ὀνείρῳ — φῇ γὰρ ὅγ' αἱρήσειν Πριάμου πόλιν ἤματι κείνῳ (B 37) — ὡς τῶν πολεμίων ἁλίσκεσθαι μελλόντων καὶ τῆς πόλεως καταλαμβανομένης, τὰ μὲν πρὸς ἅλωσιν οὐ ποιεῖ ἐξαγαγὼν τὴν στρατιάν ⟨στρατείαν cod.; corr. Bkk.⟩, ἐπὶ ὅρκους δὲ ἔρχεται καὶ συνθήκας, αἷς ἐπεφώνησεν· οἱ δ' ἐχάρησαν Ἀχαιοί τε Τρῶές τε ἐλπόμενοι παύσασθαι ὀιζυροῦ πολέμοιο (Γ 111). ῥητέον οὖν ὅτι μήποτε οὐ παντελῶς ἐπίστευσε τῇ περὶ τὸν ὄνειρον φαντασίᾳ· διόπερ εὐγνώμοσι τοῖς περὶ τῆς συνθήκης λόγοις ὑπάρχουσιν εἰκότως συγκατατίθεται ⟨add. cod. ἀπρεπὲς δὲ τὸ λέγειν κτλ., quae p. 24, 3 edidimus⟩.

*B f. 43ᵇ ad ὁπποτέρω Γ 101. L f. 59ᵃ. Lp f. 84ᵇ. διὰ τί ὑποσχομένου τὴν ἅλωσιν Ἰλίου συνθήκας ποιεῖται πρὸς Τρῶας; ῥητέον οὖν κατ' ἐνίους ὅτι οὐ πιστεύει τῷ ὀνείρῳ, κατὰ δέ τινας ὅτι οὐδὲν διέφερε καὶ ἑνὸς μονομαχία. ἄλλως τε οὖν προστέτακται αὐτῷ καθοπλίσαι τοὺς πάντας, οὐ μάχεσθαι.

B f. 43ᵇ ad οἴσετε. L f. 59ᵃ. Lp. f. 84ᵇ c. l. οἴσετε δ' ἄρν'. 103. . . . . διὰ τί δὲ οἱ Τρῶες Γῇ καὶ Ἡλίῳ; ὅτι ὁ ⟨om. L⟩ κίνδυνος περὶ σωτηρίας τῆς ἐν τῇ οἰκείᾳ ⟨οἰκίᾳ L⟩. Ἕλληνες δὲ Διί, ἐπεὶ ξένιος ⟨ἐπ. ξ. om. L⟩· περὶ ξενίαν δὲ ἠδίκηνται. μέλαιναν δὲ καὶ λευκόν, ὅτι οἰκειότατα τὰ χρώματα ἑκατέρῳ τῶν θεῶν. ἐπὶ δὲ Διὸς οὐκ εἶπε τί χρῶμα· Γῆν μὲν γὰρ καὶ Ἥλιον ὁρῶμεν, Δία δὲ νοοῦμεν μόνον.

108. v. ad Ξ 267.

L f. 59ᵇ, *Π.* Eton. (Noehd. p. 35), *Π.* 121. εἰς τὸ Ἶρις δ' αὖθ' Ἑλένῃ λευκωλένῳ ἄγγελος ἦλθεν. ἄλογον ἀφ' ἑαυτῆς ἔρχεσθαι πρὸς τὴν Ἑλένην. λύεται δὲ ἐκ τῆς λέξεως. τὸ γὰρ ἄγγελος οὐκ ἔστιν αὐτάγγελος ἀφ' ἑαυτῆς, ἀλλ' ὑποβάλ-

---

1 quae post κεῖται leguntur LEt om. ante λύεται in B. ras. 2 δῆλον Lp 3 ἅπαντα codd.; correxi 16—19 L scholium verbis subiungit, quae in cod. A ad Γ 103 leguntur: τὰ οἰκεῖα ἑκάστῳ θεῷ — τοιαύτη ἡ θεός (p. 145, 13—15 Dind.) 16 πρὸς τοὺς τρ. Lp 18 διέφθειρε L μονομαχίαν BLpL προσετέτακτο L 20 praemittuntur in B et Lp nonnulla a quaestione aliena: ἐάν στίξωμεν — τῶν καρπῶν (p. 165, 10—12 D.), quae in L alterum scholium efficiunt

---

4 sqq. Si rem spectas, ad *Γ* 118 vel ad *Γ* 276 potius utrumque schol. referendum fuit. Sed cum ex versu 111 in priore allato appareat, quae poeta Menelaum dicentem faciat (v. 97—110) per errorem ad Agamemnonem referri, ad ipsam Menelai orationem, cui alterum in codd. adscriptum est, edere maluimus.

16 sqq. Cf. Paris. ap Cramer., A. P. III, p. 157, 18.

27 Haud scio an ex eodem Porphyrio derivatum sit B f. 44ᵃ ad *λευκωλένῳ* (id. Lp f. 85ᵃ c. l. *λευκωλένῳ*): *ἐν ἀρχαῖς τῷ τῆς Ἥρας αὐτὴν ἐπιθέτῳ κοσμεῖ, Ἀργείας τε ἄμφω καλεῖ· Ἥρη τ' Ἀργείη* (*Δ* 8) *καὶ Ἀργείη Ἑλένη* (*Ζ* 323). *ἦλθε δὲ ἄγγελος, δηλονότι παρὰ τοῦ Διός· οὐ γὰρ αὐτάγγελος. θῆλυ δὲ θήλεῖ*

λει ὅτι παρὰ τοῦ Διός. οἱ δὲ τὸ λευκωλένῳ δέχονται τῇ Ἥρᾳ ἐπίθετον.

122. τὸ δὲ εἰδομένη γαλόῳ Ἀντηνορίδαο δάμαρτι, διὰ τί μᾶλλον ταύτῃ ἢ ἄλλῃ; ἄλογον γάρ. ἡ δὲ λύσις ἐκ τοῦ προσώπου. ὑπόκειται γὰρ ὁ Ἀντήνωρ πρόξενος τῶν Ἑλλήνων καὶ τὸ γένος αὐτοῦ καὶ τῆς συνοικούσης τούτῳ. L f. 59ᵇ.

144. ἀδύνατόν φησι ⟨φασι Lp⟩ τὴν Αἴθρην ⟨αἴθραν L Et⟩ ἔτι ζῆν καὶ ἀμφιπόλου τάξιν ἔχειν, εἴπερ ὁ μὲν Θησεὺς ἀρχαῖός ἐστιν — ἔνθα κ' ἔτι ⟨κέ τι, ε in ras., B⟩ προτέρους ἴδον ⟨εἶδον L⟩ ἀνέρας οὓς ἔθελόν περ, Θησέα Πειρίθοόν τε, θεῶν ἐρικυδέα τέκνα (λ 630. 31) — ἡ δὲ ἀμφίπολος ἐπὶ νέας τάττεται. ἡ δὲ λύσις ἐκ τῆς λέξεως· ἢ ὅτι ὁμωνυμία ἐστὶ τῆς Αἴθρας, ἢ ὅτι ἡ ⟨om. Lp⟩ ἀμφίπολος οὐ πάντως νέα· γρηὶ σὺν ἀμφιπόλῳ, ἥ οἱ βρῶσιν πόσιν τε παρτίθει (α 191). *B f. 44ᵇ ad Αἴθρη. L f. 61ᵃ, Π, c. l. Αἴθρη Πιτθῆος. Lp f. 85ᵇ. Eton. (Noehd. p. 35) Π.

εἰ μὲν ὁμωνυμία ἐστίν, ἐατέον· εἰ δὲ οὔ, στικτέον ἐν τῷ Αἴθρη καὶ τὸ ἑξῆς συναπτέον. πιθανώτερον δὲ ὁμωνυμίαν εἶναι· οὐ γὰρ ἂν τοσούτων οὖσα ἐτῶν ἀμφιπολεῖν ἠδύνατο ⟨add. Lp: ἀδύν. φασι κτλ., l. 7⟩. B f. 44ᵇ ad Αἴθρη. Lp f. 85ᵇ.

καὶ πῶς τοσούτων ἐτῶν οὖσα ἀμφιπολεῖν δύναται; ἀλλὰ καὶ ἐπὶ τῆς γραὸς κεῖται· γρηὶ σὺν ἀμφιπόλῳ. πιθανώτερον δὲ ὁμωνυμίαν εἶναι· οὐ γὰρ ἡ ἡλικία ἐᾷ· τοὺς περὶ Θησέα γὰρ προτέρους ἄνδρας ὁ Ὀδυσσεύς φησι. πῶς τε, εἰ ἐν Τροιζῆνι ἐκεῖνος ἦν, πῶς τε Μενέλαος τὴν θείαν δουλεύειν ἠνείχετο; Πελοπὶς γὰρ ἦν. κουριδίην ⟨κουρίην cod. Town.⟩ τε ἄλοχον (N 626) Μενέλαος αὐτήν φησιν ⟨αὐτον φησίν Town.⟩. Townl. (Cramer, An. Par. III, p. 281).

154 sqq. διὰ τί ἡ Ἑλένη ἐπὶ τὴν θέαν ἀφικνεῖται καὶ ταύτης ⟨ταύτην cod.⟩ ὁ Πρίαμος τὰ περὶ τῶν Ἑλλήνων πυνθάνεται; διὰ τί τε ἐνέα ἤδη τῶν τοῦ πολέμου παρῳχηκότων ἐτῶν ὁ Πρίαμος ἀγνοεῖν φαί- *B f. 44ᵇ ad ἄνδρα v. 166 (f. 45ᵃ).

πείθεται (*κτλ.*, quae aliunde illata sunt). Eadem sed ordine inverso, ita ut illa *ἐν ἀρχαῖς — Ἀργείη Ἑλένη* scholium claudant. Leid. f. 60ᵃ.

15—18 Inter Quaestiones scholium retulimus, quia iisdem ex parte verbis quibus quaestio Townleiana utitur.

19 Extrema scholii verba quamvis pessime tradita sint docent Porphyrium inter alias rationes, propter quas Aethra Pitthei Troezeniorum regis filia esse non posset, negasse Helenam ab Homero ut Thesei uxorem induci, quod idem Aristarchus diple posita monuit (v. Lehrs, Arist. p. 185). De cuius de nostro loco iudicio v. Lehrs ap. Friedl., Ariston. p. 84, et Aristarch. p. 347.

26 sqq. †B f. 45ᵃ ad *ὥς μοι* v. 166 (id. Lp f. 86ᵃ c. l. *ὥς μοι καὶ τόνδ' ἄνδρα*): *πῶς ἐν ταῖς πρώην πρὸ τείχους γενομέναις συμβολαῖς οὐ παρεκάλεσε Πρίαμος παρ' Ἑλένης μαθεῖν τοὺς ἀρίστους; ὅτι ἐνόπλων αὐτῶν προσβαλλόντων τῷ τείχει δυσχερὲς ἦν ἐπισημήνασθαι αὐτούς, καὶ τῶν ὅπλων πολλάκις δυναμένων ἀπατᾶν, ὡς καὶ ἐπὶ Πατρόκλου· καί τοι τεύχεα καλὰ δότω, αἴ κέ σε τῷ γ' ἴσκοντες* ⟨*τῷ γ' ἐίσκοντες* codd.⟩ *ἀπόσχωνται* (*Λ* 798). *συνήρτηται δὲ τοῦτο κτλ.*, quae huc non pertinent.

νεται τοὺς ἡγεμόνας τῶν Ἑλλήνων, πάντως πολλάκις ἑωρακὼς αὐτοὺς ἐκ τοῦ τείχους, ὥσπερ καὶ νῦν ὑπόκειται, καὶ δυνηθεὶς ἂν καὶ μαθεῖν περὶ ἑκάστου;

ῥητέον δὲ ὅτι τοῦ Ἀχιλλέως συντεταγμένου τοῖς Ἕλλησι καὶ τῶν Τρώων ἐν τῇ πόλει καθειργμένων, ἔφοδοι ἐγίνοντο ἔνοπλοι καὶ τὰ μὲν ὀνόματα γνῶναι ἠδύνατο τῶν ἀρίστων ὁ Πρίαμος καὶ αὐτοὺς ἐνόπλους θεάσασθαι, ἐπὶ συνθήκας δὲ καὶ διάλυσιν πολέμου τοιαύτην μὴ ἐληλυθότων πρότερον, ἀλλὰ καὶ τῶν ἐκ προκλήσεως μονομαχίων οὐ μετ' ἐκεχειρίας ⟨ἐκκεχειρίας cod.⟩ τῶν ἄλλων γινομένων, καὶ διὰ τοῦτο ἐνόπλων ἀλλήλοις ἀεὶ ἀναμιγνυμένων, ὁ ποιητὴς *** ⟨lacunae in cod. vestigium non exstat⟩ ἐπινοήσας μονομάχιον μετ' ἐκεχειρίας ⟨ἐκκεχειρίας cod.⟩ τῶν ἄλλων καὶ διὰ τοῦτο ἀποδύσας ἀπὸ τῶν ὅπλων τοὺς πολεμοῦντας· φησὶ γὰρ ὡς ἐχάρησαν Ἀχαιοί τε Τρῶές τε ἐλπόμενοι παύσασθαι ὀιζυροῦ πολέμοιο τεύχεά τ' ἐξεδύοντο (v. 111. 12. 14)· καὶ ἐπισημηνάμενος ἀναγκαίως τὸ παράδοξον τῆς ἐπινοίας διὰ τοῦ φάναι ἵνα θέσκελα ἔργα ἴδηαι Τρώων θ' ἱπποδάμων καὶ Ἀχαιῶν (v. 130. 31). τί οὖν τὸ θαυμαστόν; ὅτι οἳ πρὶν ἐπ' ἀλλήλοισι φέρον πολύδακρυν Ἄρηα, οἱ ⟨οἳ cod.⟩ δὴ νῦν ἔασι σιγῇ, πόλεμος δὲ πέπαυται (v. 132. 34). γυμνῶν οὖν γενομένων νῦν πρῶτον, ἥ τε τῆς Ἑλένης θέα ἐπὶ τῷ παραδόξῳ τῆς εἰρήνης καὶ τῆς γυμνητείας ⟨γυμνι, suprascrpt. τ', cod.⟩ τῶν ὅπλων οὐκ ἄλογος, καὶ ὁ ἐγειρόμενος ὑπὸ ἐκλύσεως τοῦ φόβου πεπαυμένου τοῦ πολέμου ἵμερος ⟨om. cod.; addidi e v. 139⟩ οὐκ ἄλογος, ἥ τε ἐξέτασις τοῦ Πριάμου εὔκαιρος καὶ λόγον ἔχουσα τὰ νῦν. ἔτι καὶ νῦν αὐτοὺς γυμνοὺς ἄτερ ὅπλων θεώμενος γνῶναι δύναται ἐξετάσας παρὰ ⟨περὶ cod.⟩ τῆς ὁμοεθνοῦς ἕκαστον, διὸ καί φησι τεύχεα μέν οἱ κεῖται ἐπὶ χθονί, αὐτὸς δὲ κτίλος ὥς (v. 195. 96). καὶ πρὸς τοῦτο οὖν ἡ τῆς Ἑλένης εἰς τὸ τεῖχος παρουσία εὐλόγως ᾠκονόμηται.

ὅτι δὲ ἐκ τῶν ὅπλων ἐνῆν πλανηθῆναι τοὺς ἀπὸ τῶν ὅπλων σημαινομένους ἕκαστον, δηλοῖ τὰ ἐπὶ τοῦ Πατρόκλου, ὃς ἐνδύσασθαι τὰ Ἀχιλλέως ὅπλα ἐδεήθη, αἴ κέν πως αὐτόν γε ἑίσκοντες τῷ Ἀχιλλεῖ ἀπόσχωνται πολέμοιο Τρῶες (Π 41). οὕτως οὐκ ἦν τὸν ἀπὸ τῶν ὅπλων τινὰ δοξάζοντα ἤδη καὶ ὄντως γινώσκειν αὐτόν. ὅτι γὰρ ἀπὸ τῶν ὅπλων ἐδόξαζον τοὺς πολεμοῦντας, δηλοῖ καὶ ὁ Κεβριόνης ὅταν λέγῃ τῷ Ἕκτορι· νῶι μὲν ἐνθάδ' ὁμιλέομεν Δαναοῖσιν· οἱ δὲ δὴ ἄλλοι Τρῶες ὀρίνονται· Αἴας δὲ κλονέει Τελαμώνιος· εὖ δέ μιν ἔγνων· εὐρὺ γὰρ ἀμφ' ὤμοισιν ἔχει σάκος (Λ 523–27)· καὶ πάλιν· Τυδείδῃ μιν ⟨μὲν cod.⟩ ἔγωγε δαΐφρονι πάντα ἑίσκω ἀσπίδι γινώσκων αὐλώπιδί τε τρυφαλείῃ (Ε 181. 82). εἰ μὲν οὖν καθωπλισμένων αὐτῶν ἡ ἐξέτασις ἐγίνετο, ἄλογός γε ἂν διὰ τοῦ τοσούτου χρόνου γινομένη πρός τε τὴν Ἑλένην διατιθεμένη, δέον πρός τινα τῶν τὸν πόλεμον κατατιθέντων· ἐπεὶ δὲ γυμνοὶ καὶ ἄνοπλοι τότε

γεγένηνται, οὔτε ἡ ἐξέτασις ἄλογος οὔτε ἡ πρὸς τῆς Ἑλένης περὶ τούτων γινομένη διδασκαλία· ἀκριβέστερον γὰρ ταύτης οὐδεὶς ἂν ἄλλος τῶν παρόντων τὰς μορφὰς καὶ τὰ εἴδη ἀνεγνώρισεν.

ἐζήτηται πῶς ὁ Πρίαμος τῷ δεκάτῳ ἔτει πυνθάνεται περὶ τῶν ἀρίστων. ῥητέον οὖν, ὅτι ἐπειδὴ πρότερον περὶ τὰς ἀστυγείτονας πόλεις ἐπλανῶντο, ὡς που καὶ ὁ ποιητής φησιν· κατὰ λῃΐδ' ὅπη ἄρξειεν Ἀχιλλεύς (γ 106), νῦν δὲ προσκάθηνται τῇ Ἰλίῳ. ἢ ὅτι πρῶτον μὲν οὐκ ἦγε σχολὴν πυθέσθαι περὶ αὐτῶν, τοῦ Ἀχιλλέως ἰσχυρῶς αὐτοῖς ἐγκειμένου καὶ μόνον ἑαυτὸν αὐτοῖς ἐπιδεικνύντος καὶ τῷ φόβῳ κατακλείστους ποιοῦντος· τότε γὰρ ὁ Πρίαμος οὐ περὶ τούτων ἐφρόντιζεν, ἀλλὰ περὶ τοῦ σώζεσθαι τὴν πόλιν. νῦν δὲ μηνίοντος ἐκείνου καὶ τῆς μάχης ἰσορρόπου γεγενημένης, ὡς καὶ τοῦ τείχους χωρὶς πολεμεῖν τοὺς Τρῶας, εἰκότως περὶ αὐτῶν πυνθάνεται. ἕτεροι δέ φασιν ὅτι ἀπὸ τῆς πανοπλίας καὶ τῶν ἵππων αὐτοὺς ἐγνώριζον, ὡς καὶ Πάνδαρος ἐπὶ τοῦ Διομήδους λέγει· ἀσπίδι γινώσκων αὐλώπιδί τε τρυφαλείῃ (Ε 182)· πρότερον δὲ οὐ τεθέαται ἐνόπλους πάντας ὡς νῦν.

*B f. 45ᵃ. A f. 45ᵃ c. l. ἔοικεν v. 170. L f. 61ᵇ. Cf. Cramer, An. Par. III, p. 157, 35.

168. v. ad B 478 sqq., p. 47.

175. coniungendum cum Ζητ. Vat. 13, quod in extr. opere edetur.

196. 97. Πορφύριος δὲ καὶ κύριον ὄνομα οἶδε Κτίλον τινά, ὃν Διὸς λέγει ἀπόγονον.

Eust. Γ p. 403, 39.

ἐκ τοῦ πηγόν τὸ μέλαν· κύματι πηγῷ (ε 318)· ἐξ ἀντικειμένου δέ φησιν ἐπ' αὐτοῦ ὅτ' τ' ὀίων μέγα πῶυ διέρχεται ἀργεννάων· ἐν λευκοῖς δὲ ὁ μέλας διαφορώτερος. καὶ τοὺς ἵππους τοὺς πηγοὺς ἀθλοφόρους λέγει (Ι 124), παρ' ὅσον οἱ περὶ ἱππικῆς γράψαντές φασι

*B f. 45ᵇ ad πηγεσιμάλλῳ. L f. 62ᵇ c. l. πηγεσιμάλλῳ. Lp f. 86ᵇ c. l. πηγεσιμάλλῳ. Eton. (Noehden p. 35). Π, c. eod. l.

---

4 schol. B signo apposito non ad textum sed ad schol. quod p. 55, 26 edidimus refertur 5 ῥητέον οὖν ὅτι om. A καὶ ῥητέον ὅτι L πόλεις om. B περὶ τοῖς ἀστυγειτόνοις ἐπλαν. L ἀστογείτονας A 6 λῃΐδα ABL 7 πρότερον μὲν AL 10 ποιῶν L et A, qui ita pergit: ἐφρόντιζε γὰρ τὸ τηνικαῦτα ὁ Πρίαμος οὐ π. τ. 11 μηνιῶντος ALLp 12 ἰσορρόπου τῆς μάχης AL τοῦ τείχους ἐκτὸς L 14. 15 ἐπὶ τοῖς Διομήδους L 15 τροφαλείῃ A 16 τεθέαται πάντας ἐνόπλους L τεθέατο οὗτος π. ἐν. A 21 ἐκ τοῦ πυγὸν et πυγῷ Lp κύματα L 22 οἰῶν B ὡς τ' ὀίων Lp ἀργενάων Lp 23 καὶ τοὺς ἵππ. πηγ. LEt 24 οἱ παρὰ (post ἀ addito ῑ) ἱππικῆς γράφοντες φησὶ Lp

---

19. 20 Ex Eustathio in cod. Paris. 2767 (Cram. A. P. III, p. 196) transierunt, ubi *Κίλον* legitur.

23 sqq. † B f. 45ᵇ ad *πηγεσιμάλλῳ* (id. A f. 45ᵇ c. l. *πήγεσι μᾶλλον*, Lp. f. 86ᵇ c. l. *πηγεσιμάλλῳ*): *μελανομάλλῳ. οὗτος γὰρ ἐν λευκῷ τῷ* ⟨om. A⟩ *ποιμνίῳ διάδηλος ἔσται. τῷ πραοτάτῳ δὲ εἴκασται διὰ τὸ ἀτάραχον.* Cf. Eust., p. 403, 42. Et. M. p. 669, 20: .....*καὶ σημαίνει τὸν μέλανας μαλλοὺς ἔχοντα. πόθεν δῆλον; ἐκ τοῦ εἰπεῖν τὸν ποιητήν· ὅς τ' ὀίων μέγα πῶυ διέρχεται ἀργεννάων. ὁ γὰρ τοιοῦτος φοβερὸς φαίνεται ἐν πλήθει προβάτων.* Idem fere Epimer. in Anecd. Oxon. I, p. 358, 6; Etym. Gud. p. 465, 1.

† B f. 117ᵃ ad *πηγοὺς I* 124: *μέλανας· τούτους γὰρ ἀρίστους φασὶν οἱ περὶ ἵππων γράψαντες. τινὲς δὲ μεγάλους κτλ.*

πρὸς ἀρετὴν ἵππων ἀρίστους εἶναι τοὺς μέλανας. καὶ τὸ κῦμα δὲ ἀντιφράζων ὁτὲ μὲν κύματι πηγῷ λέγει, ὁτὲ δὲ μέλαν τέ ἑ κῦμα κάλυψε (Ψ 693). καὶ Ἀντίμαχος δὲ τὸ λευκὸν ὡς ἀντικείμενον τῷ πηγῷ λαμβάνει.

*B f. 46ᵇ ad δοιώ. 236. διὰ τί τὴν Ἑλένην πεποίηκεν ἀγνοοῦσαν περὶ τῶν ἀδελφῶν ὅτι οὐ παρῆσαν, δεκαετοῦς τοῦ πολέμου ὄντος καὶ αἰχμαλώτων πολλῶν γινομένων; ἄλογον γάρ. ἔτι δὲ καὶ εἰ ἠγνόει, ἀλλ' οὐκ ἦν ἀναγκαῖον μνησθῆναι τούτων οὐκ ἐρωτηθεῖσαν ὑπὸ τοῦ Πριάμου περὶ αὐτῶν· οὐδὲ γὰρ πρὸς τὴν ποίησιν πρὸ ἔργου ἦν ἡ τούτων μνήμη. φησὶ μὲν οὖν Ἀριστοτέλης· ἴσως ὑπὸ τοῦ Ἀλεξάνδρου ἐντυγχάνειν ἐφυλάττετο τοῖς αἰχμαλώτοις. ἢ ὅπως τὸ ἦθος βελτίων φανῇ καὶ μὴ πολυπραγμονοίη, οὐδὲ τοὺς ἀδελφοὺς ᾔδει ὅπου εἰσί. φαίνεται δὲ πάντα καὶ λέγουσα καὶ οἰκονομοῦσα, ὅπως ὅ τε Πρίαμος καὶ οἱ ἄλλοι πεισθῶσι Τρῶες, ὅτι ἀκούσιος καὶ παρὰ γνώμην αὐτῆς ἡ εἰς τὴν Ἴλιον γέγονεν ἄφιξις. οὕτω γὰρ τοῦ Πριάμου εἰπόντος· οὔτι μοι αἰτίη ἐσσί, θεοί νύ μοι αἴτιοί εἰσιν (v. 164), αὐτὴ δ' αἰδοῖον εἰποῦσα καὶ ἐπίφοβον διὰ τὸ σέβας (v. 172), καταρᾶται, οὐδὲν μὲν ἐπισημαίνουσα, εἴτε ἑκοῦσα εἴτε ἄκουσα ἀφίκετο, ἀλλὰ μόνον γνωστούς τε λιποῦσα παῖδά τε τηλυγέτην (v. 174. 75), καὶ ὅτι ἄχθεται τῇ μονῇ καὶ κλαίουσα διατελεῖ καὶ ὅτι δαὴρ αὖτ' ἐμὸς ἔσκε κυνώπιδος, ὁ Ἀγαμέμνων, εἴ ποτ' ἔην γε, ἀντὶ τοῦ ὁπότ' ἦν (v. 180), ὡς ἂν ποθούσης αὐτῆς τοῦ ἀνδρὸς τὴν συγγένειαν. οὕτω γὰρ ἂν ἅμα δόξειν ἔμελλε κἀκείνῳ καὶ τοῖς πρεσβύταις βελτίων εἶναι καὶ τοῦ ἀφικέσθαι οὐκ αἰτία, εἴ γε ἐπεθύμει ἀπελθεῖν, ὥστε καὶ περὶ τῆς ἐξ ἀρχῆς ὁδοῦ ὑπολήψεσθαι αὐτοὺς ᾤετο ὅτι μὴ ἑκουσία ἢ συγγνώσεσθαι, ὡς ὅταν τις ⟨ὡς addidi; cod. om.⟩ μεταμελόμενος φαίνηται καὶ ὁμολογῇ οὐκ ἐξοργίζονται ἀλλ' ἐλεοῦσι. διὰ δὴ ταύτην τὴν αἰτίαν καὶ τῶν ἀδελφῶν ἐμνήσθη εἰποῦσα· ἤτοι οὐχ ἥκουσιν αἴσχεα δειδιότες καὶ ὀνείδεα (v. 242), ἢ κεκρυμμένοι εἰσί, δι' αὐτὴν ὁμοίως αἴσχεα δειδιότες. καὶ ἡ μνήνη οὖν ἀναγκαία εἰς σύστασιν τοῦ προσώπου, ἵνα φαίνηται ὁμολογοῦσα τὰ γεγενημένα μὴ καλῶς ἔχειν, κἂν ἀπόδοσις γένηται ἡττηθέντος Ἀλεξάνδρου, μαρτυροῦντας ἔχῃ τοὺς γέροντας τῷ ἤθει αὐτῆς πρὸς τοὺς ὑπολαμβάνοντας, ὡς αἰσχρὰ ὁμολογεῖ, καὶ δεινὰ καὶ βίαια πεπονθέναι καὶ τὸν θάνατον ᾑρεῖτο ἀντὶ τῆς σωτηρίας. οὕτω γὰρ καὶ εἰσελθόντος Ἕκτορος εἰς τὴν Ἴλιον διὰ τὴν τῶν Τρώων ἧτταν, αὐτὴ πάλιν κύνα τε ἑαυτὴν καλεῖ καὶ δᾶερ ἐμεῖο κυνὸς κακομηχάνου (Z 344). καὶ ταῦτα λέγει ἅτε πρὸς τὸν Πρίαμον ἀνακαλουμένη τὸν θάνατον, ἐπὶ μὲν γὰρ τοῦ Πριάμου· ὡς ὄφελεν θάνατός μοι ἁδεῖν κακός, ὁππότε δεῦρο ⟨post. h. v. ras.⟩ υἱέι σῷ ἑπόμην θάλαμον γνωτούς τε λιποῦσα (Γ 173. 74) καὶ τὰ ἑξῆς, ἐπὶ δὲ τοῦ Ἕκτορος μηδὲ γεννηθῆναι καταρᾶται ἑαυτῇ, ὡς

1 κατὰ τὸ κῦμα LpEt δὲ post κῦμα om. LEt 2 ὅτε μὲν — ὅτε δὲ Lp κύματα πηγῷ Lp, κύματι πυγῷ (e πηγῷ corr.) L 10 huic lineae in interiore paginae latere adscript. Ἀριστοτέλους

μ' ὄφελ' ἤματι ⟨εἶμα τὶ cod.⟩ τῷ ὅτε με ⟨om. cod.⟩ πρῶτον τέκε μήτηρ οἴχεσθαι προφέρουσα κακὴ ἀνέμοιο θύελλα (Z 345. 46). καὶ θρηνοῦσα τὸν Ἕκτορα ἀχθῆναί φησιν εἰς τὴν Τροίαν ὑπὸ Ἀλεξάνδρου, ὡς πρὶν ὤφελλον ⟨ὄφελον cod.⟩ ὀλέσθαι (Ω 764), καὶ ἑαυτὴν οὖν κλαίει· τῷ σέ θ' ἅμα κλαίω καὶ ἔμ' ἄμμορον ἀχνυμένη κῆρ (Ω 773) καὶ τὰ τούτοις ἑξῆς. καὶ ὅτι τοιοῦτον εἶχε βίον καὶ τοιαύτας ἐν Τροίᾳ διατριβάς, διεδόθη καὶ τοῖς Ἕλλησι· διὰ τοῦτο μαχόμενοι ὑπὲρ αὐτῆς παρεκάλουν εἰς τὸν πόλεμον, λέγοντες ὡς χρὴ τίσασθαι Ἑλένης ὁρμήματά τε ⟨om. cod.⟩ στοναχάς τε (B 356. 590).

ἀπίθανον εἶναι δοκεῖ, ἐννέα ἐτῶν διελθόντων τοῖς Ἕλλησιν ἐν Ἰλίῳ, μηδένα τῶν βαρβάρων ἀπαγγεῖλαι τῇ Ἑλένῃ περὶ τῶν ἀδελφῶν, εἴτε καὶ αὐτοὶ ἀφίκοντο εἰς τὸν πόλεμον εἴτε ὅλως οὐκ ἦλθον εἰς Τροίαν, ἢ ἐλθόντες οὐκ ἐξῆλθον εἰς τὴν μάχην· οὐ γὰρ ἐνῆν τοιούτους ὄντας μὴ οὐχ ὑπὸ πάντων γινώσκεσθαι παρόντας εἰς τὴν Τροίαν. λέγει δὲ Ἡρακλείδης, ὅτι ἄλογον ἦν ὄντως τοῦτο, εἰ διατελεσάντων ἐν τῇ Τροίᾳ πάντων Ἑλλήνων ἐννέα ἔτη μηδὲν περὶ τῶν ἀδελφῶν ἔσχεν Ἑλένη λέγειν· εἰ δὲ οὐ πάντες ἦσαν οἱ στρατεύσαντες ἐν Τροίᾳ, ἀλλ' οἱ μὲν περὶ Λέσβον καὶ τὰς ἄλλας νήσους, ἃς οἱ Κᾶρες ⟨κάρες cod.⟩ εἶχον, ἐπόρθουν, πόλεις ⟨πολλὰς cod.⟩ δὲ καὶ τῶν ἐν τῇ ἠπείρῳ, οὐδὲν ᾔδει εἰ ἐστράτευσαν ⟨οὐδὲν ᾗ δεινὸν εἰ ἐστρ. cod.; corr. Vill.⟩ ἢ οὔ. πιθανώτερον δὲ προσθεῖναι, ὅτι ἠφανισμένων τοῦ Κάστορος καὶ τοῦ Πολυδεύκους καὶ δοκούντων τεθνάναι, διὰ τὸ μὴ εἰδέναι τοὺς ἀνθρώπους τὸ συμβεβηκός, μήτε ⟨μὴ cod.⟩ ὅτι ἐτεθνήκεσαν μήτε εἰ ἔτι εἰσίν, οὐκ ἀνηγγέλλετο τῇ Ἑλένῃ περὶ αὐτῶν. οὐδὲ γὰρ τὰ δυσχερῆ οἱ ⟨καὶ cod.; corr. Bkk.⟩ βάρβαροι τοῖς δυνάσταις πάντα εἰσὶν εἰθισμένοι ἀπαγγέλλειν. καὶ τούτου πολλὰ παραδείγματα λέγειν ἔστιν· ἔτι γὰρ καὶ νῦν χρῶνται τῷ ἔθει. οὐδὲν οὖν ἐκώλυεν ἀμφιδοξεῖν περὶ αὐτῶν τὴν Ἑλένην.

*B f. 46ᵇ ad Λακεδαίμονος v. 239.

τοῦτό φησιν ὡς πάντῃ μὲν ἐκπετάσασα τὴν θέαν οὐδαμῇ ⟨L οὐδαμοῦ⟩ δὲ ἰδοῦσα. πῶς δὲ οὐκ ἐρωτηθεῖσα προβάλλεται τὰ περὶ τῶν ἀδελφῶν; δῆλον οὖν ὅτι προοικονομεῖ ὁ ποιητής, βουλόμενος εἰπεῖν τὴν ἀφάνειαν αὐτῶν. ἠγνόει δὲ τὰ περὶ αὐτῶν ἴσως μὴ συγχωρουμένη συντυγχάνειν τοῖς αἰχμαλώτοις.

B f. 46ᵇ ad δύναμαι. L f. 64ᵃ. Lp f. 87ᵃ c. l. οὐ δύναμαι.

276. διὰ τί βουλόμενος ἐπιορκῆσαι τοὺς Τρῶας ὁ ποιητής, ἵνα εὐλόγως ἀπόλωνται, οὐδαμοῦ πεποίηκεν ἐπιορκοῦντας ἀλλ' οἴεται; ὁ γὰρ ὅρκος ἦν, εἰ Ἀλέξανδρον ἀποκτείνειεν ὁ Μενέλαος, ἀποδοθῆναι

*B f. 47ᵃ ad Ζεῦ πάτερ. L f. 65ᵇ, *II.* Eton. (Noehd. p. 35), *II.*

35 L et Et incipiunt: Πορφυρίου εἰς τὸ Ζεῦ πάτερ Ἴδηθεν μεδέων κύδιστε μέγιστε καὶ μέχρι τοῦ στίχου ⟨καὶ — στίχου om. L⟩ ὧδέ σφ' ἐγκέφαλος χαμάδις ῥέοι ὡς ὅδε οἶνος. ἀπορία. διὰ τί κτλ. pro ἐπιορκῆσαι Et ἐπιορκίσαι 36 ἀπόλλωνται L ἀπό.λωνται B (ras.) οὐδαμῶς LEt 36 οἴεται corrupt. esse liquet

37 sqq. Cf. Porph. *Γ* 457.

τὴν Ἑλένην· οὐκ ἀναιρεθέντος δὲ οὐδαμοῦ ἠδίκουν μὴ ἀποδιδόντες οὐδ' ἐπιώρκηcαν. φηcὶ δ' Ἀριcτοτέλης, ὅτι οὐδ' ὁ ποιητὴς λέγει ὡς ἐπιώρκηcαν, καθάπερ ἐπ' ἄλλων· ὣς φάτο καί ῥ' ἐπίορκον ὤμοcεν (Κ 332), ἀλλ' ὅτι κατάρατοι ἦcαν· αὐτοὶ γὰρ ἑαυτοῖς κατηράcαντο εἰπόντες· Ζεῦ κύδιcτε μέγιcτε καὶ ἀθάνατοι θεοὶ ἄλλοι, ὁππότεροι πρότεροι ὑπὲρ ὅρκια πημήνειαν, ὧδέ cφ' ἐγκέφαλος χαμάδις ῥέοι ὡς ὅδε οἶνος (Γ 298—300). οὐκ ἐπιώρκηcαν μὲν οὖν, ἐκακούργηcαν δὲ καὶ ἔβλαψαν τοὺς ὅρκους· ἐπάρατοι οὖν ἦcαν. ταῦτά τοι καὶ Ἥρα πειρᾶται, ἐξ αὐτῶν ὧν κατηράcαντο γενέcθαι αὐτοῖς τὴν βλάβην· εὐξαμένων γὰρ ἐκείνων· ὁππότεροι πρότεροι ὑπὲρ ὅρκια πημήνειαν, ὧδέ cφ' ἐγκέφαλος χαμάδις ῥέοι ὡς ὅδε οἶνος, ἡ Ἥρα αὐτὸ τοῦτο παρακελεύεται τῇ Ἀθηνᾷ· ἐλθεῖν ἐc Τρώων καὶ Ἀχαιῶν φύλοπιν αἰνήν, πειρᾶν δ' ὥc κεν Τρῶεc ὑπερκύδαντας Ἀχαιοὺc ἄρξωcιν πρότεροι ὑπὲρ ὅρκια δηλήcαcθαι (Δ 65—67). τὸ δὲ βλάψαι οὐκ ἔcτιν ἐπιορκῆcαι.

277. ad μ 374 pertinet.

*B f. 48ᵇ ad ἀμπεπαλὼν v. 355. L f. 67ᵇ, Π. Lp f. 89ᵃ. Eton. (Noehd. p. 36), Π.

281 sqq. διὰ τί τὸν Μενέλαον ἐποίηcε μονομαχοῦντα; οὐδὲ γὰρ ἐξ ἴcου ἦν ἡ μονομαχία. ὁ μὲν γὰρ Ἀλέξανδροc περὶ τῶν ἀλλοτρίων ἐμάχετο, ὁ δὲ περὶ τῶν ἑαυτοῦ εἴχετο, ἡττηθεὶc δὲ τὰ ἑαυτοῦ ἀπέβαλεν, ὁ δὲ Ἀλέξανδροc νικήcαc μὲν τὰ ἀλλότρια ἕξειν ἔμελλεν, ἡττηθεὶc δὲ οὐδὲν ἀποβαλεῖν τῶν ἑαυτοῦ. οὕτω δὲ πᾶc ἄν τιc βούλοιτο μονομαχεῖν περὶ τοῦ ἀγροῦ τοῦ πληcίον· νικήcαc μὲν λήψεται, ἡττηθεὶc δὲ οὐδὲν ἀποβαλεῖ τῶν ἑαυτοῦ. οὕτω μὲν Ἀλέξανδροc ἀνόητοc ἦν· περὶ ὧν γὰρ εἶχε καὶ τῶν ἑαυτοῦ ἐκράτει. ἀλλ' ἴcωc ἀμφότερα εἰκότωc. ὁ μὲν γὰρ Ἀλέξανδροc περὶ ὧν εἶχεν ἐμάχετο ἀλλ' οὐ τῶν ἑαυτοῦ, ἵνα

1 τῇ ἑλένῃ Et οὐδαμῶc LEt 2 φηcὶ δ' ὁ ἀριcτ., praemisso λύcιc, Et huic lineae Ἀριcτοτέλουc adscrpt. B 3—5 ὣc φάτο — εἰπόντεc om. L, qui eorum loco Eustathiana habet, tum verbis Ζεῦ κύδιcτε — ἄλλοι in lemmate praemissis pergit: οὐκ ἐπιώρκηcαν μὲν οὖν κτλ. (lin. 8) 4 ὤμοcαν Et 6 ὑπερόρκια B (id. text.) 9 κατηρήcαντο Et 11 ὑπερόρκια B 12 ὡc ὅδε οἶνοc om. L 13 ἐλθὼν LEt φίλοπιν (ο ex ω correcto) L πειρᾶν δὴ εἴ κεν (?) B 14 τρῶαc LEt πρότερον Et 15 ὑπερόρκια B 18 οὐ γὰρ Lp 20 pro εἴχετο coni. ἐμάχετο Roemer ap. Fleckeis. 1878, p. 538 20. 21 ἡττηθεὶc — ἔμελλεν om. LEt 20 ἀπέλαβεν BLp; corr. Vill. 22 ἀποβάλλειν L 24 ἀποβαλεῖν LEt τῶν ἑαυτῶν Lp 25 ἀμφότεροι LLpEt

18 sqq. Posterius scholium in cod. B in superiore, prius in inferiore margine scriptum est; contra illud (p. 61, 5 sqq.) alteri (p. 60, 18 sqq.) eo quo edidimus modo non solum in codice Lp sed etiam (auctore Dindorfio, vol. III, p. 185) Scorialensi et Harleiano subiunctum legitur. Primus Bekkerus unum ab altero divellens prius ad v. 100, alterum ad v. 291 edidit, quem Dindorfius secutus est. Qua edendi ratione καί particula qua alterum incipit eodem modo intercidit quo in codicibus Leidensi et Etonensi factum, ubi posterius a priore scholiis ab utraque quaestione alienis interiectis dirimitur. Nobis satius visum lo-

γένηται αὐτοῦ, ὁ δὲ Μενέλαος περὶ τῶν ἑαυτοῦ, ἀλλ' οὐχ ὧν ἐκράτει· ἀλλ' ἵνα κρατήσῃ. ἔτι δὲ οὐ μόνον ἔδει αὐτὸν κομίσασθαι τὴν Ἑλένην καὶ τὴν κτῆσιν, ἀλλ' ἔτι καὶ τιμὴν Ἀργείοις ἀποτινέμεν ἥν τιν' ἔοικεν (v. 286).

καὶ διὰ τί ἀβελτέρως τῆς μονομαχίας Ἀγαμέμνων ἐπεμελήθη; οὐδὲν γὰρ ἔλαβε βέβαιον οὐδ' ἐμεσεγγυήσατο τὴν Ἑλένην, περὶ ἧς ὁ ἀγών, ἀλλ' ἐπ' ἐκείνοις ἐγένετο τὸ μὴ ἀποδοῦναι. λύεται δὲ ἐκ τοῦ ἔθους. οὐ γὰρ ἦν τὸ ἀρχαῖον τὰ πρὸς ἀλλήλους διὰ πολλῆς φυλακῆς, ἀλλ' ἁπλῶς συνέβαλλον, καὶ ἐπιβουλαὶ καὶ ἀπάται οὐκ ἦσαν, πρὸς ἃς αἱ τοιαῦται εὐλάβειαι εὑρέθησαν. ἐπεὶ διὰ τί Ἀγαμέμνων καὶ Μενέλαος ἀδορυφόρητοι ἦσαν, ὧν ἀναιρεθέντων ἐλέλυτο ἂν ἡ στρατιά; ἀλλ' οὔπω τότε ἦσαν αἱ πολιτικαὶ ἐπιβουλαί. ὁ δὲ ποιητὴς μιμητὴς ὢν τὰ ὑπάρχοντα ἐποίει, ἀλλ' οὐ τὰ μέλλοντα.

*B f. 48ᵇ ad ἀμπεπαλών. L f. 70ᵃ. Lp f. 89ᵃ. Eton. (Noehd.² p. 37), Π.

306. διὰ τί ὁ Πρίαμος τὸν μὲν Ἀλέξανδρον καὶ τὸν Μενέλαον οὐκ ἂν ἔφη δύνασθαι ἰδεῖν μαχομένους, ἀλλ' ᾤχετο ἀπιών, τὸν δ' Ἀχιλλέα καὶ Ἕκτορα θεωρεῖ δν μᾶλλον ἐφίλει; ἢ ὅτι ὁ μὲν αἴτιος τῶν κακῶν ὧν μονομαχήσειν ἔμελλεν· ὁ δοὺς οὖν τὸ χρῆναι αὐτὸν μονομαχεῖν τῇ τύχῃ ἐπέτρεψε τὸ τέλος, αὐτὸς ἀφιστάμενος τοῦ θορύβου. φησὶ γὰρ Ζεὺς μέν που τό γε οἶδεν, ὁπποτέρῳ θανάτοιο τέλος πεπρωμένον ἐστίν (v. 308. 9). ὅπου δὲ οὐ συγκατατίθεται τῇ μάχῃ, πείθεσθαι δὲ παρακαλεῖ τὸν υἱὸν ἀναχωρεῖν, ἐλπίδι τῆς ἀναχωρήσεως ἐπιμένει, ἱκέτης ἀλλ' οὐ θεατὴς γινόμενος· ἄχρι γὰρ τέλους ἡ ἐλπὶς τοῦ πεισθῆναι δεόμενον κατεῖχεν. οὕτως γὰρ καὶ ἡ μήτηρ πάρεστιν, οὐχ ἵνα θεάσηται μαχόμενον, ἀλλ' ἵνα μὴ θεάσηται, εἰσελθόντος αὐτοῦ, δεομένη. καὶ ἅμα τῷ ποιητῇ ἡ τραγῳδία ἀνύεται δι' οἴκτου ψυχαγωγοῦσα τὸν ἀκροατήν, τούτων παρόντων. ἔπειτα ἐπὶ μὲν τοῦ Ἀλεξάνδρου ἐπὶ τῷ πεδίῳ ἡ μάχη ἦν, ἐπὶ δὲ τοῦ Ἕκτορος παρὰ τὸ τῆς πόλεως τεῖχος. συνεωσμένων δὲ τῶν μὲν Τρώων εἰς τὴν πόλιν, τῶν δ' Ἀχαιῶν ἐφεστηκότων καὶ τοῦ Ἀχιλλέως θέοντος περὶ τὸ τεῖχος, ἀναγκαῖον ἦν οὐ τὸν Πρίαμον μόνον ἀλλὰ καὶ τὴν ἄλλην ἅπασαν ἄχρηστον ἡλικίαν παρεῖναι διὰ τὸ μέγεθος τοῦ κινδύνου.

*B f. 47ᵇ ad οὔπω.

..... πῶς οὖν Ἀλεξάνδρου μὲν τὸ μονομάχιον οὐ καρτερεῖ θεωρεῖν, Ἕκτορος δέ; ἢ ὅτι ὁ μὲν ἐν τῷ πεδίῳ συνέβαλεν, ὁ δὲ πρὸ τοῦ τείχους, ἔνθα παρῆσαν πάντες ⟨post h. v. ras. un. litt.⟩ τῷ μεγέθει τοῦ κινδύνου καταπλησσόμενοι. ἄλλως τε ἐκεῖνον μὲν ἀπιὼν ἐᾷ πολεμεῖν, εἰ δὼς ὀλίγον λειπόμενον Μενελάου καὶ τῶν Δαναῶν ⟨?, θανά-

B f. 293ᵃ ad Ἕκτωρ X 38.

1 γένηται αὐτοῦ LLp ἑαυτῶν Lp 2 κρατῆσαι τῆς Ἑλένης L 5 καὶ om. LEt 6 οὐδὲ LEt 9 συνέβαλον Lp 11 στρατεία L 12 καὶ μιμ. ὢν L 13 ἀλλ' corr. ex ἄλλως LEt

cum investigare, cui duae quaestiones coniunctae convenire viderentur. — Scholium quod in cod. B ad v. 281 relatum est (*διὰ τί τῶν συνθηκῶν ὑπ' Ἀγαμέμνονος τοιούτων γεγονυιῶν κτλ.*) ad v. 457 pertinet ibique editum est.

των cod.〉 πρόξενον γεγονότα, καὶ ὅτι οὐδὲν πρὸς σωτηρίαν τῆς πόλεως ἐκεῖνος ὡς Ἕκτωρ ἠδύνατο· τὸν δὲ μένων ἱκετεύει μὴ πολεμεῖν, τὸ διάφορον ἑκατέρων εἰδὼς τῆς τε ἰσχύος καὶ τῆς πρὸς τὴν πόλιν ὠφελείας. ἄλλως τε οὐ θεατὴς τοῦ πολεμεῖν ἀλλ' ἱκέτης τοῦ μὴ πολεμεῖν ἐπιμένει.

A f. 48ᵃ Γ 313 διὰ τί χωρίζεται ὁ Πρίαμος; καὶ οἱ μέν φασιν ὅτι ἵνα ἀφ' ὕψους κρεῖσσον 〈κρείσσων cod.〉 θεωρήσῃ ἀπὸ τῆς πόλεως τὴν μονομαχίαν, οἱ δὲ ἵνα φυλάξῃ τὰ τείχη. ἄλλοι δὲ τὴν Ὁμηρικὴν λύσιν προΐσχονται, τὸ οὔπω τλήσομ' ὀφθαλμοῖσιν ὁρᾶσθαι. ὅπερ ἄμεινον.

c. l. ἄψορροι.

*B f. 48ᵃ ad πρῶτον. Eton. (Noehd. p. 36), Π. 315. 16. ἄλογον δοκεῖ 〈δοκεῖ μὲν ἄλογον Et〉 εἶναι ἐπὶ μόνων τούτων διαμετρεῖν τὸν χῶρον καὶ κληροῦν· ἡ δὲ λύσις ἐκ τοῦ καιροῦ· ὑπὲρ γὰρ τῶν ὅλων αὕτη μόνη εἰσήχθη ἡ μάχη.

*B f. 48ᵃ ad διεμέτρεον. .....χῶρον δὲ διεμέτρεον· οὐ γὰρ ἔδει ἐξελθεῖν, ὡς ἂν τοῦ παρεξελθόντος πεφευγότος καὶ διὰ τοῦτο ἡττηθέντος, κἂν ἔξω γενόμενος τοῦ χώρου πολεμῇ. ἐπὶ τούτοις οὖν τῶν συνθηκῶν γεγονυιῶν καὶ τῆς μάχης δι' ὅπλων ἀφορισθείσης, ἀφανοῦς γενομένου τοῦ Ἀλεξάνδρου, τοξευθέντος δὲ τοῦ Μενελάου, καὶ ἀδήλου ὄντος ὑπὸ τίνος, κἂν μήποτε ὑπ' Ἀλεξάνδρου ἢ ὑπ' ἄλλου τινός — ὡς ἐδηλοῦτο ἐκ τοῦ φάναι τὸν κήρυκα· ὅν τις ὀιστεύσας ἔβαλεν τόξων εὖ εἰδώς (Δ 206)· καὶ τοξεύων δὲ διὰ τοῦτο κρύπτεται· πρόσθεν γὰρ σάκεα σχέθον ἐσθλοὶ ἑταῖροι (Δ 113)· καὶ ἐπαγγελία ὅτι ἐάν τις τοξεύσῃ τὸν Μενέλαον λήψεται δῶρα παρὰ Ἀλεξάνδρου (Δ 69), καὶ οὐκ ἄλλως

---

6 sqq. Parisini duo codices (Cram. An. Par. III, p. 159, 29; 197, 12. 20) ad verbum fere cum A congruunt. In altero (p. 197) scholium bis ad Γ 305 relatum.

13 Omisimus in textu verba scholii quae ante *χῶρον δὲ διεμέτρεον* leguntur. Exstant eadem in cod. A (f. 48ᵃ) in duas partes divisa ad duo lemmata (*χῶρον μὲν πρῶτον* et *αὐτὰρ ἔπειτα κλήρους*) relata; prior pars in Leidensi quoque codice legitur (f. 67ᵃ), eadem et dimidia altera inter Didymi quae vocantur scholia. Ad Porphyrii fragmentum quod supra edidimus ea verba non pertinere certum est, eandem enim versus *χῶρον μὲν πρῶτον διεμέτρεον* explicationem quae lin. 13 legitur proferunt. Possunt a Porphyrio aliena esse, potuit pars certe eorum ab altero grammatico ex integra Porphyrii quaestione excerpta casu cum iis quae supra edidimus in codice B coalescere. Quam ob rem hic subiungere visum est: *ἀναγκαίως δὲ* 〈om. A〉 *διεμέτρουν πᾶν τὸ χωρίον ἐν ᾧ ἔμελλον* 〈*ἤμελλον* A〉 *μονομαχήσειν, ὥστε μὴ μόνον τὸν διὰ τῶν ὅπλων ἡττηθέντα νενικῆσθαι, ἀλλὰ καὶ τὸν ἀπολιπόντα* 〈*ἀπολείποντα* A〉 *τὸ ἀποδεδειγμένον χωρίον, ὅπερ* 〈*ὥσπερ* A〉 *καὶ ἐπὶ τῶν ἀθλητῶν. ἄλλοι δέ φασιν* 〈*ὅτι* add. A〉· *ἵνα μὴ πρὸς τὰ ἑαυτῶν πλήθη χωρισθῶσιν ἀλλ' ἵνα* 〈om. A〉 *ὥσπερ ἐν* 〈om. BL〉 *εἱρκτῇ* 〈*εἱρκτῇ* A〉 *τῇ περιγραφῇ* 〈*παραγραφῇ* L〉 *μένωσιν. μετὰ δὲ ταῦτα* 〈haec quidem L om., in A, ubi *δὲ* deest, alterum scholium efficiunt〉 *δεόντως καὶ κλῆρον ἐποιήσαντο περὶ τῆς ἀφέσεως τοῦ δόρατος, ὥστε μὴ θόρυβον ἐμπεσεῖν τοῦ ὑστέρου φθάσαντος διὰ τὴν πρώτην βολὴν* 〈*τῆς πρώτης βολῆς* A〉 *ἀνελεῖν τὸν πολέμιον. ψῆφοι δέ τινες κτλ.* (haec quidem non Porphyriana).

ἐκδίδοται ὁ Μενέλαος, καίτοι οὗτος μὲν ἦν ὡπλισμένος ἔτι, Ἀγαμέμνων δὲ καὶ οἱ ἄλλοι ἄοπλοι· πάντως οὖν ἵνα δόξῃ Ἀλέξανδρος αὐτὸν τοξεύειν καὶ διὰ τοῦτο ἀνακεχωρηκέναι ἐκ τοῦ στρατοπέδου εἰς δόλον καὶ μηχανὴν κατὰ τοῦ Μενελάου — πάντα οὖν ταῦτα προϊδόμενοι διαμετροῦσι τὸν χῶρον καὶ ὅρκοις πιστοῦνται τὰ παρόντα, ἵνα ὁ παρελθὼν ἔνοχος γένηται τῇ ἐπιορκίᾳ, ἐπεὶ καὶ ὁ Ἀλέξανδρος εἰ παρεξελθὼν τὸν τόπον ἐξεβλ . . . Μενέλαος δ' οὐ . . . τοῦτο ἐγίνετο τῶν συνθηκῶν μὴ σωζομένων. ἵν' οὖν παρασπονδήσαντες φωραθῶσι, περιγράφεται ὁ τόπος τοῦ μονομαχίου. ἐκ τούτου λύεται καὶ ἡ αἰτία δι' ἣν οὐ τὸν Ἀγαμέμνονα τοξεύει ἢ ἄλλον τινὰ τῶν ἀρίστων ὁ . . . . . εὐμαρὲς ὂν διὰ τὸ εἶναι ἀνόπλους, ἀλλὰ τὸν Μενέλαον ἔνοπλον ὄντα· δῆλον γὰρ ὅτι ὑποκρίνεται τὸν Ἀλέξανδρον ὁ Πάνδαρος, ὡς ἂν δὴ τούτου τοξεύσαντος τὸν ἀνθεστῶτα καὶ μηδεμιᾶς παρα[βάσεως] τῶν ὅρκων ὑπ' ἄλλου γεγονυίας. διὸ καὶ προσάγει τὸν Ἀλέξανδρον παρδαλέαν ὤμοισιν ἔχοντα καὶ καμπύλα τόξα, ἵνα καὶ χρώμενος τούτοις εὐλόγως μετὰ ταῦτα ὑπονοηθῇ.

καὶ πῶς ἐπὶ Ἕκτορος, ἔνθα Αἴαντι μονομαχεῖ) Η 225), μὴ διαμετρεῖται ὁ τόπος; ἢ ὅτι ἐκεῖνοι μὲν περὶ τῆς ἀλλήλων σφαγῆς διαμιλλῶνται, ἐνθάδε δὲ περὶ τῆς κοινῆς ἐλπίδος ἐστὶν ὁ πόλεμος· διὸ οἵ τε ὅρκοι καὶ ἡ γύμνωσις τῶν στρατῶν, μή πώς τις ἔνοπλος ὢν προσαμύνῃ τῷ στρατηγῷ. ἢ ὅτι ἡ διαμέτρησις καρτερικωτέρους ἐργάζεται τοὺς πολεμοῦντας. ἄλλως τε δὲ δεδίασι μὴ τοξότης Ἀλέξανδρος ὢν δραπετεύσῃ τὴν συμβολὴν καὶ τὴν τοξείαν ἀντεπεισάξῃ Μενελάῳ. σκόπει γὰρ ὅτι καὶ αὐτοῦ μὲν ἀφανισθέντος, Μενελάου δὲ τοξευθέντος, οὐκ ἴσασι μὴ καὶ αὐτὸς εἴη ὁ τοῦτο δράσας· φησὶ γὰρ Ἀγαμέμνων· ὅν τις ὀιστεύσας ἔβαλε τόξων εὖ εἰδὼς Τρώων ἢ Λυκίων (Δ 196).

B f. 48ᵃ ad διεμέτρεον. L f. 67ᵇ. Lp f. 88ᵇ c. l. διεμέτρεον.

327. e schol. ad K 167 adscripto, quod in fine operis edendum erit, excerptum.

330. διὰ τί πάντας μονομαχεῖν μέλλοντας καὶ εἰ τύχοιεν ὡπλισμένοι αὖθις ποιεῖ καθωπλισμένους, ἐπιλέγων κνημῖδας μὲν πρῶτον καὶ τὰ ἑξῆς (v. 330); ἢ ὅτι τῶν προκλήσεων γινομένων ἦν ἀναγκαῖον

*B f. 48ᵃ ad κνημῖδας. L f. 67ᵃ. Lp f. 88ᵇ c. l. κνημῖδας. Eton. (Noehd. p. 36), Π.

1 pro ἐκδίδοται legendum videtur ἐκλέγεται 4 προειδόμενοι cod. 6 παρεξελθὼν legi videtur, detritum 10 recte Cobetus lacunam verbo Πάνδαρος explevit 13 παραβάσεως supplevi; in codice βάσεως detritum 22 ἄλλως τε δεδίασι L 22—25 Ἀλέξανδρος — δράσας om. L 24 καὶ post ὅτι om. LLp 25 ὅστις L 30 πρῶτα L 31 ἢ ante ὅτι om. Et ἀναγκαῖον ἦν LEt

9 sqq. † B f. 53ᵃ ad *Μενελάου Δ* 100 (id. Lp f. 93ᵃ c. l. *Μενελάου*): *πῶς μὴ Ἀγαμέμνονα τοξεύει ἀκαθόπλιστον ὄντα* ⟨in ras. B⟩ *ἢ τινα τῶν ἀρίστων ἄλλον, ἀλλὰ τὸν ἐντεθωρακισμένον Μενέλαον; δῆλον οὖν ὡς ἀποτριβόμενος τὴν κατηγορίαν τῆς ἐπιορκίας, ἵνα δοκῇ μᾶλλον Ἀλέξανδρος εἶναι ὁ ἐκ λόχου Μενέλαον τοξεύσας ἀλλὰ μὴ Πάνδαρος.*

16—19 † Eust. p. 418, 36 sqq.

29 sqq. † B f. 48ᵃ ad *ὤμοισιν* v. 328 (id. Lp f. 88ᵇ c. l. *ἀμφ' ὤμοισιν*): *ὡς ἰδίᾳ μέλλοντες κινδυνεύειν ἀσφαλέστερον ὁπλίζονται. ἢ ὡς μέλλοντες κάμνειν*

τοὺς μέλλοντας μονομαχεῖν διαναπαύεσθαι, καὶ πρότερον ἀναψύξαντας καὶ νεαλεῖς γενομένους οὕτως ἐπὶ τὸν ἀγῶνα καθιέναι. εἰκὸς δὲ μέλλοντας ἰδίᾳ κινδυνεύειν, ἵνα βέλτιον ὦσιν ὡπλισμένοι, ἐξ ἀρχῆς κατασκευάζεσθαι.

355. v. 281 sqq.

*B f. 49ᵃ ad ὤμωξεν. L f. 68ᵇ. Lp f. 89ᵇ. A f. 49ᵃ.

365 sqq. τί οὖν βλασφημεῖ ὁ Μενέλαος; ῥητέον οὖν ὅτι οὐ βλασφημεῖ ὁ ἥρως ἀλλὰ νεμεσᾷ. ἀρετῇ γὰρ οἰκείᾳ οἶδε πάσχων ἅπερ οὐκ ἔδει καὶ νεμεσᾷ δικαίως ἐπὶ τῷ παρ' ἀξίαν σωζομένῳ.

*B f. 49ᵃ ad κόρυθος λάβεν. L f. 69ᵃ, Π. Lp f. 89ᵇ. Eton. (Noehd. p. 36), Π.

ἄλογον τὸ μὴ σπασάμενον τὸ ἐκείνου ξίφος διαχειρίσασθαι αὐτόν. λύεται δ' ἐκ τοῦ καιροῦ. τὸν γὰρ ἐν τοσούτῳ ἀγῶνι οὐκ εἰκὸς ἅπαντα συνορᾶν. εἰ μὴ καὶ ἐκ τῆς λέξεως. λέγει γὰρ τὴν Ἀφροδίτην αὐτῷ βοηθῆσαι, ὥστε εἴη ἂν καὶ ἐν τῷ τοιούτῳ συλλαμβανομένη.

*B (v. annot. crit.). L f. 68ᵇ. Lp f. 89ᵇ A f. 49ᵃ.

καὶ διὰ τί ὁ Μενέλαος συγκλασθέντος αὐτῷ τοῦ ξίφους οὐκ ἐσπάσατο τοῦ Ἀλεξάνδρου; ῥητέον οὖν ὅτι ἢ ἔκφρων ἐγένετο τῷ λογισμῷ, ἐκπλαγεὶς τῷ κινδύνῳ, ἢ πάντως Ἕλλησιν ἑλκύσαι ἠθέλησεν αὔξων τὸ κατόρθωμα. ἢ καὶ δι' οἰκονομίαν ὁ ποιητὴς ἐσεσώκει τὸν Πάριν· ἐλέλυτο γὰρ τὰ τῆς ὑποθέσεως τῷ ἐκείνου θανάτῳ.

B f. 49ᵃ. L f. 69ᵃ. Lp f. 89ᵇ.

..... οὐ φονεύει δὲ αὐτὸν τῷ αὐτοῦ ξίφει ἢ ὑπὸ τοῦ καιροῦ ἢ ὑπὸ τῆς Ἀφροδίτης σφαλλόμενος, ἢ καὶ τοῖς ὅπλοις ἀπογνούς, ἢ καὶ ὅτι ἴσον θανάτου ἦν τὸ ὑπεκστῆναι τοῦ μετρητοῦ, ἢ ζῶντα αὐτὸν ἑλεῖν βουλόμενος, ὅπερ ἦν μεῖζον. οὕτω γὰρ ἂν ἀξίως ἐτιμωρήσατο αὐτὸν ἢ συντόμως ἀνελών.

*B f. 49ᵃ ad ἐπόρουσε. L f. 69ᵇ. Eton. (Noehd. p. 37), Π.

379. 80. αὐτὰρ ὁ ἂψ ἐπόρουσε κατακτάμεναι μενεαίνων ἔγχεϊ χαλκείῳ. ἀδύνατόν φασιν εἶναι κατὰ τὸ ἐγχείρημα. ἐρρίφη

1 μέλλοντας om. L μονομαχεῖν om. B τοὺς μέλλοντας διαναπαύεσθαι (ανα e corr.), ultima littera verbi μέλλοντας multo maiore quam reliquis litteris forma appicta, ut vacuum quod ante διαναπαύεσθαι spatium fuit expleretur, Lp προδιαναπαύεσθαι LEt 2 εἶτα pro οὕτως L 6 scholium A ita incipit: ἐμοὶ τῷ Μενελάῳ δηλονότι. ἐνόμισαν γάρ τινες διὰ τούτου βλασφημεῖν τὸν Μενέλαον. ῥητέον οὖν ὅτι κτλ. 7 νεμεσσᾶι L οἶδεν A οἶδέ τε Lp 8 νεμεσσᾶ AL 11 καὶ om. Lp 12 εἴη om. BLp 13 schol. B superiori schol. (ἄλογον τὸ μὴ κτλ.) signo scholii finiti eraso ita subiungitur, ut cum eo cohaerere videatur; etiam Lp cum superiore cohaeret A inc.: διὰ τί δὲ ὁ μεν., L: διὰ τί φησιν ὁ μεν. ξίφος Lp 14 ἢ ὅτι A τῷ λογισμῷ corr. in τὸν λογισμὸν B τὸν λογισμὸν Lp τῷ κινδύνῳ τὸν λογισμὸν ἐκπλαγεὶς L τῷ κινδ. τὸν λογ. ἐκκλαπεὶς A 15 ἕλληνας ⟨ἕλλη BLp⟩ ἑκλῦσαι BLLp πάντας ἕλλη ἑκλῦσαι A ἑλκύσαι corr. Bekk. 16 ἐκσεσώκει L 18 τῷ ἑαυτοῦ ξίφει L 19 ἀπογνοίην L 20 ἴσον Lp τοῦ ὑπεκστ. Lp 21 ἀξίως om. L 23 εἰς τὸ αὐτὰρ κτλ. LEt 24 ἔγχεϊ χαλκ. om. LEt φησιν pro φασιν Et δυνατόν φησιν L

προανεκτήσαντο ἑαυτοὺς τῇ τῶν ὅπλων ἀνέσει (*κοσμεῖ δὲ αὐτὸν κτλ.* quae huc non pertinent).

6—8 Cf. Paris. 2556 ap. Cram., A. P. III, 160, 17.

9—22 Cf. Porph. E 20.

23 sqq. De diple v. 380 Aristonicus: *ζητεῖται ποίῳ ἔγχει κτλ.*

γάρ, φηcίν, ἤδη τὸ ἔγχος· ἠίχθη παλάμηφιν ἑτώcιον (v. 369). λύεται δὲ ἀπὸ τοῦ ἔθους. δύο γὰρ δόρατα φέρειν νενομιcμένον ἦν, ὡc πολλαχοῦ λέγει· πάλλων δ' ὀξέα δοῦρα κατὰ cτρατὸν ᾤχετο πάντη (Z 104). ἢ ἀπὸ τοῦ καιροῦ· οὐ γὰρ ἔτυχε τότε ἀπολόμενον τὸ ἔγχος, ἀλλ' ἐπὶ τῷ Ἀλεξάνδρῳ ὑπάρχον, οὗ κατεκυριεύθη.

καὶ πῶc φηcιν ἐκ δέ μοι ἔγχος ἠίχθη; ἢ ὅτι δύο δόρατα ἐβάcταζεν· ἢ τῶν παρόντων ἥρπαcεν· ἢ τῷ ἐμπεπηγότι αὐτῷ διαχειρicόμενος ἐπεδίωκεν. B f. 49ᵇ ad χαλκείῳ. Lp f. 89ᵇ c. l. χαλκείῳ.

383. κατηγοροῦcιν ὡc προαγωγὸν εἰcάγοντος αὐτοῦ τὴν θεόν. ἀλλ' ἐπεὶ ὥρμηται γέλωτα μὲν θέcθαι τὸν Πάριν, ἐπαινέcαι δὲ τὴν Ἑλένην, καὶ τοῦ μὲν τὴν ἀκραcίαν τῆc δὲ τὸ cῶφρον ὑπ' ὄψιν ἄγειν, οὐ δύναται δὲ διεcτῶτα τὰ πρόcωπα δι' ἑτέρου cυμβιβάζειν, ἐπίτηδεc παρέλαβε τὴν Ἀφροδίτην. καλεῖ δὲ αὐτὴν ὅπωc μὴ διὰ τοῦ τείχουc ἀποδοθῇ, ἢ μήπωc οἰόμενος αὐτὴν ἀποδεδόcθαι διαχειρίcηται ἑαυτόν. B f. 49ᵇ ad αὐτή. Lp f. 90ᵃ c. l. αὐτὴ δ'.

396. 97. ἀδύνατόν φαcιν εἰc γραῦν μεταβαλεῖν τὴν ἰδέαν τὴν Ἀφροδίτην καὶ νοῆcαι τὴν Ἑλένην τὴν τῆc θεᾶc δειρήν. λύcιc· πολλαχοῦ ποιεῖται τοὺc ἡμιθέουc τεκμαιρομένουc τὰc τῶν θεῶν μορφάc, ὡc ὅταν ὁ Ποcειδῶν Κάλχαντι ἀπεικαcθεὶc φαίνηται ὅ τε Αἴαc φηcίν· οὐδ' ὅγε Κάλχαc ἐcτὶ θεοπρόποc· ἴχνια δὲ μετόπιcθε ποδῶν ἠδὲ κνημάων ῥεῖ' ἔγνων ἀπιόντοc· ἀρίγνωτοι δὲ θεοί περ (N 70—72). *B f. 49ᵇ ad δειρὴν. L f. 69ᵇ, Π. Eton. (Noehd. p. 37), Π.

441. διὰ τί τὸν Ἀλέξανδρον πεποίηκεν οὕτωc ἄθλιον, ὥcτε μὴ μόνον ἡττηθῆναι μονομαχοῦντα, ἀλλὰ καὶ φυγεῖν, καὶ ἀφροδιcίων *B f. 50ᵇ ad τραπείομεν.

---

1 καὶ ante ἠίχθη ins. LEt 4 ἀπολλόμενον B, ἀπολλύμενον LEt 5 οὐ κατεκ. BLEt; οὗ Vill. 7 ειρ verbi διαχειρicόμενοc in ras. B 9 προαγωγὸν, ωγὸν in ras., B 11 ἀκρ.αcίαν, littera inter ρ et α erasa, B 14 διαχρίcηται, ῖ post ρ in ras., ει supra χ script., B 15 φηcιν LEt 15. 16 τῆc ἀφροδίτηc LEt 16 δειράν Et λύcιc om. L 16. 17 πολλαχοῦ γὰρ π. LEt 17 τεκμαιρόμενοc LEt 18 ἐπιφάνηται Et 19 ἴχνια γὰρ μετ. LEt 22 L in lemm.: ἀλλ' ἄγε φιλότητι τραπείομεν εὐνηθέντε

---

4 Solutio *ἀπὸ τοῦ καιροῦ* Aristarchi est (v. Ariston. h. l.).

15—21 Versus 396—418 obelo notati erant. Inter alias causas Aristonicus affert (A v. 395): *πῶς γὰρ ἡ γραῖα παλαιγενεῖ εἰκασμένη περικαλλέα δειρὴν εἶχε καὶ ὄμματα μαρμαίροντα καὶ στήθεα ἱμερόεντα;*

†B f. 49ᵇ ad *ἐνόησε* v. 396 (id. Lp f. 90ᵃ c. l. *ἐνόησε*, L f. 69ᵇ): *καὶ μὴν γραῖ παρεικασθεῖσα ἦν. ἀλλ' ἔθος τοῖς ἡμιθέοις τοὺς θεοὺς ἐπιγινώσκειν, ὡς Αἴας τὸν Ποσειδῶνα.* Addit L (qui verbis *ὡς — Ποσειδῶνα* caret): *οὐδὲν δὲ ἄτοπον γυμνὴν φαίνεσθαι τὴν θεόν· Ἑλένη γὰρ ἦλθε γνωρισθῆναι, κρύπτεται δὲ ταῖς Τρωάσιν* (eadem verba in B, ad *ἱμερόεντα*, et Lp, c. eod. l., novum schol. efficiunt), quae haud scio an et ipsa ex integra Porph. quaestione fluxerint.

17 Cf. A f. 165ᵃ *N* 70 (id. L f. 270ᵃ).... *πῶς δὲ, φησίν, ὁ Ποσειδῶν οὐκ ἔλαθε τὸν Αἴαντα* ⟨*ὁ Ποσ.* post *τὸν Αἴαντα* coll. L⟩; *καὶ ῥητέον ὅτι φαντασίαν τινὰ παρέχει τὸ θεῖον ἑαυτοῦ.*

22 sqq. † B f. 50ᵇ ad *φιλότητι Γ* 441 (id. Lp f. 91ᵃ c. l. *φιλότητι*): *πῶς, φασί, μετὰ τοσαύτην αἰσχύνην ὀργᾷ; ἐμφανίζει οὖν τὴν πρόξενον ἁπάντων τῶν κακῶν*

L f. 71ᵇ, Π. Lp f. 91ᵃ. Eton. (Noehd. p. 38), Π.

μεμνημένον εὐθύς, καὶ ἐρᾶν μάλιστα τότε φάσκοντα καὶ οὕτως ἀσώτως διακεῖσθαι; Ἀριστοτέλης μέν φησιν εἰκότως· ἐρωτικῶς μὲν γὰρ καὶ πρότερον διέκειτο, ἐπέτεινε δὲ τότε. πάντες γάρ, ὅτε μὴ ἐξῇ ἢ φοβοῦνται μὴ ἔξουσι, τότε ἐρῶσι μάλιστα· διὸ καὶ νουθετούμενοι ἐπιτείνουσι μᾶλλον· ἐκείνῳ δὲ ἡ μάχη τοῦτο ἐποίησεν. οἱ δὲ ὅτι ἡ προσδοκία τῆς ἀποδόσεως ἤγειρε σφοδρότερον τὴν ἐπιθυμίαν διὰ τὴν μέλλουσαν ἀφαίρεσιν. οἱ δὲ ὅτι ἡ Ἀφροδίτη παροῦσα οὐ μόνον ἐκ τῆς μάχης αὐτὸν ἐρρύσατο, ἀλλὰ καὶ λελυπημένον διὰ τὴν ἧτταν εἰς παρηγορίαν ἦγε, μεταβαλοῦσα τὴν τῆς ψυχῆς κατήφειαν εἰς τὸ ἡδὺ τῆς ἐπιθυμίας. ἄλλοι δὲ ὅτι Ἑλένης ἀνακτώμενος τὴν εὔνοιαν σφοδρότερον τὸν ἔρον ἐπιτετάσθαι λέγει· ἐνόμισε γὰρ τὴν αὐτὴν χαλεπῶς φέρειν δι' ἃ συνέθετο ὥσπερ ἔκδοτον τοῖς Ἀχαιοῖς γενομένην. ἵνα δὲ ἐπιδείξῃ οἷος ἦν Ἀλέξανδρος, ἔν τε τῷ πολέμῳ ἐποίησε θρασὺν ἅμα καὶ δειλὸν ἐπί τε τῆς οἰκίας ἀσελγῆ καὶ καταφρονητὴν δόξης. χαρακτηρίζει γὰρ διὰ τούτων τὸ ἦθος τοῦ αἰτίου τῶν κακῶν τοῖς πᾶσι διὰ τὴν ἀσέλγειαν γενομένου.

*B f. 47ᵃ ad Ἀλέξανδρος v. 281.

457. διὰ τί, τῶν συνθηκῶν ὑπὸ Ἀγαμέμνονος τοιούτων γεγονυιῶν· εἰ μέν κεν Μενέλαον Ἀλέξανδρος καταπέφνῃ, αὐτὸς ἔπειθ' Ἑλένην ἐχέτω, ἡμεῖς δ' ἐν νήεσσι νεώμεθα· εἰ δέ κ' Ἀλέξανδρον κτείνῃ Μενέλαος, Τρῶας ἔπειθ' Ἑλένην καὶ κτήματα πάντ' ἀποδοῦναι τιμήν τ' Ἀργείοις ἀποτινέμεν, ἥν τιν' ἔοικεν· εἰ δ' ἂν ἐμοὶ Πρίαμος Πριάμοιό τε παῖδες τίνειν οὐκ ἐθέλουσιν ⟨ἐθέλωσιν Kammer, p. 35⟩, αὐτὰρ ἐγὼ καὶ ἔπειτα μαχέσσομαι εἵνεκα ποινῆς (v. 281 sqq.), τῶν γοῦν συνθηκῶν τοιούτων γεγονυιῶν ⟨τοιούτ. γεγ. addidi, om. cod.; aliter Kamm. l. c.⟩, τῆς νίκης διὰ σφαγῆς θατέρου τῶν μαχομένων ὡρισμένης ⟨ο spr. ω scrpt., cod.⟩ καὶ τοῦ Ἀλεξάνδρου μὴ ἀνῃρημένου, Ἀγαμέμνων φησὶ νίκη μὲν δὴ φαίνεται ἀρηιφίλου Μενελάου, ὑμεῖς δ' Ἀργείην Ἑλένην καὶ κτήμαθ' ἅμ' αὐτῇ ἔκδοτε καὶ τιμὴν ἀποτινέμεν, ἥν τιν' ἔοικεν (v. 457—59); ἐνῆν γὰρ ἀντικρούειν τὸν τυχόντα, ὅτι εἰ μέν κεν Μενέλαον Ἀλέξανδρος ⟨μενέλαος ἀλέξανδρον cod.; recte haec et seq. corr. Kamm.⟩ καταπέφνῃ εἴρηται καὶ εἰ δέ κ' Ἀλέξανδρον ⟨ἀλέξανδρος cod.⟩ κτείνῃ ξανθὸς Μενέλαος ⟨ξανθὸν μενέλαον cod.⟩. ῥητέον ὅτι ἀπὸ τῶν Ἕκτορος

---

1 ἄσωτον Et 2 huic versui in marg. B adscrpt. Ἀριστοτελ. 3 ὅτε μὴ ἐξὴν ἢ φοβῶνται LEt 4 μὴ οὐχ ἕξ. Kamm. p. 37 δὲ ante τότε L 5. 6 οἱ δὲ — ἀφαίρεσιν et 12—15 ἵνα δὲ — γενομένου a Porph. abiudic. Kamm. 7 ἐρύσατο BLLp, ἐρύσας Et 8 μεταβάλλουσα LLp, μεταβάλουσα B 10 ἔρωτα L ἐπιτάττεσθαι L 11 τὴν om. LLp 12 γινομένην L ὁ ἀλ. L 14 χαρ. δὲ διὰ τ. LEt

---

αὐτοῦ λαγνείαν. ἢ ἀνακτώμενος Ἑλένην προσποιεῖται αὐτῆς ἐρᾶν, ὑπονοῶν ὀργίζεσθαι αὐτὴν ἐφ' οἷς ἐκδοῦναι τῷ πολεμίῳ ἔσπευσεν. ἢ ὅτι ὧν στεροίμεθα ἂν τούτων ἐρῶμεν.

16 sqq. Cf. Porph. Γ 276.

λόγων ἡ ἀπαίτηcις τῷ Ἀγαμέμνονι τοῦτον τὸν τρόπον ἐχόντων· κέκλυτέ μευ, Τρῶες καὶ Ἀχαιοί, μῦθον Ἀλεξάνδροιο· ἄλλους μὲν κέλεται Τρῶας καὶ πάντας Ἀχαιοὺς τεύχεα ἀποθέcθαι ἐπὶ χθονί, αὐτὸν δ' ἐν μέcῳ καὶ Μενέλαον οἴους ἀμφ' Ἑλένῃ μάχεcθαι· ὁππότερος δέ κε νικήcῃ κρείccων τε γένηται, κτήμαθ' ἑλὼν εὖ πάντα γυναῖκά τε οἴκαδ' ἀγέcθω (v. 86—93). μὴ ῥηθέντος οὖν ὑπὸ τοῦ Ἀλεξάνδρου διὰ τοῦ Ἕκτορος περὶ cφαγῆς καὶ θανάτου, περὶ δὲ νίκης καὶ τοῦ ἐκ κρειττόνων γεγονότος, ὁ μὲν Ἀγαμέμνων εὐλόγως ἐξ ὧν εἰρήκαcιν οἱ πολέμιοι ἀπαιτεῖ τὰc cυνθήκας, ἐπὶ δ' ἤνεον ἄλλοι Ἀχαιοί (v. 461)· οἱ δὲ Τρῶες οὐκέτι cυναινοῦcι, cφαγῆς μὴ γεγονυίας, ἐξ ὧν εἴρηκε ποιούμενος τὰc cυνθήκας Ἀγαμέμνων, διὰ cφαγῆς κρίνεcθαι τὴν νίκην, εὔλογον τῆς ἡcυχίας πρόφαcιν λαμβάνοντες, ὥcτε καὶ ἐνεῖναι διαμφιcβητεῖν πρὸc ἀλλήλουc, ἑκατέρων μαρτυρομένων τὰc ἀπὸ τῶν ἀμψιcβητούντων γεγονυίας ὁμολογίαc. ὁ μὲν γὰρ Ἀγαμέμνων ἐρεῖ δεῖν ἀποδιδόναι· τοῦτο γὰρ ὡμολογήθη ὑπὸ Ἕκτορος, τὸ τῷ νικήcαντι καὶ κρείccονι γεγονότι τὴν ἀπόδοcιν γίνεcθαι. ὁ δὲ Ἕκτωρ ἐρεῖ μὴ δεῖν ἀποδιδόναι· ὁμολογεῖcθαι γὰρ καὶ cυγκεῖcθαι ὑπὸ τοῦ Ἀγαμέμνονοc, θανάτου γεγονότοc καὶ ⟨addidi, om. cod.⟩ cφαγῆς ὅτι δεῖ τὴν ἀπόδοcιν γίνεcθαι· μηδενὸc δὲ ἀνῃρημένου μένει ἀκεραίωc τὰ πράγματα. πάλιν οὖν ἔδει μονομαχῆcαι αὐτούc· ὅθεν Ἀλεξάνδρου μὲν μὴ φαινομένου, τῶν δὲ cυνθηκῶν μενουcῶν ἔτι, ἐν ταῖc cπονδαῖc ἀντ' Ἀλεξάνδρου ἀνταποκτεῖναι θελήcαc τὸν Μενέλαον καὶ τοξεύcαc cυγκέχυκε τοὺc ὅρκουc ὁ Πάνδαροc ⟨ὁ Πανδ. addidit Kamm.; om. cod.⟩ καὶ πάνταc ἐπαιτίουc ἐπιορκίαc ⟨ἐπὶ τὴν ἐπιορκίαν cod.; emend. Lehrs ap. Kamm.⟩ τοὺc μήτε τὸν Ἀλέξανδρον ἐκδεδωκόταc μήτε τὸν τοξεύcαντα τὸν Μενέλαον πεποίηκεν.

Δ

1. Ὁ μὲν Ἀρίcταρχοc τὸ ἠγορόωντο ἀποδέδωκεν ἀντὶ τοῦ ἠθροίζοντο. βέλτιον δὲ λέγειν τὸ διελέγοντο, ὥcπερ καὶ τὸ ὡc ὁπότ' ⟨ὁππότ' L⟩ ἐν Λήμνῳ κενεαυχέεc ἠγοράαcθε (Θ 230). εἰ γὰρ εἰπεῖν ἐβούλετο ἠθροίζοντο, ἔφη ἄν· οἱ δὲ θεοὶ πὰρ Ζηνὶ καθήμενοι ἠγερέθοντο ⟨ἠγερέθεντο L⟩· τοῦτο μὲν γὰρ ἐκ τοῦ ἀγείρεcθαι — λαὸν ἀγείροντεc (Λ 770) καὶ αὐτὰρ ἐπεί ῥ' ἤγερθεν (Ω 790. β 9. θ 24. ω 421) — γεγένηται, τὸ δ' ἠγορόωντο ἀπὸ τοῦ ἀγοράαcθαι ⟨ἠγοράαcθαι L, ἠγοράαcθε Et⟩. L f. 73ᵃ, *Π.* Et. (Noehd. p. 38), *Π.*

2. de χρυcέῳ ἐν δαπέδῳ v. Ε 504.

ibid. κατηγοροῦcι τοῦ ποιητοῦ ὡc μαχόμενα ⟨μαχομένου L⟩ λέγοντοc, ὅταν ποτὲ μὲν τὸν Γανυμήδην ⟨γαννυμήδην L; id. B alter. ν eras.⟩ *B f. 273ᵇ ad ἀνηρείψαντο Υ 234. L f. 428ᵇ, *Π.*

27—31 Scholium e quaestione nunc quidem deperdita excerptum. Cui Θ 230 (v. Lehrs, Ar. p. 366) potius quam Δ 1 originem dedisse videtur.

36 sqq. Tria quae h. l. edidimus scholia inter se cohaerere liquet. Quod

οἰνοχόον εἶναι ⟨om. L⟩ τῶν θεῶν λέγει, ποτὲ δὲ τὴν Ἥβην. οὐκοῦν λύcομεν ὀνόματι ⟨ὀν. μὲν L⟩ καὶ λέξει, ὅτι οὐχὶ τῶν θεῶν ἀλλὰ τοῦ Διὸc αὐτὸν οἰνοχόον ἀποφαίνει — ἔχει γὰρ ἡ λέξις οὕτωc· τὸν καὶ ἀνηρείψαντο θεοὶ Διὶ οἰνοχοεύειν (Υ 234) —, ἡ δὲ Ἥβη τοῖc θεοῖc οἰνοχοεῖ· προcώπῳ δέ, ὅτι τὸ μὲν ἐκ τοῦ ποιητοῦ λέγεται, τὸ δὲ ἐξ Αἰνείου ⟨αἴνου L⟩, ὃν εἰκὸc μεγαλύνειν τὸ αὐτοῦ ⟨αὐτοῦ B⟩ γένοc· καιρῷ δὲ καὶ χρόνῳ, ὡc ἐγχωρεῖ πάλαι ποτὲ αὐτὸν ἁρπαcθέντα πρὸc τὴν διακονίαν ταύτην ὑπὲρ ⟨ὑπὸ L⟩ τοῦ θνητὸν εἶναι μηκέτι παραμένειν ἕωc τῶν Ἰλιακῶν· ἔθει δέ, ὡc πολλοῖc νενομιcμένον ἐcτὶν οἰνοχόοιc χρῆcθαι ⟨χρᾶcθαι L⟩ ἄρρεcι καὶ θηλείαιc, ὥcτε οὐδ' ἐν θεοῖc ἄτοπον τοῦτο. τὸ μὲν οὖν ἐναντίον οὕτωc ἐλέγχεται ⟨λέγεται L⟩, τὸ δ' ἀδύνατον ἐγκαλεῖται οὕτωc ⟨excidisse nonnulla videntur⟩.

A f. 51ᵃ c. l. πότνια Ἥβη. Cf. Cramer, An. Par. III, p. 161.

..... δι' ἣν δὲ αἰτίαν οὐ πάρεcτι Γανυμήδηc, ὢν οἰνοχόοc τοῦ Διόc; ἔνιοι μέν φαcιν ὅτι τοῦ Διὸc μόνου ὢν διάκονοc, οὐκ ἐξὴν αὐτὸν κοινῶc πᾶcιν οἰνοχοεῖν, ἡ δὲ Ἥβη εὐλόγωc, ὅτι κοινὴ πᾶcίν ἐcτιν. ἔνιοι δέ φαcιν, ὅτι cκέψεωc περὶ τῆc Ἰλίου πορθήcεωc γινομένηc εὐοικονομήτωc ἄπεcτι τοῦ cυνεδρίου, ἵνα μηδὲν ἐναντίον γένηται διὰ τὴν πρὸc αὐτὸν χάριν.

A l. c. *B f. 51ᵃ ad Ἥβη. L f. 72ᵇ. Lp f. 91ᵃ. Cf. Par. l. c

διὰ τί δὲ καὶ μόνῳ τῷ Διὶ Γανυμήδηc ὑπηρετεῖ; ῥητέον οὖν ὅτι Ἥβη μὲν ἅπαcι διακονεῖ, ἐπεὶ τὸ θεῖον ἀεὶ νεάζει τε καὶ ἡβᾷ· τοῦτο γὰρ βούλεται αὐτοῖc ἥ τε ἀμβροcία ἀβροcία τιc οὖcα καὶ τὸ νέκταρ παρὰ τὸ νεάζειν γεγενημένον. Γανυμήδηc δὲ ὑπηρετεῖ μόνῳ τῷ Διί, ὅτι ὁ μὲν Ζεὺc ὁ πρῶτόc ἐcτι νοῦc, μόνοc δὲ νοῦc οἰκεῖον ἔχει τὸ τοῖc μήδεcι γάνυcθαι· τοῦτο γάρ ὁ Γανυμήδηc.

---

14 φηcιν A 16. 17 εὐοικονομήcω ἀπέcτη A; corr. Bkk. 19 initium scholii superiori schol. signo (:—) interposito subiungit A BLp ita inc.: διὰ τί ἡ μὲν Ἥβη τοῖc πᾶcι θεοῖc διακονεῖ, ὁ δὲ Γαννυμήδηc μόνῳ τῷ Διί; L autem ita: ἀπορία. ἐζήτηται καὶ διὰ τί μόνῳ κτλ. ut A 19. 20 λύcιc. ῥητέον ὅτι ἅπαcιν ἡ Ἥβη διακονεῖ ἐπειδὴ L ῥητέον οὖν ὅτι ἐπειδὴ τὸ θεῖον BLp 20 ὅτι ἐπεὶ A 21 ἀβροcία om. codd.; add. Bkk. 22 γαννυμίδηc L (ut 19 et 24) ὁ δὲ γαννυμήδηc ὑπ. BLp 23 ὁ ante πρῶτοc om. BLLp μόν. δὲ ὁ ν. BLLp ἔχει οἰκεῖον BLLp 24 γάννυcθαι BLLp post ὁ γαννυμήδηc (sic, ut h. l. etiam A) add. BLp: ἡ δὲ Ἥβη ὡc λέγεται Ἥραc ἐcτὶ θυγάτηρ.

---

h. l. potius quam ad Υ 234 contulimus propterea factum, quod scholium secundo loco positum a versu cui in codd. adscriptum est divelli nequit.

13—18 Male excerptum schol. L f. 72ᵇ: *ἐζήτηται δὲ δι' ἣν αἰτίαν Γανυμήδης ⟨γαννμίδης cod.⟩ οἰνοχόος οὖν τοῦ Διὸς πᾶσιν ὑπηρετεῖ. λύσις· ἔνιοι μὲν οὖν φασιν ὡς σκέψεως περὶ τῆς Ἰλίου πορθήσεως γενομένης εὐοικονομήτως ἄπεστι τοῦ συνεδρίου, ἵνα μηδὲν ἐναντίον γένηται διὰ τὴν πρὸς αὐτὸν χάριν, ἢ μόνῳ δείξῃ τι οἰκτίζεσθαι* (cf. Par. l. c.: *εἰ μόνῳ δόξει τι οἰκτίζεσθαι*).

20 Cf. Porph. Θ 1.

22 Similiter Porph. de simul., ap. Stob. ecl. phys. I, 2, 25, et ap. Euseb. P. E. III, 9: *Ζεὺς οὖν ὁ πᾶς κόσμος, ζῶον ἐκ ζώων καὶ θεὸς ἐκ θεῶν. Ζεὺς δὲ καὶ καθὸ νοῦς, ἀφ' οὗ προφέρει πάντα, ὅτι δημιουργεῖ τοῖς νοήμασιν.*

4. ἀπρεπές φαcιν, εἰ τέρπει τοὺc θεοὺc ⟨εἰ τέρποι θεοῖc L⟩ πολέμων θέα. ἀλλ' οὐκ ἀπρεπές· τὰ γὰρ γενναῖα ἔργα τέρπει. ἄλλωc τε πόλεμοι καὶ μάχαι ἡμῖν δεινὰ ⟨om. L⟩ δοκεῖ, τῷ δὲ θεῷ οὐδὲ ταῦτα δεινά. cυντελεῖ γὰρ ἅπαντα ὁ θεὸc πρὸc ἁρμονίαν τῶν ἄλλων ⟨ὅλων L⟩ ἢ καὶ ὅλων, οἰκονομῶν τὰ cυμφέροντα ⟨τὸ cυμφέρον L⟩, ὅπερ καὶ Ἡράκλειτοc λέγει, ὡc τῷ μὲν θεῷ καλὰ ⟨καὶ ins. Lp⟩ πάντα καὶ δίκαια, ἄνθρωποι δὲ ἃ μὲν ⟨om. L Lp⟩ ἄδικα ὑπειλήφαcιν ἃ δὲ δίκαια.

B f. 51ᵃ ad πόλιν. L f. 73ᵃ. Lp f. 91ᵇ c. l. Τρώων πόλιν.

5. exc. e schol. A 105 (= Ζητ. Vat. 17).

43. πῶc ὁ Ζεὺc δῶκά coί φηcιν ἑκὼν ἀέκοντί γε θυμῷ; τὸ γὰρ ἑκὼν τῷ ἄκων ἀντίκειται. Τρύφων μὲν οὖν cυναλείψαc ἐν τῷ κ̄ cυνάπτει τὸ ᾱ πρὸc τὸ ἑκών, ἵν' ᾖ ἀέκων ἀέκοντί γε θυμῷ. τοιαύτη τιc ἡ διάνοια· πολλὰ ποιοῦμεν τῶν πραγμάτων ἢ ἐξ ὅληc τῆc διανοίαc ἢ μηδὲ βουλόμενοι. διεῖλεν οὖν τὸ ἐγὼ τῷ θυμῷ καί φηcιν· ἐγὼ ἑκὼν δέδωκα ἀκούcηc μου τῆc διανοίαc καὶ μὴ θελούcηc. εἰ μὲν οὖν ἐγώ coι δέδωκα ἔφη ἀέκων, ἐναντιολογία ἦν· καὶ εἰ ἑκόντι θυμῷ, καὶ οὕτωc ἂν ἦν ἐναντιολογία. ἐπεὶ δ' ἐγὼ μὲν ἑκὼν ἔφη ἀέκοντί γε θυμῷ, οὐκέτ' ἔcτι μάχη διὰ τὸ πολλὰ μὲν ποιεῖν ἡμᾶc, μὴ cυντιθεμένηc δὲ τῆc διανοίαc. πᾶcα γὰρ πρᾶξιc διὰ τὸ καθ' ὁρμὴν γίνεcθαι ἐφ' ἡμῖν οὖcα ἑκούcιοc ἂν εἴη, οὐ πᾶcα δὲ πρᾶξιc καὶ τὸ εὐάρεcτον τῆc διανοίαc ἔχει. ἔcτι δὲ καὶ ἕτερον εἰπεῖν, ὅτι ἑκὼν μὲν δίδωcιν ὡc ἀδελφῇ καὶ γυναικί, ἄκων δὲ ὅτι τοὺc φιλτάτουc πρὸc ἀπώλειαν ἐκδίδωcι· καὶ γὰρ οἱ ἐν θαλάccῃ πλέοντεc, ὅταν περιπέcωcι κινδύνῳ, ἐκβάλλουcι τὸν φόρτον εἰc τὴν θάλαccαν ἑκόντεc τε καὶ ἄκοντεc, ἑκόντεc μὲν ἵνα cωθῆναι δυνηθῶcιν, ἄκοντεc δὲ ὅτι τὸν φόρτον ἀπολλύουcι δι' ὃν πλέουcιν.

*B f. 52ᵃ ad ἑκὼν. L f. 74ᵃ, Π. Lp f. 92ᵃ. Eton. (Noehd. p. 38), Π. Cf. Cram., An. Par. III, p. 282, 20, Π.

51. διὰ τί ὁ μὲν Ζεὺc μίαν ἡ δὲ Ἥρα τρεῖc ἔχειν φηcὶ πόλειc φιλτάταc, καὶ ἡ μὲν Ἑλληνίδαc ὁ δὲ βάρβαρον; ἔδει γὰρ τὰc κρείccονac

B f. 52ᵃ ad τρεῖc. L f. 74ᵃ. Lp f. 92ᵃ.

---

9 γε om. L 13 μηδὲν codd.; μηδὲ Bkk. τῷ ἐγὼ Et 14 ἑκὼν recte correxisse Noehden. probat brevius quod infra posui scholium; codd. ἀέκων μοι Lp 15 δέδωκα om. LEt 16 οὕτοc Et ἑκὼν om. LEt; ε h. v. corr. in Lp 17 οὐκ ἔcτι μάχη Lp 18 δὲ om. L 19 ἐνάρετον LEt 20 quae post διανοίαc ἔχει sequuntur, in codicibus L et Lp altero scholio continentur, quod in Lp quidem priori subiungitur, in L praemittitur. Eadem num in Etonensi legantur non constat 20. 21 ὡc ἂν ἀδελφῇ L 21 τοῦ φιλτάτου Lp 22 θαλάττῃ L κινδυνεύειν Lp 23 ἑκώντεc τὲ καὶ ἄκοντεc Lp 24. 25 ἀπόλλουcι BLp

---

9 sqq. †A f. 52ᵃ Δ 43 (c. lemm. *δῶκα ἑκὼν. ἐν ἄλλῳ· ἀέκοντί γε θυμῷ*, cf. Ludw. Mus. Rhen. XXXII, p. 170): *βιαζόμενος, ὥcπερ οἱ πλέοντεc ἑκόντεc μὲν ἀποβάλλουcι τὰ φορτία, ἵνα cωθῶcιν, ἄκοντεc δὲ ζημιοῦνται :— δοκεῖ* ⟨hinc etiam, praemissis verbis *ἔδωκα θέλων*, L f. 73ᵇ c. l. *δῶκ' ἀέκων* corr. e *δῶκα ἑκων*⟩ *δέ πωc ἐναντίον εἶναι τὸ ἑκὼν τῷ* ⟨om. A, *τὸ* L⟩ *ἀέκοντί γε θυμῷ. διὸ καλῶc ὁ Τρύφων, φηcί, cυναλείψαc ἐν τῷ δῶκα cυνάπτει τὸ ἑκὼν* ⟨*ἀέκων* L⟩, *ἵν' ᾖ δῶκ'* ⟨*δῶμ'* L⟩ *ἀέκων ἀέκοντί γε θυμῷ. ἢ ἑκὼν ἐγώ coι ἔδωκα* ⟨om. L⟩ *ἀεκούcηc μου τῆc διανοίαc, ὅ ἐcτι καίπερ μὴ βουλόμενοc.* Cf. Eust. p. 443, 41.

τὸν βαcιλέα τῶν θεῶν ἔχειν φιλτάτας. ῥητέον δὲ ὅτι εὐπρεπῆ ⟨ἀπρεπῆ L⟩ βουλόμενος περιθεῖναι ⟨ἐπιθεῖναι L⟩ αὐτῇ τὴν αἰτίαν τῆς ὀργῆς ὁ ποιητὴς καὶ οὐχ ἣν ὁ μῦθος ἀναπλάττει, ὡς ἄρα διὰ τὸ μὴ προτιμηθῆναι τῆς Ἀφροδίτης ἐπὶ τῇ κρίcει τοῦ κάλλους Τρωcὶν ἐχαλέπαινεν ⟨Lp ex ἐχαλέπαινον corr.⟩, ἐπίτηδές φηcιν αὐτὴν ⟨αὐτὸς L⟩ τὰς πόλεις φιλεῖν, περὶ ἃς τὸ ἀδίκημα τὸ κατὰ τὴν Ἑλένην γέγονε. cύμψηφα δὲ τούτων κἀκεῖνα, ἐν οἷς αὐτὴν ποιεῖ λαμβάνουcαν τὸν κεcτὸν παρὰ τῆς Ἀφροδίτης, ἵνα τῷ Διὶ μᾶλλον οὕτωc ἐπέραcτος φανείη. οὐ γὰρ ⟨ἂν add. L⟩ ἦν εἰκὸς τὴν δεομένην τῆς βοηθείας τῆς παρ' αὐτῆς ⟨τῆς παρ' αὐτῆς βοηθείας L⟩ ἐπὶ τῷ ἀρέcαι τῷ ἀνδρὶ ἐναγανακτεῖν ⟨ἀγανακτεῖν L⟩ ἡττηθεῖcαν ἐπὶ τῇ τοῦ κάλλους κρίcει. ὁ δὲ Ζεὺς μίαν λέγων πόλιν φιλεῖν ἐξαίρει τὴν χάριν. οὐχ οὕτω ⟨οὐχ ἧττον L⟩ γὰρ ὁ ἀπὸ πολλῶν διδούς τι θαυμάζεται ὡς ὁ ἀπὸ ὀλίγων. ὥcτε ἀμφότεροι ῥητορικῶς κατασκευάζουcιν· ἡ μὲν γὰρ πολλὰς ἀντὶ μιᾶς προήcεcθαί φηcιν, ὁ δὲ τὴν μίαν, ἣν καὶ μόνην ἔχει ⟨εἶχεν L⟩, χαριεῖcθαι.

*B f. 53ᵃ ad Πάνδαρον. L f. 75ᵃ, *Π.* Lp f. 93ᵃ. A f. 53ᵃ c. l. πίθοιο (v. 93). Etou. (Noehd. p. 39), *Π.*

88. διὰ τί ἡ Ἀθηνᾶ εἰc cύγχυcιν τῶν ὅρκων οὐ τῶν Τρώων τινὰ ἐπελέξατο ἀλλὰ τῶν ἐπικούρων; καίτοι κεχαριcμένος ἄν τιc ἐγένετο Ἀλεξάνδρῳ μᾶλλον εἰ τῶν οἰκείων ἦν. καὶ διὰ τί τῶν ἐπικούρων τὸν Πάνδαρον ἐπελέξατο; φηcὶν οὖν ὁ Ἀριcτοτέληc, ὅτι τῶν μὲν Τρώων οὐδένα, διότι πάντεc αὐτὸν ἐμίcουν, ὡc ὁ ποιητὴc φηcιν· ἶcον γάρ cφιν πᾶcιν ἀπήχθετο κηρὶ μελαίνῃ (Γ 454), τῶν δ' ἐπικούρων τὸν Πάνδαρον ἐπελέξατο ὡc φιλοχρήματον — cημεῖον δὲ ἡ τῷ οἴκῳ αὐτοῦ τῶν ἵππων κατάλειψιc, ἵνα μὴ δαπανᾷ (Ε 202) — καὶ ὅτι φύcει ἐπίορκος ἦν· τὸ γοῦν ἔθνος ἔτι καὶ νῦν δοκεῖ εἶναι, ὅθεν ἐκεῖνος ἦν, ἐπίορκον. ἄλλοι δὲ οὕτωc λύουcιν, ὅτι ἀρίcτου ἦν τοῦ δυναμένου καταcτοχάcαcθαι καὶ τρῶcαι χρεία· οὐκ ἦν δὲ ἐν τῷ Τρωικῷ μέρει ἢ Ἀλέξανδροc μόνοc καὶ Πάνδαροc εὐφυὴc οὕτωc, ὡc καὶ ἐπιφωνῆcαι τὸν ποιητήν· Πάνδαροc, ᾧ καὶ τόξον Ἀπόλλων αὐτὸc ἔδωκεν (Β 827), ὃ cημαίνει τὴν τοξικήν. καὶ ὡc ἄριcτον οὖν αὐτὸν ἐπελέξατο τοξότην.

*B f. 52ᵇ ad εὗρε Λυκάονος v. 89.

οὐκ ἀcεβεῖ δὲ, φηcὶν, ὁ Πάνδαροc, εἰ ἡ Ἀθηνᾶ cυνεβούλευcε καὶ

---

16 διὰ τί δὲ Ἀθ. L 18 μᾶλλον om. A 19 καί φηcιν ὁ ἀρ. ALEt αριc, suprascrpt. τ, A huic versui in marg. B adscrpt. Ἀριcτοτλ. 21 πᾶcιν om. AEt 22 cημεῖα Et 23 ἡ τῶν ἵππων αὐτοῦ ἐπι οἰκ' κατάλειψιc ⟨ει e corr.⟩ A 23. 24 καὶ ει ἦν om. A 24 τὸ γὰρ ἔθνοc A 25 τινὲc δὲ οὔτ. λ. A ἄλλοι δὲ καὶ οὔτ. λ. Et ἄριcτον LEt 26 καὶ τρῶcαι τὴν χεῖρα BLEt. Correxi secutus vestigia cod. Lp, ubi post τρῶcαι legitur τ et in rasura χρεία. A ita: ὅτι ἀρίcτου ἦν χρεία τοῦ δυν. τρῶcαι καὶ καταcτ., om. τὴν χεῖρα μέρει τιc ἢ A 27 ἐπιφωνεῖν LEt 28 πάνδαρον ἑλεῖν καὶ τόξ. ἀπ. LEt 29 καὶ om. A 31 δὲ om. A εἰ ἀθηνᾶ Lp

---

3. 4 Res Aristarcho observata, v. Ariston. v. 52.

16 sqq. †Paris. ap. Cram., A. P. III, p. 162, 9: *ὅθεν οὐχὶ ἀcεβὴc ἦν, ὡc Ἀριcτοτέλης ἀπεφήνατο, ἀλλ' εὔcτοχοc.*

29 Cf. ad p. 71, 24.

ὁ Ζεὺς ἀπέσταλκε. ῥητέον οὖν ὅτι ὁ μὲν εἰδὼς κακῶς τοὺς ὅρκους γεγενημένους — οὐδὲν γὰρ ἕτερον Τρῶες ἢ ἐπὶ τοῖς ἀλλοτρίοις ὤμοσαν — διὰ τοῦτο ἐσπούδασε λυθῆναι τὰς ἀδίκους συνθήκας. Ἀθηνᾶν δὲ νῦν ὑποληπτέον τὸν λογισμὸν αὐτοῦ τοῦ Πανδάρου, καὶ αὐτὸς πρὸς ἑαυτὸν ταῦτα διελογίζετο. ἄπιστον γὰρ Λυκίων ἔθνος, καὶ Ἀριστοτέλης δὲ μαρτυρεῖ. ἄλλοι δὲ καὶ αὐτοῖς τοῖς Ὁμήρου λύουσι λέγοντες προειρηκέναι τὸν ποιητὴν πειρᾶν αἴ κε θέλῃσιν (? Δ 66. 71), οὐχὶ πείθειν.

L f. 76ᵇ. Lp f. 93ᵃ c. l. Λυκάονος. A f. 53ᵃ c. l. εἴ που ἐφεύροι.

100. ad Γ 315, p. 63.

102. ..... πῶς δὲ ὁ Χρύσης (A 41) ταύρων καὶ αἰγῶν θυσίαν ὑπισχνεῖται; ἐροῦμεν ὅτι τὰ ἀπόρρητα τοῦ θεοῦ σαφῶς εἰδὼς καὶ τὰ φίλα θύει· θυσίαις γὰρ αἰγῶν καὶ ταύρων ἥδεται. ὕλη γὰρ αὐτὰ τοῖς τόξοις κερασφόρα ὄντα. Πάνδαρος δὲ ὑπὸ Ἀθηνᾶς πειθόμενος τοξεῦσαι οὐκ αἶγας οὐδὲ ταύρους ὑπισχνεῖται ἀλλ' ἐρίφων πρωτογόνων θυσίαν. ἀποτυχεῖν γὰρ αὐτὸν τῆς καιρίας πληγῆς ἐβούλετο.

B f. 53ᵃ ad πρωτογόνων. L f. 76ᵇ. Lp f. 93ᵇ c. l. πρωτογόνων.

105—111. ἀδύνατόν φησιν ⟨φασὶν Sc⟩ εἶναι τηλικοῦτον κέρας αἰγὸς ⟨γενέσθαι ins. Sc⟩ ὡς εἶναι ἑκκαίδεκα παλαιστῶν· δύο γὰρ καὶ ἡμίσεος πήχεων ⟨πηχῶν cod.⟩ οὐκ ἂν γένοιτο κέρας. λύεται δὲ ἐκ τῆς λέξεως, οὐ γὰρ ἓν κέρας ἀλλ' ἄμφω ἑκκαιδεκάδωρα.

L f. 76ᵇ, Π. Cf. Scorial. ap. Dind. IV, p. 411, Π.

ἰξάλου ⟨ἰξάλου A, om. L⟩: ἤτοι τελείου ἢ πηδητικοῦ καὶ ὁρμητικοῦ παρὰ τὸ ἱκνεῖσθαι, ἢ ὡς ὁ Πορφύριος λέγει τὸν τομίαν. συμβαίνει γάρ, φησί, πολλάκις τῶν ἀγρίων αἰγῶν τοὺς τελείους διωκομένους ἐν ταῖς θήραις κατὰ τὴν παράτριψιν ἀποβάλλειν τὰ γεννητικὰ μόρια.

A f. 53ᵃ. L f. 76ᵃ.

(Πάνδαρος ᾧ καὶ τόξον Ἀπόλλων αὐτὸς ἔδωκεν, B 827). τοῦτο μάχεσθαι δοκεῖ τῷ

*B f. 39ᵇ ad Πάνδαρος B 827.

---

1 ὁ om. A ἀπεστάλη L ὁ μὲν Ζεὺς εἰδὼς τοὺς ὅρκους κακῶς γεγ. A 2 οὐδὲ γὰρ ἑτέρως A 4 τὸν λογ. αὐτὸν τὸν τοῦ Πανδ. καὶ ὅτι αὐτὸς A 5 ἄπιστοι γὰρ Λυκάονες codd., quod e coni. correxi 5. 6 ὡς καὶ Ἀριστ. μαρτ. A 6 λύοντές φασι A 7 πεῖραν L πεῖραν Lp πειρᾶν τ' αἴ κε θέλῃσιν οὐ πείθειν A 10 καὶ αἰγῶν καὶ ταύρων θυσ. L 11 ἐροῦμεν οὖν ὅτι L 14 αἶγας Lp 15 ἠβούλετο L 24 Πάνδαρος — ἔδωκεν in uno Et

---

3—8 Simillimam solutionem e scholis Syriani magistri ad Platon. Rempubl. edidit Proclus, p. 377 ed. Basil. Nostra in usum suum convertit Eust., p. 447, 36, e quo cod. Lipsiensis margini interiori f. 93ᵃ altera manus adscripsit (p. 193, 36 Bachm.). Ceterum conf. supra ad p. 13, 8.

12 † B f. 2ᵇ ad *ταύρων* A 41 (id. Lp f. 53ᵃ c. l. *ταύρων*): *θυσίαις ταύρων καὶ αἰγῶν ἥδεται ὁ Ἀπόλλων· ὕλη γὰρ τοῖς τόξοις τὰ κέρατα αὐτῶν.*

16 sqq. † B f. 53ᵇ ad *κέρα* Δ 109: .... *πῶς δὲ δύναται κέρας εἶναι δύο καὶ ἥμισυ πήχεων; ἢ οὐκ ἐπὶ ἑκατέρου τοῦτό φησιν ἀλλ' ἀμφοτέρων.*

20 sqq. † B f. 53ᵃ ad *ἐσύλα* Δ 105 (id. Lp f. 93ᵇ, L f. 75ᵃ) .... *ἢ ἐντομίαν· οἱ γὰρ τέλειοι διωκόμενοι ἐντρίβονται τοὺς ὄρχεις* .... Idem apposito Porphyrii nomine apud Eustathium, p. 450. Scholium transiit in Etym. M. v. *ἴξαλος*.

24 sqq. Hanc quaestionem a disputatione de mira cornus *ἰξάλου αἰγὸς* magnitudine instituta Porphyrium seiunxisse cum veri dissimile sit, utramque una edidimus.

L f. 53ᵃ. αὐτίκ' ἐcύλα τόξον ἐύξοον ἰξάλου αἰγὸc
Lp f. 81ᵃ c. l. ἀγρίου, ὃν ῥά ποτ' αὐτὸc ὑπὸ cτέρνοιο τυχήcac·
Πάνδαροc. Eton. B 827 (Noehd. p. 33), Π. δηλοῖ γὰρ ἐκεῖ Πάνδαρον ἑαυτῷ πεποιηκέναι τὸ τόξον. λύοιτο δ' ἂν καὶ λέξει καὶ ἔθει, λέξει μὲν οὕτωc· τὸ γὰρ ᾧ καὶ τόξον αὐτὸc ἔδωκεν δύναται ἐπὶ τὴν τοξικὴν μεταφέρεcθαι· ἔθει δέ, ὅτι εἰθίcμεθα οὐχ ἓν ἔχειν ὅπλον, καὶ μάλιcτα οἱ περί τινα τέχνην ἐcπουδακότεc.

117. v. ad A 486.

B f. 54ᵃ. Lp f. 94ᵃ. 138. διὰ τί μᾶλλον τοῦ θώρακοc αὕτη βοηθεῖ; ὅτι δυcπαθέcτερα τῶν ἀντιτυπούντων τὰ ὑπείκοντα.

B f. 54ᵇ ad πολυδίψιον. L f. 78ᵇ. Lp f. 94ᵇ. 171. .... διὰ τί δὲ οὕτωc οὗτοc ⟨οὗτοc οὕτωc L⟩ ὑποcτρέψειν φηcίν; ὅτι Ἕλληνεc μὲν ἄπρακτοι ἀπελεύcονται, Τρῶεc δὲ κερτομήcουcιν Ἀγαμέμνονα, Μενέλαοc ἐπὶ ξένης cαπήcεται, ⟨καὶ ins. L⟩ ἀτελὴc ἡ μάχη μενεῖ. τεχνικῶc δὲ δι' ὧν ἀπολοφύρεται ὡcεὶ καταλειφθηcόμενοc ⟨fuit καταληφθηcόμενοc L⟩ ὑπὸ τῶν cυμμάχων, εἰ Μενέλαοc ἀποθάνῃ, κατέχειν αὐτοὺc πειρᾶται, τεθνηκότοc ἢ καὶ μὴ τοῦ Μενελάου.

B f. 55ᵇ ad Τρώων. L f. 80ᵃ c. l. ἐπὶ Τρώων cτίχεc ἤλυθον. Lp f. 75ᵇ c. l. ἐπὶ Τρώων. 221. διὰ τί οἱ Τρῶεc, εἴπερ πάλιν ἐκθέcθαι τὸν πόλεμον ἐβούλοντο, οὐ ζητοῦcι τὸν βαλόντα ⟨βάλοντα BLp, βάλλοντα L⟩, ἀλλ' εὐθὺc ὁρμῶcιν ἐπὶ τὰ ὅπλα; ὅτι ᾤοντο βουλῇ τῶν βαcιλέων πεπρᾶχθαι τὴν παράβαcιν. καὶ εἰ μὲν τέθνηκε Μενέλαοc, κρατήcειν Ἑλλήνων ἤλπιζον διὰ τὴν ἐπ' ἐκείνῳ λύπην κατεπτοημένων ⟨Dind. auctore in cod. quodam exstat; κατεπτωμένων, BLLp⟩, εἰ δὲ μή, κἂν φθάcαι ἀόπλοιc αὐτοῖc ⟨αὐτ. ἀόπλοιc Lp⟩ ἐμπεcεῖν. διὰ τί δὲ πάλιν Ἕκτωρ οὐκ

---

1 αὐτίκα cύλα corr. in αὐτίκ' ἐcύλα Lp 2 cτέρνοιcι L cτέρνοιc Lp 3 τὸ om. Et 3. 4 λύοιτο δ' ἂν ἢ τῇ λέξει τὸ γὰρ τῷ καὶ τόξον LEt 5 μεταφ. ἢ τῷ ἔθει εἰθίcμεθα γὰρ οὐχ ἓν ἔχειν ὅπλον LEt 6 ὅπλον ἔχειν Lp 5. 6 eadem fere verba: λύεται δὲ καὶ τῷ ἔθει, εἰθίcμεθα γὰρ οὐχ ἓν ἔχειν ὅπλον κτλ. in altero scholio B manus secundae leguntur, quod subiunctum est scholio manus primae ad Πάνδαροc (B 827) relato: τὴν τοξείαν μετωνυμικῶc. προcυνίcτηc δὲ αὐτὸν κατὰ Μενελάου. τὰc δὲ εἰc ἄκρον εὐεξίαc θεοῖc ἀνατίθηcιν ὁ ποιητήc. Etiam in Lipsiensi illa (λύεται δὲ καὶ τῷ ἔθει κτλ., eodem modo extra ipsam quaestionem repetita) cum verbis τὴν τοξείαν μετων. κτλ. coniuncta unum schol. efficiunt 8 αὐτὴ B 15 Lp haec addit: τινὲc δὲ πολυδίψιον τὸ πολλοῖc ἔτεcι διψῶν· ἄνυδρον γὰρ τοῦτο ὂν ἔνυδρον ἐποίηcεν ὁ Δαναόc. Eadem scholio B scriptor scholiorum *B in fine addidit. In Leid. scholium supra editum scholia excipiunt ad v. 166 et 169 pertinentia, tum (c. l. πολυδίψιον Ἄργοc ἱκοίμην) pergitur: πολλοῖc ἔτεcι διψῶcαν. ἄνυδρον γὰρ ταύτην ἔνυδρον ἐποίηcεν ὁ Δαναόc

---

Neque scio an iure nostro quaestioni ad v. 88 editae eas adiungere potuerimus. Eadem certe, quae ad *B* 827 leguntur: *δύναται ἐπὶ τὴν τοξικὴν μεταφέρεσθαι*, in quaestione supra edita eiusdem versus explicandi gratia afferuntur (p. 70, 30): *ὃ σημαίνει τὴν τοξικήν*. Qua in ratione Porphyrium Aristarchum sequi e schol. A *B* 827 Aristoniceo apparet.

4 Cf. B f. 206ᵇ ad *τόξον O* 441 (id. L f. 328ᵇ, Lp f. 243ᵇ), ubi arcus Teucro ab Apolline donatus eodem modo explicatur, Plut. V. Hom. c. 22.

ἐζήτηcε τὸν βαλόντα; ὅτι οὐκ ἦν ἀναβαλέcθαι ⟨ἀναλαβέcθαι Dind. codicem quendam secutus⟩ τὸ πταῖcμα, ἅπαξ Μενελάου τρωθέντος.

226. ἐζήτηται πῶc τοὺc ἵππουc καὶ τὰ ἅρματα εἴαcε· τὸν γὰρ cπεύδοντα οὐκ εἰκὸc τὰ ἅρματα καταλείπειν. λύεται δὲ ἐκ τοῦ καιροῦ. ἔδει γὰρ οὐ μόνον ⟨καὶ μόνον L Et⟩ παρελθεῖν ἀλλὰ καὶ ⟨om. B Lp⟩ πρὸc ἕκαcτον διαλεχθῆναι. cοβαρὸν γὰρ ἐφαίνετο τὸ ἀπὸ τοῦ ἅρματοc ὁμιλεῖν.

*B f. 55ᵇ ad ἔαcε. L f. 80ᵇ, Π. Lp f. 96ᵃ. Eton. l. c., p. 40, Π.

297. διὰ τί τὴν τάξιν ταύτην ἐποίηcεν, ἱππῆαc μὲν πρῶτον πεζοὺc δ' ἐξόπιcθε, κακοὺc δ' ἐc μέccον; ἄτοπον γὰρ τὸ τοὺc ἱππέαc πρὸ τῆc φάλαγγοc ποιῆcαι καὶ τούτων μεταξὺ τοὺc φαύλουc. λύει δ' Ἀριcτοτέληc· ἢ οὐ πρὸ τῆc φάλαγγοc λέγειν τοὺc ἱππεῖc φηcιν ἀλλ' ἐπὶ τοῖc κέραcι. καὶ οὗτοι πρῶτοι εἶεν ἄν. τοὺc δὲ κακοὺc οὐ τόπῳ διορίζει, ἀλλ' ἐναλλὰξ μεταξὺ ἀνδρείου τὸν ἀcθενέcτερον. πεζοὺc δ' ἐξόπιcθεν τῶν ἱππέων, ὥcτε τὰ μὲν κρατεῖν τοὺc ἱππέαc, μετὰ δὲ τούτουc τοὺc πεζούc, πανταχοῦ δὲ μεταξὺ τῶν ἀνδρείων, ἱππέων τε καὶ πεζῶν, τετάχθαι τοὺc κακούc, ἤτοι ἱππέαc τε καὶ πεζούc. ἄλλοι δέ, οὐδὲν ὅλωc τῷ τόπῳ διορίζειν, ἀλλὰ τῷ χρόνῳ λέγειν πρώτουc καὶ μέcουc καὶ τὸ ὄπιcθεν ὑcτέρουc, ἵνα πρῶτοι μὲν cυμβάλλωcιν οἱ ἱππεῖc οἱ ἀνδρεῖοι, μεθ' οὓc ἐπιφέρονται οἱ χείρουc τῶν ἱππέων τε καὶ πεζῶν οἱ ἀνδρειότατοι. οἱ δέ, ὅτι οὐχ ὡc ἐπιτιμᾶται ἔταξε * * * * * * * * * * καὶ γὰρ Βοιωτοῖc οὕτω τάττειν δοκεῖ. ὥcτε ἀπὸ τοῦ ἔθουc ἡ λύcιc. οἱ δὲ ἀπὸ τῆc λέξεωc. τὸ γὰρ πρῶτον δῆλον τὸ δεξιὸν κέραc, ὄπιcθεν δὲ τὸ ἀριcτερόν· πρώτουc οὖν εἰκὸc εἰρῆcθαι τοὺc ἐπὶ τοῦ δεξιοῦ μέρουc ἑcτῶταc, ὄπιcθεν δὲ τοὺc ἐπὶ τοῦ ἀριcτεροῦ, ὧν εἰκὸc μεταξὺ τετάχθαι τοὺc δειλούc. οὕτω γὰρ καὶ λόγον ἕξει τὸ ὄφρα καὶ οὐκ ἐθέλων τιc ἀναγκαίῃ πολεμίζῃ (Δ 300).

*B f. 57ᵃ ad ἱππῆαc μὲν. L f. 83ᵃ, Π. Eton. l. c., p. 40, Π.

---

9 μέcον LEt ἱππεῖc LEt 10 cτῆcαι pro ποιῆcαι coni. Kamm., p. 37 10. 11 versui in marg. B adscript. Ἀριcτοτελ. 17 πρῶτα καὶ μέcον Et ὕcτερον Et 19 ἐπιτιμᾶτο B 20 lacuna quam statui in codicibus oblitterata est, cuius loco satis multa intercidisse videntur, inter alia ea quae in scholio statim edendo de γεφύραιc quae dicuntur πολέμου exstant. Kammer p. 38 coni.: οἱ δὲ ὅτι οὐδὲν ἐπιτιμᾷ εἰ οὕτωc ἔταξε. καὶ γὰρ κτλ. Βοιωτοῖc (ῖ in ras.) B; Βοιωτοὺc LEt ὥcτε κτλ. in uno B 24 ὡc εἰκὸc B; correxi e schol. A infra allato

---

3—7. Id. Paris. 2681 (Cram. A. P. III, p. 283, 4), Π.

8. 20 † L f. 83ᵇ (= Eton. ap. Noehd. p. 40, cf. Paris. 2681 apud Cramer p. 283, 8): *Πορφυρίου· καὶ γὰρ καὶ τὸ ἱππῆας μὲν πρῶτον cὺν ἵπποιcι καὶ ὄχεcφι οὗ φαcι τακτικὸν εἶναι. οὐδένα γὰρ οὕτωc τάccειν ὡc ὁ Νέcτωρ εἰcῆκται. τινὲc μὲν οὖν φαcι Βοιωτοὺc εἰρῆcθαι ⟨κεχρῆcθαι* ci. Kamm. l. c.⟩ *τούτῳ ⟨τοῦτο* L⟩. *ὥcτε ἀπὸ τοῦ ἔθουc ἡ λύcιc. οἱ δὲ ἀπὸ τῆc λέξεωc, τὸ γὰρ πρῶτον δῆλον τὸ δεξιὸν κέραc, ὄπιcθεν δὲ τὸ ἀριcτερόν.*

22 sqq. † A f. 57ᵃ (L f. 83ᵃ) c. l. *ἱππῆαc μὲν πρῶτα: πρώτουc* ⟨om. L⟩ *εἰκὸc εἰρῆcθαι τοὺc ἐπὶ τοῦ δεξιοῦ κέρωc* ⟨*ἐπὶ τὰ δεξιὰ μέρη* L⟩ *ἑcτῶταc, ὄπιθεν* ⟨*ὄπιcθεν* L⟩ *δὲ τοὺc ἐπὶ τοῦ ἀριcτεροῦ, ὧν* ⟨*ὡc* L⟩ *εἰκὸc μεταξὺ τετάχθαι τοὺc δειλούc· οὕτω γὰρ λόγον ἕξει τὸ ὄφρα καὶ οὐκ ἐθέλων τιc ἀναιγκαίῃ πολεμίζῃ* ⟨*πολεμίζειν* A; rel. in uno A⟩· *ἐπὶ γὰρ μετώπου τάccει τὴν φάλαγγα, οὐ κατὰ βάθοc, μεταξὺ δὲ δύο ἀνδρείων ἕνα κακὸν ἔβαλλεν* (cf. p. 74, 6).

B f. 57ᵃ ad πρῶτα. L f. 83ᵇ. Lp f. 97ᵃ c. l. ἱππῆας μὲν πρῶτα. Eton. (Noehd. p. 41).

οὐ δεόντως, φαϲὶ, τὴν πρώτην τάξιν οἱ ἱππεῖϲ ἔχουϲι, κινδύνου ὄντοϲ, εἰ τροπὴ γένηται τῶν ἱππέων, ϲυμπατηθῆναι τὴν ἀκολουθοῦϲαν τάξιν. ἀγνοοῦϲι δὲ ὅτι οἱ πεζοὶ ὄπιϲθέν εἰϲιν, ὅπωϲ τῶν ἱππέων ὑποχωρούντων διϊϲτάμενοι δέχοιντο αὐτούϲ, ὃ καὶ γεφύραϲ πολέμου καλεῖ, καὶ πάλιν ἑνούμενοι ὡϲ τεῖχοϲ δέχοιντο τοὺϲ πολεμίουϲ ἐπιόνταϲ· μεταξὺ δὲ δύο ἀνδρείων ἕνα κακὸν ἔβαλλε. τινὲϲ δὲ τὸ ἔμπροϲθεν καὶ ὄπιϲθεν ἐπὶ τοῦ δεξιοῦ καὶ ἀριϲτεροῦ κέρωϲ λαμβάνουϲι· τοὺϲ δὲ κακοὺϲ τετάχθαι ἐν μέϲῳ, ἵνα καὶ ὑπὸ τούτων καὶ ὑπ' ἐκείνων ἀναγκάζωνται πολεμεῖν. ἀλλὰ φαίνεται πεζοῖϲ οὐδὲν ἐπιτάϲϲων.

B f. 58ᵃ ad πύργοϲ. L f. 84ᵃ. Lp f. 98ᵃ c. l. πύργοϲ Ἀχαιῶν.

334. εἴτε διὰ τοῦτο ἔϲταϲαν, ἵνα οἱ Τρῶεϲ πρότερον κατάρξωϲιν, εἴτε ἵνα τινὲϲ ἄλλοι τῶϲ Ἑλλήνων; ἄμφω δὲ ἄλογα, καὶ τὸ ὑπὸ τῶν Τρώων προκληθῆναι — οὐ γὰρ μικρὰ καὶ τοῦτο βλάπτει — καὶ τὸ ὑπὸ τῶν οἰκείων· δεῖ γὰρ ϲυντεταγμένουϲ ἅπανταϲ πολεμεῖν. ἁρμόζει δὲ μᾶλλον τὸ πρότερον, ἵνα οἱ Τρῶεϲ παραβαίνοντεϲ τὰϲ ϲυνθήκαϲ καὶ τῆϲ μάχηϲ ἄρξωϲιν. ἀλλὰ τούτῳ δοκεῖ ἐναντιοῦϲθαι τὸ νῦν δὲ φίλωϲ χ' ὁρόῳτε καὶ εἰ δέκα πύργοι Ἀχαιῶν (v. 347). ἢ λείπει ἡ κατά εἰϲ τὸ ὁρμήϲειεν, ὡϲ τὸ (Ξ 488) ὡρμήθη δὲ Ἀκάμαντοϲ ⟨ἀκάμαντα L⟩. θέλουϲι δὲ πρὸ ἑαυτῶν ἄλλουϲ ⟨ἀλλήλουϲ Lp⟩ Ἕλληναϲ ἄρξαϲθαι τῆϲ μάχηϲ, ἀϲυκοφαντήτουϲ ἑαυτοὺϲ ἐκ παντὸϲ πρὸϲ τὸ θεῖον πειρώμενοι ϲῶϲαι. διὸ καὶ δόλιον αὐτὸν καλεῖ Ἀγαμέμνων (Δ 339), ἐπεὶ οὐ φιλέλληνα ἀλλὰ φίλαυτοϲ ὁρᾶται. καὶ ὁ μὲν ἕνα πύργον περιμένει, ὁ δ' ὀνειδίζων δέκα πύργοι Ἀχαιῶν φηϲιν.

347. ad lin. 21.

B f. 59ᵇ ad προϲέφη. L f. 87ᵃ. Lp f. 99ᵃ c. l. προϲέφη.

401. 2. πῶϲ οὗτοϲ νεώτεροϲ ὢν τὴν ἐπίπληξιν ἤνεγκεν, ὁ δὲ Ὀδυϲϲεὺϲ καὶ πρεϲβύτεροϲ καὶ φρονιμώτεροϲ ὢν ὠργίϲθη (v. 349) καὶ ἐχαλέπηνε ⟨ἐχαλέπαινε L⟩; ῥητέον δὲ ὅτι δι' αὐτὸ τοῦτο, ἐπεὶ καὶ πρεϲβύτερόϲ ἐϲτι καὶ φρονιμώτεροϲ, τὴν βλαϲφημίαν οὐ φέρει· τιμᾶϲθαι γὰρ ϲφᾶϲ αὐτοὺϲ οἱ πρεϲβύτεροι νομίζουϲι δεῖν. ἄλλωϲ τε οὐχ ὁμοίωϲ

---

1 ἄλλωϲ praem. LEt 4 γέραϲ B, ad quod syll. φυ (inter text. et schol. script.) signo ⁝ apposito ead. manus retulit 6 ἔβαλλον L 7 μέρουϲ pro κέρωϲ Et 8 ἀναγκάζονται L 9 signo scholii finiti eraso addit B: βραχὺ δὲ διαϲταλτέον εἰϲ τὸ ὄχεϲφι· κοινὸν γὰρ τὸ ϲτῆϲεν. Eadem in Lp post ἐπιτάϲϲων, in A inter schol. intermargin. leguntur

---

3 † B f. 57ᵃ ad ἕρκοϲ v. 299 (id. Lp f. 97ᵃ c. l. ἕρκοϲ, L f. 83ᵇ): *ἵνα τῶν ἱππέων ὑποχωρούντων οὗτοι τοὺϲ ἐπιόνταϲ δέχοιντο. μέϲον δὲ τοὺϲ κακούϲ, ἵνα ⟨ὅπωϲ L⟩ μιμοῖντο τοὺϲ ἔμπροϲθεν καὶ ὑπὸ τῶν ὄπιϲθεν ἐπείγοιντο. κακοὺϲ δὲ ἤτοι τοὺϲ ἐκ πάντων ἢ τοὺϲ ἐκ μόνων πεζῶν· οἱ δὲ ὅτι ἐν τοῖϲ δύο τάγμαϲι τοὺϲ κακοὺϲ ἐμέϲαϲεν ⟨ἐμέϲαϲαν L⟩.*

10 sqq. † Eust. p. 479, 29.

16 Aristarchum censuisse *Τρώων* esse idem quod *ἐπὶ Τρῶαϲ* docemur schol. Aristoniceo v. 335.

21 † B f. 58ᵃ ad *χ' ὁρόῳτε* v. 347 (Lp f. 98ᵃ c. l. *χ' ὁρόῳτε*): *ἔλυϲε τὸ ἔμπροϲθεν ἀμφίβολον. καὶ οἱ μὲν ⟨ἕνα* add. Bekk.⟩ *ἀναμένουϲιν, ὁ δὲ ὀνειδίζων ⟨δέκα* add. Bkk.⟩ *φηϲίν.*

ἀμφοτέροις ἐπέπληξε, τὸν μὲν πανοῦργον εἰπὼν τὸν δὲ ⟨τοῦ ins. Bkk.⟩ πατρὸς ἥττονα· ὁ γὰρ τοῦ πατρὸς ἔπαινος ἐμείου τὴν ὕβριν. πρὸς τούτοις ἐπιπληχθεὶς ὡς λάλος οὐκ ἤμελλε βεβαιοῦν τὸ λάλος εἶναι.

cώφρων ὅστις οὐδέποτε τοὺς πολεμίους δείσας φοβεῖται τὴν ἐπί- B f. 59ᵇ ad
πληξιν τοῦ στρατηγοῦ. καὶ νῦν μὲν ἵνα μὴ δοκῇ ⟨δοκεῖ L⟩ εἶναι λάλος αἰδεσθείς.
ἡσυχάζει, τοῖς γε μὴν ἔργοις δείξας ἑαυτὸν ἐφάμιλλον ⟨ἴσον L⟩ τῷ L f. 87ᵃ c. l.
πατρί φησιν ἀλκὴν μέν μοι ⟨φησι add. B L⟩ πρῶτον ὀνείδισας αἰδεσθεὶς βασι-
⟨I 34; ὠνείδισας B L Lp⟩. καὶ τὸ κρατερός (Δ 401) δὲ νῦν ἔμφασιν λῆος ἐνιπήν.
ἔχει, πληροῦν ὃ παρέλιπεν ὁ βασιλεύς. Lp f. 99ᵃ c. l.
αἰδεσθείς.

434. αἰτιῶνταί τινες τὰς τοιαύτας προσθήκας ὡς περιττάς· γάλα *B f. 60ᵃ ad
λευκόν· ποῖον γὰρ γάλα μέλαν; τάφρον ⟨τάφον ut etiam infra Et⟩ λευκόν.
ὀρυκτήν (Θ 179)· πῶς γὰρ ἂν γένοιτο ⟨οὐκ ὀρυκτὴ ins. L Et⟩ τάφρος; L f. 88ᵃ, *Π.*
ὑγρὸν ⟨καὶ ins. Et⟩ ἔλαιον (Ψ 281)· σκληρὸν γὰρ πότ' ἂν γένοιτο; Lp f. 99ᵇ c. l.
ὀφθαλμοῖσιν ἰδών (Γ 28)· πῶς γάρ τις ἂν ἴδοι; οἱ δ' οὖσι γάλα λευκόν
πάντες ἄκουον ⟨ἄκουσαν Lp, M 442⟩· οὐ γάρ πως ἄλλῃ αἰσθήσει Eton.
ἀκούομεν. ἀλλ' ὅτε δὴ Λυκίην ἶξε ⟨ἵξε B⟩ Ξάνθον τε ῥέοντα (Noehd., p. 41), *Π.*
(Z 172)· ποῖος γὰρ ἄλλος ποταμὸς οὐ ῥεῖ; ἔστι δὲ ἡ μὲν ὀρυκτὴ τάφρος πρὸς τὰς οὐκ ἐξ ὀρύγματος συνισταμένας τάφρους ἤτοι ἀντιδιαιρουμένη, ἐκ χάσματος δὲ γῆς ἢ ἐξ ὕδατος παρόδου ⟨προσόδου ci. Kamm. p. 38⟩ ἢ ἐξ ἄλλης αἰτίας· ἢ ⟨si Noehdeni silentio fides, in uno Et⟩ ὀρυκτὴ τάφρος ἡ βαθὺ τὸ ὄρυγμα διαφαίνουσα· ὅταν γὰρ βαθὺ γένηται σκάμμα καὶ ἐπικίνδυνον εἰς διάβασιν, τότε ἀπείληφε τοῦ ὀρύγματος τὴν δύναμιν. τὸ δὲ γάλα λευκόν, ὅτι σκιὰν οὐκ ἐπιδέχεται. ὑγρὸν δὲ τὸ ἔλαιον, ὅτι τὰ μὲν ἄλλα ὑγρὰ ἐκχυθέντα εἰ καὶ παραυτίκα δευθέντα μαλακύνει, ἀλλ' οὖν ταχέως ξηραίνεται καὶ ἐκβληθέντα κραῦρα ⟨κραύρα Lp⟩ καὶ περίξηρα ⟨παράξηρα L⟩ καταλείπεται τὰ δεδευμένα, τὸ ἔλαιον δὲ ἐπὶ πολὺ διαμένει καὶ ἀνυγραίνει τὸ δεξάμενον μαλακώτερόν τε ποιεῖ πρὸς ἁφὴν τὸ φύσει ἁπαλόν. τὸ δὲ ἰδεῖν ὀφθαλμοῖσιν ἀντιδιαίρεσιν ἔχει πρὸς τὸν διὰ φαντασίας βλέποντά τι, ὥσπερ καὶ ⟨om. Lp⟩ κατὰ τοὺς ὕπνους δοκοῦμεν ὁρᾶν τι καὶ διηγου-

---

2 † B f. 58ᵇ ad *ἱπποδάμοιο* v. 370 (id. Lp f. 98ᵇ c. l. *ἱπποδάμοιο*, L f. 86ᵃ): *τὴν ὕβριν μειοῖ ὁ ἔπαινος τοῦ πατρός· ἡδέα γὰρ τὰ τῶν πατέρων ἐγκώμια λεγόμενα* .... Quae sequuntur huc non pertinent.

3 et 5 †B f. 59ᵇ ad *ἀμείνω* v. 400 (id. Lp f. 99ᵃ c. l. *ἀμείνω*, L f. 86ᵇ, A f. 59ᵃ c. l. *ἀγορῇ δέ τ' ἀμείνω*): ..... *πιθανῶς δὲ προφυλαξάμενος ἀγορητὴν αὐτόν φησιν, ἵνα πρὸς τὴν ἀπολογίαν ὀκνήσῃ. διὸ οὐδὲν προσφθέγγεται ὁ Διομήδης.* Ceterum ad hanc quaestionem conferenda quae ad E 1 extr. attulimus.

23 Cf. Porphyr. ad *N* 340 (*B f. 175ᵇ) adscriptus (= *ζητ.* Vat. 9): .... *γλαυκιόωντες δὲ οἱ λέοντες καὶ Ἀθηνᾶ γλαυκῶπις ἀπὸ τοῦ γάλακτος, ὃ ἐστιν ἄσκιον καὶ διὰ τοῦτο λευκόν, ὑπ' αὐτοῦ εἴρηται.* — †Paris. 2767 *Δ* 434 *γάλα λευκόν: λευκὸν δὲ διὰ τὸ μὴ ἀποτελεῖν σκιὰν αὐτὴν τὴν φύσιν εἶναι* (An. Par. III, p. 203, 15).

24—28 Cf. Plut. Q. conv. VI, 9, 3.

μένων ἄλλων ἀναπλάccομεν τὰ διηγήματα. τὸ δὲ θεάcαcθαι δι' ὀφθαλμῶν τὴν ἐναργῆ ⟨ἐναρῆ B⟩ θέαν καὶ τὴν δι' αὐτοῦ ⟨δι' αὐτῶν L⟩ κατάληψιν διὰ τῆς οἰκείας πρὸς τὸ ὁρώμενον αἰcθήcεως. ὡcαύτως δὲ ἔχει ⟨καὶ ins. Et⟩ τὸ οὔαcιν ἀκοῦcαι, τὸ τὸν παρόντα αὐτὸν ⟨αὐτοῦ B⟩ ἀκοῦcαι ⟨τὸ τὸν — ἀκοῦcαι om. L⟩ τοῦ λέγοντος ⟨τοὺς λέγοντας Lp⟩ καὶ μὴ ἄλλου ἀγγέλλοντος ⟨ἀγγέλοντος B⟩ ἀκοῦcαι λόγον, ὡς καὶ ἐν τῇ cυνηθείᾳ ⟨ἐν τῷ cυνήθει L Et⟩ εἰώθαcι λέγειν παρὰ ζώcης φωνῆς ἀκηκοέναι καὶ μήτε διὰ γραπτῶν λόγων ἀκοῦcαι μήτε τὰ παρ' ἄλλου ἄλλου διηγουμένου. Ξάνθον τε ⟨δὲ Lp⟩ ῥέοντα, ἤτοι ἐπεὶ Ξάνθος ἐcτὶ καὶ πόλις Λυκίας διέκρινε τὸν ποταμὸν τῷ ῥεύματι, ἢ τὸν cφόδρα ῥέοντα βούλεται λέγειν ὡς τὸν διυήεντα (Φ2), ἢ Ξάνθον ῥέοντα ὡς εἰ ἔλεγε Ξάνθου ῥοάς, ἢ τὸν καλῶς ῥέοντα, ὡς ποιητὰς ἐcέχυντο πύλας (M 470), τὰς εὖ πεποιημένας· ἢ ποιηταὶ πύλαι αἱ τέλος ἤδη λαβοῦcαι καὶ ἀποτετελεcμέναι ⟨ἢ ποιηταὶ — ἀποτετελεcμέναι uncin. incl. Kamm.⟩. καὶ ὅλως ἐπὶ πάντων τῶν τοιούτων ζητῶν τις εὑρήcει εὔλογον τὴν τῆς προcθήκης αἰτίαν.

447. I 1 sqq.

A f. 60ᵃ c. l. ἐcθλὸν ἐνὶ προμάχοιcι v. 458.

457. . . . . πῶς οὐκ Αἴας πρῶτος ἢ Διομήδης ἀριcτεύει; καί φαcιν ὅτι Πύλιοι πρῶτοι cυνέρρηξαν. ἄλλοι δὲ ὅτι, ἐπεὶ ὁ Ἀντίλοχος ἄλκιμος καὶ ταχὺς ὑπόκειται, εἰκότως καὶ φονεύει πρῶτος. ἐμοὶ δὲ δοκεῖ ἀπ ἐλάccονος ἤρχθαι τὸν ποιητὴν τὸ τῆς τύχης αἰνιccόμενον κράτος.

B f. 60ᵇ ad Ἀντίλοχος. Lp f. 100ᵃ c. l. Ἀντίλοχος.

τοῦτο χαρίζεται αὐτῷ, ἐπεὶ καὶ ἄλλην ἀριcτείαν αὐτοῦ οὐ γράφει ⟨cυγγράφει, om. οὐ, B Lp, corr. Bkk.⟩· ἄλλως τε καὶ ζηλοῖ τὸν πατέρα· πρῶτος γάρ, φηcίν, ἐγὼν ἕλον ἄνδρα (Λ 737), καὶ θεατὴν αὐτὸν ἔχει. θερμότητος δὲ τοῦτο ⟨5 fere litt. post h. v. eras. B⟩ νεωτεριcῆς ἔργον. ἢ Τρῶες κατεφρόνουν Νέcτορος καὶ κατὰ τοῦτο μᾶλλον τὸ μέρος πρώτως ἔκρουcαν.

alter. schol. h. v. (de ἱπποκορυcτής) v. B 1.

*B f. 61ᵃ ad ἅμαρθ'. L f. 89ᵇ, Π. Eton. (Noehd. p. 42), Π.

491. ἀδύνατόν φηcιν εἶναι ἐπὶ τὸν Αἴαντα τὸ βέλος πεμφθὲν εἰc Ἰθακήcιον ἐλθεῖν· οἱ γὰρ Ἰθακήcιοι πόρρω τεταγμένοι εἰcὶ καὶ οὐ κατὰ Cαλαμινίους ⟨cαλαμίνουc L Et⟩ καὶ ⟨τοὺc ins. L⟩ Λοκρούc. λύεται δὲ ἐκ τῆς λέξεως· ὁ γὰρ ἑταῖρος οὐ πάντως πολίτης ἀλλὰ καὶ φίλος καὶ cυμπράττων. οὕτω καὶ Πάτροκλος Ἀχιλλέως οὐ πολίτης ἀλλ' ἑταῖρος.

B f. 61ᵃ ad Ὀδυccέος.

πῶc ἑταῖρον αὐτόν φηcιν Ὀδυccέωc, μὴ cτρατευομένων Ἰθακηcίων

---

9 †B f. 85ᵃ ad *ῥέοντα* Z 172 (Lp f. 123ᵇ c. l. *Ξάνθον τε ῥέοντα*): *καὶ ποῖος* ⟨Lp ins. *γάρ*⟩, *φησί, ποταμὸς οὐ ῥεῖ; ῥητέον ἐπεὶ Ξάνθος ἐστὶ Λυκίας πόλις* ⟨*ἐπεὶ καὶ πόλις ἐστὶ Λυκίας* Lp⟩ *πρὸς ἀντιδιαστολὴν ἁπλῶς τὸ ῥέοντα τέθεικεν. ἢ τὸν ἀέναον λέγει καὶ ἀεὶ ὡσαύτως ἔχοντα. ἢ μᾶλλον τὸν ῥευματώδη.* Eust. ibid., p. 634, 15: *προσέθηκε δὲ νῦν τὸ ῥέοντα κατὰ Πορφύριον πρὸς διαστολὴν Ξάνθου Λυκιακῆς πόλεως.*

19 Aristarchi eam sententiam fuisse e scholio Aristoniceo apparet.

22 Scholium e quaestione, cuius in schol. A pars servata est, derivatum esse ex Eust. concluditur, p. 498, 30—40; paullo plura Vict. (Roem., schol. ex., p. 17).

πλησίον Σαλαμινίων; ἑταῖρον οὖν νῦν ⟨μὲν οὖν L⟩ οὐ τὸν πολίτην ἀλλὰ τὸν συνεργόν φησιν. τί γὰρ ἄτοπον εἰ Σαλαμίνιος ὢν ἑταῖρός ἐστιν Ὀδυσσεῖ; οἱ δὲ ὅτι συγκέχυται ἡ μάχη, ἢ ὅτι ὁ Αἴας πάσας ἐπῄει τὰς τάξεις βοηθῶν. καί που γὰρ καὶ Ὀδυσσεῖ βοηθεῖ, ὡς δηλοῖ ἡ πεδιὰς μάχη (Λ 472), καὶ Μενεσθεῖ βοηθεῖ (Μ 370) ἐν τῇ τειχομαχίᾳ ⟨βοηθεῖ usque ad βοηθεῖ om. L, tum idem ἐν τῷ τηλεμαχ'⟩, καὶ Μενέλαος αὐτὸν ἐπὶ Πατρόκλου ⟨πατρόκλῳ L⟩ προσκαλεῖται (Ρ 120). L f. 89ᵇ. Lp f. 101ᵃ c. l. Ὀδυσσέος.

ὅς οἱ φίλος ἦεν ἑταῖρος. τοὺς ἑταίρους ἀπὸ τῶν φίλων διαιρεῖ· οἱ μὲν γὰρ ἑταῖροι οἱ προσοικειωθέντες κατὰ φιλίαν, οἱ δὲ φίλοι οἰκεῖοι καὶ κατὰ γένος προσήκοντες, ὥσπερ καὶ ὁ ἕτης καὶ ὁ γείτων· ἕται μὲν γὰρ οἱ συνέστιοι, γείτονες δὲ οἱ πλησίον μένοντες· γείτονες ἠδὲ ἕται (δ 16). καὶ ὅτι ἑταίρους συνδιαιτητὰς οἶδεν· ἐπεί οἱ ἑταῖρος ἦν φίλος εἰλαπινάστης (Ρ 577). καὶ ἐρίηρας ἑταίρους (ι 100) τοὺς διὰ τῆς χρείας φίλους, καὶ Ἕκτορι δ' ἦεν ἑταῖρος (C 251), παραλιπὼν ἐνταῦθα τὸ εἶδος. ὁμοίως δ' αὖ *B f. 77ᵃ ad φίλος E 695. L f. 116ᵃ, Π. Cf. schol. α 238.

σοὶ δ' ὁδὸς οὐκέτι δηρὸν ἀπέσσεται ἣν σὺ μενοινᾷς·
τοῖος γάρ τοι ἑταῖρος ἐγὼ πατρώιός εἰμι,
ὅς τοι νῆα θοὴν στελέω καὶ ἅμ' ἕψομαι αὐτός

(β 285—87), καὶ

ἐγὼ δ' ἀνὰ δῆμον ἑταίρους
αἶψ' ἐθελοντῆρας συλλέξομαι (β 291).

καὶ μεταφέρων ἐκ τοῦ εὐκνήμιδας Ἀχαιούς λέγει (β 402)·

Τηλέμαχ', ἤδη μέν τοι εὐκνήμιδες ἑταῖροι,

καὶ ἐκ τοῦ κομόωντες Ἀχαιοί·

εὗρεν ἔπειτ' ἐπὶ θινὶ καρηκομόωντας ἑταίρους

(β 408). φίλος δὲ υἱὸς καὶ φίλη μήτηρ καὶ φίλα γυῖα καὶ φίλαι χεῖρες. καὶ διακρίνων·

εἰ μετὰ οἷς ἑτάροισι δάμη Τρώων ἐνὶ δήμῳ
ἠὲ φίλων ἐν χερσίν, ἐπεὶ πόλεμον τολύπευσεν (α 237. 8)·

οὐκ ἄν, φησίν, ἐλυπήθην, εἰ ἐν τῇ Τροίᾳ μετὰ τῶν αὐτοῦ ἑταίρων ἀπώλετο πολεμῶν, ἢ εἰ κατεργασάμενος τὸν πόλεμον καὶ ἐπανελθὼν

---

8 L inc.: εἰς τὸ δς' σοι (sic) φίλος κτλ. 12 καὶ ἔτι L συνδιαίτας codd.; Dind. coni. συνδαίτας 13 εἰλαπινιστής B, εἰλαπινηστής L 14 δι' ἐν L 16 ἦν L 17 καὶ τοῖος codd.; om. Bekk. ἐγὼ om. B 21 ἐθελοντῆτας L 28 ἢ μετὰ codd. 30 ἐλυπήθη B εἰ om. L; id. lin. 31 ante ἀπώλετο ins. ἢ

---

3 Aristarchi sententia, nam schol. A intermg. diplam codici appictam ita explicat: *ὅτι συγχεῖται τὰ τῆς τάξεως διὰ τὴν τοῦ πολέμου ταραχήν.* Idem aliis locis (v. Lehrs, Ar. p. 116) *ἑταῖρος* eadem qua Porph. (pro *συνεργός*) ratione accepit. Cf. Hes. v. *ἑταῖροι* et *ἑταῖρον*.

8 sqq. Huc retuli propter p. 76, 32.

9—11 Transierunt servato Porphyrii nomine in cod. Barocc. 162 ad *Λ* 179 (An. Ox. IV, p. 408, 26). Quod ad rem attinet cf. Apoll. v. *ἑταῖροι· φίλοι.* Hesych.: *ἑταῖρος· ὁ φίλος.*

ἐν ταῖς χερσὶ τῶν οἰκείων ἐτελεύτησεν. καταχρώμενος δὲ καὶ τὴν φύξιν ἑταίραν τοῦ φόβου λέγει (Ι 2)·

φύζα φόβου κρυόεντος ἑταίρη,

καὶ ἄνεμον (λ 7)·

ἵκμενον οὖρον ἵει πλησίστιον ἐσθλὸν ἑταῖρον.

καὶ πάλιν ὅλην τὴν οἰκειότητά φησι δηλῶν (Γ 163)·

ὄφρα ἴδῃ πρότερόν τε πόσιν πηούς τε φίλους τε·

τὸν ἄνδρα, τοὺς συγγενεῖς, τοὺς οἰκείους. διὸ ἐπιζητεῖ ἡ Ἑλένη τοὺς ἀδελφούς.

B f. 61ᵇ ad χώρησαν. L f. 90ᵃ. Lp f. 101ᵃ.

505. πῶς νικῶσιν ⟨οἱ ins. L⟩ Ἕλληνες, οὓς ὁ Ζεὺς θέλει ἡττᾶσθαι; ἐροῦμεν ὅτι Ζεὺς ἐᾷ ⟨ἔα Lp⟩ Τρῶας ποινὰς τῶν πλημμελημάτων τίνειν, ἢ ὅτι δι' ἀμφοτέρων τὴν τῶν Ἑλλήνων δύναμιν, ἵνα καὶ συμμαχῶν Τρωσὶν ἐπιδείξηται τὴν χάριν, εἴ γε ὃν ἔτρεψε μόνος Αἴας, οὗτος ἅμα Διὶ τοὺς πάντας Ἕλληνας διώκει.

B f. 62ᵃ ad Αἰνόθεν. Lp f. 101ᵇ.

520. πῶς ἐν τῷ καταλόγῳ φησὶν Θρήκας ἦγε σὺν Ἀκάμαντ ⟨ἀκάμαν τί B⟩ ὅσους Ἑλλήσποντος ἐντὸς ἐέργει (B 844), νῦν δὲ λέγει ὅτι Αἰνόθεν εἰληλούθει; ἢ τάχα οὗτοι μὲν πάντες περιῴκουν, τὰ δὲ βασίλεια ἐν Αἴνῳ ἦν τὰ αὐτοῦ.

E

B f. 62ᵇ ad Διομήδεϊ. L f. 91ᵇ. Lp f. 102ᵃ c. l. Διομηδέϊ. A f. 62ᵃ c. l. ἔνθ' αὖ Τυδείδῃ Διομήδεϊ.

1. Πῶς ἐν τῷ καταλόγῳ δεύτερον εἰπὼν Ἀχιλλέως Αἴαντα (B 768) τὴν πρώτην ἀριστείαν οὐ τούτῳ τῷ δὲ Διομήδει ἀνατίθησιν; ἢ ὅτι ὁ μὲν δυσκίνητος καὶ μεγαλόφρων τὴν φύσιν ὑπάρχων κατὰ πᾶσαν τὴν μάχην ἦν ἄριστος, ὁ δὲ ὀξὺς καὶ φιλότιμος ὢν ὑπὸ τῆς Ἀγαμέμνονος προτροπῆς ⟨Δ 370⟩ ἀνεπτέρωται· οἱ γὰρ νεανίσκοι καὶ θυμοειδεῖς ὑπερεθισθέντες εἰς μεγάλην τὴν ἐπίδοσιν ἀναφέρονται. ἢ ὅτι εἰς τὸν μείζονα κίνδυνον αὐτὸν φυλάττει τὸν περὶ τῶν νεῶν· ἧττον γὰρ ἀπεδίδρασκε καὶ διὰ τὸ δέος Ἀχιλλέως (H 116. 17 ?) καὶ διὰ τῶν ὅρκων τὴν ὑποψίαν. καλῶς δὲ ὁ Διομήδης προτρέπεται ἰδίᾳ· ἡ γὰρ κοινὴ πρὸς τὸ πλῆθος προτροπὴ τὸν καθ' ἕνα ἀμελέστερον ἐργάζεται, ἡ δὲ πρὸς ἕνα τινὰ μονομαχία εὐθαρσέστερον καὶ γενναιότερον.

---

1 φύξιν, ύ e corr., B 3 φύξα L 20 ἀλλὰ τῷ Δ. L ἀνατίθεται A 22 φιλότιμος ὡς A ὑπὸ τῆς τοῦ Ἀγ. L 23 ἐπτέρωται, in marg. ab ead. man ανε, Lp θυμώδεις A, θυμοειδεῖν L 25 νέων A, cui quae sequuntur desunt 27 ὑπεροψίαν L

---

15 sqq. Rem neque verba spectanti cum quaestione Porphyriana ad *B* 844 sqq. edita coniungendum est.

25 sqq. Verba inde ab *ἧττον* corruptissima et ut videtur lacunis hiantia codices secutus edidi. Ut quo modo *δέος Ἀχιλλέως* Aiacem ad maiorem virtutem impulerit versibus supra commemoratis explicari possit, quidnam *ὅρκων ὑποψία* vel *ὑπεροψία* sibi velit et cuinam adscribatur haereo.

27 sqq. Si non ad Minervae sed ad Agamemnonis (v. 9) hortationem spectant, scholium cum quaestione ad *Δ* 401 edita iungendum est; sed verba corrupte tradita iudicium constare non sinunt.

7. ἀδύνατον τοῦτο· πῶς γὰρ ἂν ἔζηϲεν ὁ οὕτω καιόμενοϲ ἀπὸ τῆϲ κεφαλῆϲ καὶ τῶν ὤμων; ἐγχειρεῖ μὲν οὖν τῷ ἔθει λύειν, ὅτι ϲυγκεχώρηται τὸ δοκεῖν τοὺϲ θεοὺϲ δύναϲθαι τοιαῦτα δρᾶν τινάϲ ἃ τοῖϲ πάϲχουϲιν ἀκίνδυνά εἰϲι κατὰ τὴν ἐκείνων προαίρεϲιν. λύεται δὲ καὶ ἐκ τῆϲ λέξεωϲ διχῶϲ, ἢ ὅτι τὸ πῦρ οὐ κυριολογεῖ ἀλλ' ἐπὶ τῆϲ λαμπηδόνοϲ τίθηϲιν, ἢ ὅτι μετωνυμικῶϲ ἀπὸ κρατόϲ τε καὶ ὤμων λέγει, ἀπὸ τῶν περιεχομένων ἐπὶ τὰ περιέχοντα· προείρηται γὰρ δαΐέ οἱ ἐκ κόρυθόϲ τε καὶ ⟨post h. v. B rasura⟩ ἀϲπίδοϲ ἀκάματον πῦρ (v. 4). ἢ καὶ ἐκ τοῦ ἔθουϲ· εἴωθε γὰρ ⟨om. B² L⟩ ἐπὶ τῶν μαχομένων τὸ πῦρ λαμβάνειν εἰϲ παράϲταϲιν ⟨B² π in ras.⟩ τῆϲ ϲυντόνου ⟨ϲυντόμου L⟩ καὶ ἐνθέρμου ὁρμῆϲ· ὥϲ οἱ μὲν μάρναντο ⟨μάρναντα L⟩ δέμαϲ πυρὸϲ αἰθομένοιο (Λ 596. N 673. P 366. C 1) καὶ (Δ 342. M 316) μάχηϲ καυϲτειρῆϲ ἀντιβολῆϲαι ⟨ἀντιβολήϲαϲ L⟩. καὶ τὰ περὶ τὸν Διομήδη οὖν παραϲτατικὰ τῆϲ κατὰ τοὺϲ ὤμουϲ καὶ τὰϲ χεῖραϲ ἐνθέρμου ὁρμῆϲ καὶ τῆϲ κατὰ τὴν κεφαλὴν πυκνοτέραϲ ἐπιϲτροφῆϲ· οὕτω γὰρ ⟨om. B²⟩ καὶ κορυθαίολοϲ ⟨κορυθαιόλοϲ BB², tum ὁ Ἕκτωρ B²⟩ εἴρηται.

*B f. 62ᵇ ad κρατόϲ. Inde a lin. 9 (εἴωθε) etiam **B f. 163ᵇ ad πυρόϲ Λ 596 (B²) et L ibid. f. 243ᵃ.

Ζωίλοϲ ⟨Ζωῖλοϲ A⟩ ὁ Ἐφέϲιοϲ κατηγορεῖ τοῦ τόπου τούτου καὶ μέμφεται τῷ ποιητῇ ⟨τὸν ποιητὴν L⟩, ὅτι λίαν γελοίωϲ πεποίηκεν ἐκ τῶν ὤμων τοῦ Διομήδουϲ καιόμενον πῦρ· ἐκινδύνευϲε γὰρ ἂν καταφλεχθῆναι ⟨καταφλεχθεὶϲ A⟩ ὁ ἥρωϲ. ἔνιοι μὲν οὖν παρειλήφθαι τὸ ὡϲ κατὰ ϲυνήθειαν τῷ ποιητῇ, ὡϲ καὶ ἐν ἑτέροιϲ· ὡϲ οἱ μὲν μάρναντο δέμαϲ πυρόϲ, καὶ ἐνθάδε τὸ δαΐέ οἱ ἀκάματον πῦρ, ἵν' ᾖ ὡϲ πυρὸϲ φανταϲία, οὐκ εἰδικῶϲ ⟨ἰδικὼϲ A⟩ πῦρ ⟨L verbis poëtae δέμαϲ πυρὸϲ addidit αἰθομένοιο, tum ita pergit: ὡϲ πυρὸϲ φανταϲίαν καὶ οὐκ εἰδικὸν πῦρ λέγει ὁ ποιητήϲ, ὃ βέλτιον ἂν εἶεν⟩.

A f. 62ᵃ c. l. ἀκάματον. L f. 92ᵃ. Cf. Cramer, An. Par. III, p. 9. 165.

20. κατηγορεῖ καὶ τούτου Ζωίλοϲ, ὅτι λίαν φηϲὶ γελοίωϲ πεποίηκε τὸν Ἰδαῖον ἀπολιπόντα τοὺϲ ἵππουϲ καὶ τὸ ἅρμα φεύγειν. ῥητέον οὖν ὅτι κατέθορε μὲν τοῦ ἅρματοϲ ὡϲ ὑπεραϲπίϲων τῷ ἀδελφῷ, εὐλαβηθεὶϲ δὲ τὸν πολέμιον εἰϲ φυγὴν ὥρμηϲεν. οἱ δὲ λέγουϲιν ὅτι εἰδὼϲ τὸ Διομήδουϲ φίλιππον διὰ τοῦτο ἐᾷ τοὺϲ ἵππουϲ, ὅπωϲ περὶ αὐτοὺϲ γένηται. ἢ ὅτι οὐκ ἐπέϲτηϲε τῷ ϲυμφέροντι· αἱ γὰρ φρένεϲ ταραχθεῖϲαι παρέπλαγξαν καὶ τὸν ϲοφόν. τοιοῦτοϲ εὑρίϲκεται παρ' αὐτῷ καὶ Ἀλέ-

*B f. 63ᵃ ad ἀπόρουϲε. L f. 92ᵇ c. l. Ἰδαῖοϲ δ' ἀπόρουϲε. Lp f. 102ᵇ et A f. 62ᵇ c. cod. l.

27 καὶ τούτου τοῦ τόπου ὁ Ζ. A πεποίηκεν ὁ ποιητὴϲ τὸν Ἰδ. A 28 A post φεύγειν ita: ἠδύνατο γὰρ μᾶλλον ἐπὶ τοῖϲ ἵπποιϲ ἀλλὰ ῥητέον ὅτι, L: δυνατὸν γὰρ μᾶλλον ἐπὶ τοῖϲ ἵπποιϲ φυγεῖν, ἀλλὰ ῥητέον ὅτι κτλ. 29 τὸν ἀδελφὸν A 30 εἰϲ φυγὴν ἐτράπη A 31 τὸν Διομ. φίλ. Lp 32 ἐπέϲπειϲε B, ἔϲπειϲε A (?), ἐπέπειϲε Lp, ἀπέϲπαϲε L, ἐπέϲτηϲε Bkk. ταραχθῆναι A 33 τὸ ϲοφ. A καὶ ὁ Ἀλ. A

5 † B f. 62ᵃ ad πῦρ (v. 7): *πῦρ ἐνταῦθα τὴν λαμπηδόνα καλεῖ.*

15—17 Cf. Porphyr. quaest. Vatic. 3 (= *B Z 359): ... *καὶ κορυθαίολοϲ οὖν ὁ ϲυνεχῶϲ κινῶν τὴν κόρυθα.*

27 sqq. Cf. Eust. p. 516, 22 sqq.

ξανδρος ἑλκόμενος ὑπὸ τοῦ ἐχθροῦ καὶ ἀγχόμενος ὑπὸ τῆς κόρυθος καὶ ἀγνοῶν χρήσασθαι τῷ ξίφει κατὰ τοῦ πολεμίου (Γ 369 sqq.).

B f. 63ᵃ ad παρ' ὄχεσφι. L f. 93ᵇ. Lp f. 102ᵇ c. l. παρ' ὄχεσφι.

28. καὶ μὴν ἀπήλαστο τὸ ἅρμα. ἢ τῷ τόπῳ τῶν ἁρμάτων φησίν. διό τινες ἔλεγον· παρ' ὄχεσφι πᾶσιν ὀρίνθη θυμός, ἵν' ᾖ οὕτως· τοῖς ἁρματηλάταις ὁ θυμὸς ὠρίνθη προσδοκῶσι τὸ δεινὸν καὶ ἐφ' ἑαυτοὺς ἥξειν. τὰ δὲ ἐπείγοντα πρῶτον εἰπὼν ἐπιφέρει καὶ τῶν Τρώων τὸ πάθος.

127. ad Z 129.

132. v. 315—41.

137. schol. de variis domiciliorum et rusticorum et urbanorum partibus quoniam casu cum h. l. in libris (*B et L) coniunctum est, in fine operis nostri edetur.

153. cf. ad A 250.

B f. 66ᵃ ad γιγνώσκων. L f. 99ᵃ. Lp f. 105ᵇ c. l. ἀσπίδι γινώσκων.

182. καὶ πῶς γινώσκει πολέμιον ὄντα; ὅτι ἔστιν ὅτε καὶ κατ' αὐτὸν τὸν πόλεμον συναντῶσιν ἀλλήλοις καὶ γνωρίζονται, ἔστι δ' ὅτε καὶ ⟨om. B Lp⟩ μὴ ὄντος πολέμου κατοπτεύοντες βλέπουσι τοὺς ἀλλήλων ἀριστεῖς.

Lp f. 107ᵃ c. l. τῆς γάρ τοι γενεῆς.

265. . . . . πόθεν δὲ οἶδεν; ἐξ αἰχμαλώτων δηλονότι, ὅθεν καὶ Ἰδομενεὺς ἔμαθε τὰ περὶ Ὀθρυονέως (N 374 sqq.). δύναται δὲ καὶ ὡς Ἀργεῖος εἰδέναι ταῦτα, εἴ γε Ἡρακλῆς ἐστράτευσεν ἐπὶ Τροίαν ⟨ἐπίνοιαν Lp⟩.

Lp f. 107ᵃ c. l. λάθρη Λαομέδοντος.

269. . . . . πῶς παρὰ τῷ Πριάμῳ τὸ γένος οὐ σώζεται; ὅτι τοὺς Λαομέδοντος Ἡρακλῆς ἀπήγαγε πορθήσας τὴν Ἴλιον.

A f. 68ᵃ c. l. βέλος δ' ἴθυνεν Ἀθήνη καὶ τὰ ἑξῆς. L f. 102ᵃ. Lp f. 107ᵇ c. l. τοῦ δ' ἀπὸ μὲν γλῶσσαν.

290. 91. ζητεῖται πῶς Διομήδους μὲν ἀκοντίσαντος πεζοῦ, Πανδάρου δὲ ἀπὸ ἅρματος, οὕτως ἐκ τοῦ κοιλοτέρου φερόμενον τὸ δόρυ κατωφερῆ πεποίηκε τὴν τρῶσιν. ἔστι δὲ λέγειν, ὅτι πρῶτον μὲν Ἀθηνᾶ ἦν ἡ κατευθύνουσα αὐτό, ᾗ ἦν δυνατὸν τοῦτο ποιῆσαι, ἔπειθ' ὅτι προσεπινεύσας ὁ Πάνδαρος ἕνεκα τοῦ θεάσασθαι, εἰ καιρίως τέτρωται ὁ Διομήδης, οὕτως ἐβλήθη διὰ τῆς ῥινὸς τὴν γλῶσσαν. οἱ δὲ ὅτι ἐν ἀνωμάλοις τόποις μαχομένων εἰκὸς τὰ μὲν ἅρματα ἐν χθαμαλωτέροις

---

1 ἀγόμενος BLLp post κόρυθος AL ins.: καὶ τῆς παρούσης συμφορᾶς 2 τῷ παρόντι ξίφει AL 24 ἐζήτηται L μὲν om. L 26 τὴν πτῶσιν Lp Ἀθηνᾶ om. Lp 27 αὐτὸ om. Lp ᾗ δυν. ἦν L ἐπειδὴ A 28 ἐτρώθη L 29 ῥηνὸς A γλῶτταν L 30 ἀνομάλοις A

1 Cf. Porph. Γ 370.

3 sqq. Cf. Nicanor (schol. A).

18—23 Quod codicis B scholia huc pertinentia non exstant e conditione fol. 68, 69 (E 259—355) explicatur; v. Hiller ap. Fleckeis. XCVII, p. 803.

24 sqq. †B f. 68ᵃ ad *βέλος δ' ἴθυνεν* (ab eo qui textum utriusque folii scripsit exaratum; id. L f. 102ᵃ): *ζητοῦσι ⟨τινες* add. L⟩, *πῶς τοῦ Πανδάρου τῷ δόρατι πεπληγότος κατὰ τὸν ὀφθαλμὸν τὸ δόρυ ἐξῆλθε διὰ ⟨κατὰ* L⟩ *τοῦ γενείου. ῥητέον οὖν ὅτι ἡ Ἀθηνᾶ μείζων οὖσα καὶ ὑψηλοτέρα ἄνωθεν κατενεχθῆναι ἐποίησε τὸ δόρυ, ἵνα παρ' ὀφθαλμόν, καὶ οὕτως λευκοὺς διεπέρησεν ὀδόντας.*

τόποις τρέχειν τοὺς δὲ πεζοὺς ἀπὸ μετεώρου μάχεσθαι, ὥστε καὶ τὸν Διομήδη ἀφ' ὕψους βεβληκέναι· ἢ ὅτι δειλωθεὶς τῇ ὁρμῇ τοῦ ἥρως ὁ Πάνδαρος συνεκάθισεν.

315—41. οὐχ ἵνα μὴ τρωθῇ· πῶς γὰρ ἐνόμισεν ἄτρωτον τὸν ἑαυτῆς πέπλον εἶναι, τιτρωσκομένων καὶ τῶν θεῶν; ἀλλ' ὑπὸ οὐδενὸς αὐτὸν ⟨αὐτῶν cod.⟩ τῶν πολεμίων ὁραθῆναι θέλει. ὡς γὰρ αὐτοὶ οἱ θεοὶ τοῖς ἀνθρώποις εἰσὶν ἀφανεῖς, οὕτω καὶ ἡ ἐσθὴς αὐτῶν ἀόρατος. πῶς οὖν ἐπιφέρει μή τις Δαναῶν ταχυπώλων χαλκὸν ἐνὶ στήθεσσι βαλὼν ἐκ θυμὸν ἕληται; ἀπὸ τοῦ ἡγουμένου ἐδήλωσε τὸ ἑπόμενον. εἰ γὰρ ὤφθη, ἴσως ἂν ἐτρώθη, καὶ τρωθεὶς ἀπέθανε. Διομήδης δὲ μόνος ἐπεδιώκει· τὴν ἀχλὺν γὰρ ἦν ἀφῃρημένος. Lp f. 108ᵃ c. l. ἀμφὶ δ' ἐὸν (v. 314.)

(336). διὰ τί κατὰ χειρὸς τιτρώσκεται ἡ Ἀφροδίτη; ὅτι τῆς χειρὸς λαβομένη ⟨ὅτι δεῖ λαβ. Lp⟩ παρήνει τὴν Ἑλένην (Γ 385). *B f. 65ᵃ ad v. 132. Lp f. 104ᵇ.

διὰ τί κατὰ χειρὸς τιτρώσκεται Ἀφροδίτη; ὅτι χειρὶ λαβομένη παρήνει τὴν Ἑλένην. καὶ ἄλλως. ἠρέθισται ἀκούσασα. L f. 96ᵇ.

341. ἄλογος ὁ συλλογισμός· οὐ γὰρ διότι σῖτον καὶ οἶνον οὐ προσφέρονται, διὰ τοῦτό εἰσιν ἀναίμονες καὶ ἀθάνατοι· πολλὰ γὰρ καὶ ἄλλα ζῶα οὐ προσφέρεται ταῦτα. λύεται δὲ ἐκ τῆς λέξεως· ὑπακοῦσαι γὰρ δεῖ τῷ οὐ σῖτον ἔδουσιν· ἀλλ' ἀμβροσίαν, τῷ δὲ οὐ πίνουσιν οἶνον· ἀλλὰ νέκταρ. *B f. 69ᵇ ad οὐ γὰρ σῖτον.

---

1 τόποις om. Lp 1. 2 ὥστε κτλ. pro his Lp ita: ἔτεμε δὲ τὴν γλῶσσαν αὐτοῦ, ὅτι ἐπιώρκησεν καὶ ὅτι δι' αὐτῆς ἐμεγαλαύχει 2—3 ὅτι — συνεκ. nov. schol. A δηλωθεὶς A, δειλιάσας L τὴν ὁρμὴν τοῦ ἥρ. ἄλλοι φασὶ συνεκ. L

---

4 sqq. Veri simillimum est brevia scholia quae ad v. 315—41 congessimus inter se cohaerere et e quaestione derivata esse a Porphyrio de pugna Diomedis et Veneris instituta. Cf. Porph. Z 129. Qui factum sit, ut nostro loco ampliora cod. B scholia non exstent, v. ad p. 80, 18.

8—11 Lp f. 108ᵇ c. l. *ἀμβροσίου* (v. 338): *καὶ πῶς αὐτὸν προβάλλεται; οὐχ ὡς ἄτρωτον ἀλλ' ὡς ἀφανείας ποιητικόν. Διομήδης δὲ ὁρᾷ αὐτὸν ὑπὸ Ἀθηνᾶς ἐνεργούμενος.*

†A f. 68ᵇ c. l. *πρόσθε δέ οἱ* (v. 315): .... *οὐχ ὡς ἀτρώτῳ δὲ περιβάλλει τὸν πέπλον αὐτῷ ἀλλ' ἵνα κρύψῃ αὐτόν* (id. L f. 103ᵃ, nisi quod *αὐτὸν τὸν πέπλον*).

12 sqq. †A f. 64ᵇ c. l. *ἀτὰρ εἴ κε* (v. 131): .... *κατὰ χεῖρα τιτρώσκεται ἡ Ἀφροδίτη, ὅτι χειρὶ λαβομένη παρῄνει τῇ Ἑλένῃ* (rel. v. ad lin. 15). Sim. Paris. ap. Cramer. III, p. 166.

15 *καὶ ἄλλως — ἀκούσασα* ex ampliore aliquo scholio male excerpta esse, schol. A v. 131 docemur (I, p. 203, 30 sq. Dind.): ..... *καὶ ἄλλως. ἠρέθισται ἀκούουσα ἡ πρακτικὴ φρόνησις καὶ* ⟨om. A⟩ *καταφρονεῖν τὸν Διομήδη ἡδονῶν παρασκευάζει* (cf. B, III, p. 236, 32 Dind.). Quae cur item ad Porphyrium referantur causa non adest.

16 sqq. †Eust. p. 551, 2 (exscript. in cod. Par. 2767, ap. Cramer., p. 209): *ἔνθα σημείωσαι ὅτι ἐν τῷ οὐ γὰρ σῖτον ἔδουσι δεῖ κατὰ τὸν Πορφύριον προσυπακούειν τὸ ἀλλ' ἀμβροσίαν κτλ.*

†Lp f. 108ᵇ *οὐ γὰρ σῖτον ἔδουσ': καὶ μὴν πολλὰ τῶν ζώων οὐ σῖτον ἔδουσιν, οὐ πίνουσιν οἶνον, καὶ οὔτε ἄναιμα οὔτε ἀθάνατά εἰσι. δεῖ τοίνυν προσυπ-*

B f. 70ᵃ ad πολλά. Lp f. 109ᵃ c. l. πολλὰ λιccομένη.

358. οὐκ εὖ φαcι προcκεῖcθαί τινεc τὸ πολλά ⟨οὐκ εὖ φαc. ἔνιοι πρόcκειται τὸ πολλά Lp⟩· καὶ γὰρ ἐραcτής ἐcτι ⟨om. Lp⟩ καὶ ἀδελφὸc καὶ τοῖc αὐτοῖc βοηθεῖ. ῥητέον δὲ ⟨om. Lp⟩ ὅτι τὸ γυναικεῖον καὶ ἀcθενὲc ἐμφαίνει ἡ πολλὴ δέηcιc καὶ τὸ γονυπετεῖν ⟨Lp add.: ἄμπυξ δὲ κτλ. quae huc non pertinent⟩.

Lp f. 110ᵃ c. l. ταῦτα δ' Ἄρηι.

430. καὶ πῶc ὕcτερον (889 sqq.) ὑβρίζει αὐτόν; ὅτι τὸ δίκαιον ὑπερέβαινεν οὐ βοηθῶν ἀλλὰ καὶ αὐτουργῶν κατὰ τῶν Ἀχαιῶν· Περίφαντα γοῦν ἀπέκτεινεν (v. 842).

B f. 71ᵇ ad δῖοι Ἀχαιοί. L f. 108ᵃ. Lp f. 110ᵇ c. l. ἀμφὶ δ' ἄρ' εἰδώλῳ δῆουν ἀλλήλων.

451. καὶ πῶc Διομήδηc οὐ μηνύει τοῖc Ἀχαιοῖc ὅτι εἴδωλον ἦν, τὴν ἀχλὺν ἀφῃρημένοc ⟨ἀφῄρηται γὰρ τὴν ἀχλὺν Lp⟩, ὄφρ' εὖ γινώcκοι ⟨γινώcκῃ Lp⟩ θεὸν ἠδὲ ⟨om. Lp⟩ καὶ ἄνδρα (v. 128); ῥητέον δὲ ⟨om. Lp⟩ ὅτι τὸ εἴδωλον ἀμφοτέρων τούτων ⟨ἀμφοῖν, om. τούτων, Lp⟩ ἐcτέρηται.

*B f. 72ᵃ ad λαιcήια. L f. 108ᵃ, Π.

453. τὸ λαιcήια εἰ καὶ ἄλλοι ἄλλωc ἀποδεδώκαcιν, ἀλλ' ἐγώ φημι cάκη λέγειν κοῦφα ἤγουν ἐλαφρά — τοῦτο γὰρ δηλοῖ τὸ πτερόεντα —, λαιcήια δὲ εἰρῆcθαι τὰ ἐν τῇ λαιᾷ βαcταζόμενα [μικρὰ ἀcπιδίcκια], ὥc ποτε ἔφη ὁ δ' ἀριcτερὸν ὦμον ἔκαμνεν ἔμπεδον αἰὲν ἔχων cάκοc αἰόλον (Π 106). πτερόεντα δὲ ὡc κοῦφα· τῷ δ' εὖτε πτερὰ γίνετο (Τ 386).

A f. 51ᵃ c. l. χρυcέῳ ἐν δαπέδῳ (Δ²). L ib. f. 72ᵃ.

504. πῶc τὸν οὐρανὸν πολύχαλκον λέγει καὶ πάλιν χρυcοῦν, ὡc τὸ χρυcέῳ ἐν δαπέδῳ (Δ 2); ἰcτέον δὲ ὅτι ὅταν μὲν cτερεὸν βούληται λέγειν, τότε πολύχαλκόν φηcιν, ὅταν δὲ καλόν, χρυcοῦν.

B f. 73ᵃ ad νεφέληcιν.

522. διὰ τί μὴ πύργοιc ἢ ὄρεcιν; ὅτι ὕcτερον κινηθήcονται.

*B f. 73ᵇ ad ἤ. L f. 110ᵇ. Cf. schol. θ 186.

533. τὸ ἤ ὅτι μὲν ταὐτὸν cημαίνει τῷ ⟨τὸ L⟩ ἔφη διcυλλάβῳ καὶ τῷ φῇ διγραμμάτῳ ῥήματι παρ' Ὁμήρῳ δῆλον, καὶ δοκεῖ γεγενῆcθαι

---

14 τὸ λαιcήιά τε πτερόεντα ἄλλοι ἄλλωc ἀποδ. ἐγὼ δέ φημι cάκη λέγειν τὰ χειροcκούτερα (?) κοῦφα ἤτοι ἐλαφρά, λαιcήια δὲ εἰρῆcθαι τὰ ἐν τῇ λαιᾷ βαcταζόμενα, ὥc ποτε ἔφη κτλ. L 16 μικρὰ ἀcπιδίcκια om. L 18 πτερόεντα δὲ ὅτι κοῦφα ἦν ὡc πτερά· τῷ δ' εὖτε κτλ. L 21 post δαπέδῳ add. L: καὶ οὐρανὸν ἐc πολύχαλκον μὲν post ὅταν om. L 22 ὅταν — χρυcοῦν om. L

ακούειν τὸ οὐ cῖτον ἀλλ' ἀμβροcίαν, οὐ πίνουcιν οἶνον ἀλλὰ νέκταρ. Eadem in cod. Parisino 2556 ap. Cramer., p. 166, mixta leguntur cum altero cod. B scholio (ap. Dind. III, p. 247, 13—16), quod huc non pertinet.

16 Eust. p. 570, 31: *Ἡρωδιανὸc δέ φηcι καὶ πάντα τὰ κατὰ μάχην cκεπαcτήρια λαιcήια λέγεcθαι διὰ τὸ ἐν τῇ λαιᾷ φέρεcθαι* (cf. Lentz I, p. 361, 14).

20—22. Cf. Paris. ap. Cram., A. P. III, p. 198.

23. Id. L f. 110ᵃ, Lp f. 112ᵃ (supra *νεφέληcιν* cscrpt.).

24 sqq. Scholium quod h. l. edidimus vix quisquam ad Porphyrium referret, nisi in codice quodam eum auctorem prae se ferre Dindorfius testaretur (cf. Phil. XVIII, p. 343); partem extremam olim Brunckius (lex. Soph. p. 723) ut Porphyrianam e schol. MS. h. v. attulit. Neque video, cur codicum auctoritati fides deneganda sit. Nam ut Porphyrium data opera in *ἤ* verbi naturam inquisivisse a studiorum eius ratione alienissimum sit, nihil tamen obstat quominus statuatur, scholium fragmentum esse quaestionis nunc quidem deperditae. Cui quaestioni causam praebere potuit *Τ* 114, ubi Zenodoto *ἡ δ' ἄμυδις καλέcαcα θεοὺc ῥεῖα*

τὸ ἦ ἀπὸ τοῦ φῇ κατὰ ἀφαίρεσιν τοῦ φ̄. ζητοῦσι δὲ τίς ἡ διαφορὰ τοῦ ἦ πρὸς τὸ φῇ. διαφέρειν δὲ φαίνεται, ὅτι τὸ μὲν ἦ ἐπὶ προειρημένοις λόγοις ἐπιλέγεται, οἷον ἐν τούτοις· ἦ καὶ κυανέῃσιν ⟨κυανέοισιν L⟩ ἐπ' ὀφρύσι νεῦσε Κρονίων (A 528), ἦ καὶ ἐπ' ἀργυρέῃ κώπῃ σχέθε χεῖρα βαρεῖαν (A 219)· προειπόντος γὰρ τοῦ Διὸς καὶ τοῦ Ἀχιλλέως, ταῦτα ὁ ποιητὴς λέγει, καὶ δι' ἀμφοτέρων ὅλων τῶν ποιήσεων οὕτως αὐτὸ καὶ μόνον ὑποτάττει. τὸ δὲ φῇ καὶ τὸ ἔφη καὶ προτάσσεται τῶν ῥηθησομένων λόγων καὶ τούτοις ὑποτάσσεται. καὶ μία μὲν αὕτη διαφορὰ τοῦ φῇ καὶ ⟨τοῦ ins. L⟩ ἔφη πρὸς τὸ ἦ, δευτέρα δὲ αὕτη· τὸ μὲν γὰρ ⟨om. L⟩ ἦ καθ' ἕνα σχηματισμὸν ἐκφέρεται καὶ σημαίνει ῥῆμα τὸ ἦ, εἶπεν, ὁριστικὸν ἑνικὸν ἀορίστου χρόνου δηλωτικὸν ὑπάρχον τρίτου προσώπου, τὸ δὲ φῇ κλίσιν εἰς ἅπαντας χρόνους καὶ τοὺς ἀριθμοὺς καὶ τὰ πρόσωπα καὶ τὰ γένη λαμβάνεται ⟨λαμβάνει L⟩, καὶ τρέπεται καθάπερ τῶν ἄλλων ῥημάτων τὰ παραπλήσια.

παρὰ δὲ τοῖς Ἀττικοῖς ἔστι τι μονοσύλλαβον ῥῆμα καὶ μονογράμματον ἦ, σημαίνει δὲ δύο, τὸ μέν τι ⟨μέντοι BL, corr. Bkk.⟩ ταὐτὸ ⟨ταὐτὸν L⟩ τῷ παρ' Ὁμήρῳ· χρῶνται γὰρ αὐτῷ παραπλησίως ἀντὶ τοῦ ⟨om. L⟩ ἔφη κατὰ τοῦ τρίτου προσώπου, τὸ δέ τι ταὐτὸν τῷ ὑπῆρχον ⟨τὸ — ὑπηρχ. quae B et L om., praeeunte Dindorfio e schol. Od. addidi⟩, ὃ ποιεῖ ἦν, ὅπερ ἐπιπολάζει νῦν. τῶν δὲ Ἀττικῶν οἱ μὲν ἀρχαῖοι μονογράμματον αὐτὸ προεφέροντο, οἱ δὲ νεώτεροι σὺν τῷ ν, καθάπερ τῶν πρεσβυτέρων τινές. χρῆται δὲ τούτῳ ⟨τοῦτο L⟩ ὁ ποιητὴς ποτὲ μὲν εἰς δύο συλλαβὰς διαιρῶν αὐτὸ καὶ δύο γράμματα βραχέα, οἷον ἐπὶ τοῦ Νέστορος εἴ ποτε ⟨κοῦρος ἔα e schol. Od. add. Dind.⟩ νῦν αὐτέ με γῆρας ἱκάνει (Δ 321), καὶ τοῖος ἔα ἐν πολέμῳ, ἔργον δέ μοι οὐ φίλον ἦεν (Ξ 222). τούτων τὸ πρότερον ἐκτείνων γράμμα εἰς τὸ συγγενὲς τὸ η̄, οἷον ἀλλ' ὅτε δὴ ⟨μὴ L⟩ σχεδὸν ἦα κιὼν νεὸς ἀμφιελίσσης (κ 156)· ἐν γὰρ τούτοις ταὐτόν τι λέγει τῷ ⟨τὸ codd., corr. Bkk.⟩ ἤμην. τὸ δὲ μονοσύλλαβον οὐχ εὑρίσκομεν παρ' αὐτῷ κατὰ τῆς δυνάμεως ⟨τὴν δύναμιν L⟩ ταύτης ἀλλὰ κατὰ τὴν ἑτέραν ⟨τῆς ἑτέρας L⟩ μόνον. τῶν δὲ Ἀττικῶν ἐστι παρὰ Κρατίνῳ ⟨κρατύνῳ L⟩ ἐν Πυτίνῃ· γυνὴ δ' ἐκείνου πρότερον ἦ ⟨ἦν codd., corr. Buttm.⟩, νῦν δ' οὐκέτι, καὶ παρὰ τῷ ⟨om. L⟩

ζώοντας scribenti Aristarchum oblocutum de verbi ἦ usu egisse Ariston. docet; potuit *A* 117, ita ut simili modo, quo in Apollon. lex. (v. ἦ), Etymologico M. (imprimis p. 414, 52; 415, 4; 415, 16—20; 415 extr.—416, 9, quae cum schol. A *A* 219 congruunt), Epimerismis factum est, Porphyrius quoque varias verborum ἦ et ἦ notiones inter se comparasse videri possit. Quae coniectura si vera est, haud scio an schol. ad *E* 886 referendum sit.

2—7 Sequi videtur Didymum (schol. A *T* 114) Aristarchi praeceptum (Lehrs, Ar. p. 95) tradentem.

19 sqq. Ex multarum rerum consensu, qui nostro loco cum Choerobosco intercedit, concludendum videtur, Porphyr. h. l. Herodianum sequi (v. Lentz, Herod. II, 1, p. 326, 29; 2, p. 835, 23).

Cοφοκλεῖ ἐν τῇ Νιόβῃ· ἦ γὰρ φίλη ἐγὼ τῶνδε τοῦ προφερτέρου, καὶ ἐν Οἰδίποδι τῷ ἐπὶ Κολωνῷ (ἐπικλωνῷ L, potius τῷ Τυράννῳ, v. 1123)· ἦ ⟨ἦν codd.⟩ δοῦλος οὐκ ὠνητὸς ἀλλ' οἰκοτραφής, καὶ παρὰ Πλάτωνι τῷ φιλοσόφῳ (Rep. I, p. 328 C)· οὐ γὰρ ἐγὼ ἐν δυνάμει ἦ ⟨codd. ἦν⟩ τοῦ ῥᾳδίως. 5

*B f. 74b ad Πυλαιμενέα (corr. e — μένεα). L f. 112a. id. f. 113a, Π.

576. τὸ ἔνθα Πυλαιμένεα ⟨—μενέα B⟩ ἑλέτην ⟨εἰς τὸ ἔνθα Πυλ. ἑλ. L⟩ μάχεται τῷ ἐν τῇ παρὰ νηυσὶ μάχῃ ζῶντι καὶ ἑπομένῳ τῷ παιδὶ Ἁρπαλίωνι· παρὰ δέ σφι πατὴρ κίε δάκρυα λείβων (N 658). ἡ δὲ λύσις ἀπὸ τῆς λέξεως· καὶ γὰρ ὁ Πυλαιμένης ⟨—μενὴς B⟩ ὁμώνυμος εἶναι δύναται, καὶ τὸ μετὰ δέ σφι πατὴρ κίε δάκρυα λείβων 10 μετωνυμικῶς· ἐκδέχεται ἡ τοῦ πατρὸς μνήμη. καὶ τὸ ἔνθα Πυλαιμένεα ⟨—μενέα B⟩ ἑλέτην οὐ πάντως ἐστὶν ἀνεῖλον, ἀλλὰ κατέλαβον, ὡς ἐπὶ τοῦ ζωὸν ἕλ' ⟨ἕλον B L⟩· ἵππω γάρ οἱ ἀτυζομένω πεδίοιο (Z 38). οὐδὲ γάρ ἀγῶνα αὐτοῦ εἴρηκεν, οἷα εἴωθε λέγειν τοῖς ἀποθανοῦσι· τάχα οὖν αὐτὸς ⟨αὐτὸ L⟩ μόνον τέτρωται. 15

Lp f. 113a c. l. ἔνθα Πυλαιμένεα. B f. 74a ad Πυλαιμενέα (v. spr.) et L f. 112b inde a lin. 17.

σκόπει τὴν φράσιν [ἕλετο] ἑλέτην· ἐπόρθησαν, διὰ τὸν ἡνίοχον καὶ τοὺς ἵππους, ἢ συλληπτικῶς· τώ τε Θρήκηθεν ἄητον (I 5). πῶς οὖν τῷ υἱῷ ἕπεται δάκρυα λείβων ἐν τῇ ἐπὶ ταῖς ναυσὶ μάχῃ· ἔνθα οἱ υἱὸς ἐπᾶλτο Πυλαιμένεος βασιλῆος (N 643); ἔστιν οὖν ὁμωνυμία, καὶ ὁ μὲν ἀρχηγός, ὡς Ἴασος αὖτ' ἀρχὸς μὲν ['Αθηναίων 20 ἐτέτυκτο, O 337], ὁ δὲ βασιλεύς. διὸ πολλὴ γίνεται περὶ αὐτῶν σπουδὴ τῶν Παφλαγόνων καὶ Ἀλεξάνδρου. πῶς δὲ ὁ Ἁρπαλίων ἐνταῦθα οὐκ ἐπήμυνε τῷ πατρί, εἰ τούτου ἦν υἱὸς τοῦ Πυλαιμένεος;

B f. 182a ad Πυλαιμενέος N 643.

ἔνιοι τοῦτον (N 643. 658) ἐνόμιζον εἶναι τὸν ἐν τῷ Ε ἀναιρεθέντα.

---

17 secundum Dindorfium (Phil. XVIII, p. 343) ex auctoritate unius vel plurium codicum („nach handschriftlicher auctorität"), quos non nominavit, verbis πῶς οὖν κτλ., quibus in B et L scholium incipit, praemittendum ἑτέρου εἰς τὸ αὐτό. Quod si recte se habet, tamen non sufficit ad originem scholii a Porph. abiudicandam 19 οἱ om. Lp ἔνθα γάρ οἱ BL Πυλαιμενέος corr. e Πυλαιμένεος B 20. 21 καὶ ὁ μὲν βασιλεὺς οὗτος δὲ ἄρχων BL καὶ ὁ μὲν ἀρχηγὸς ὡς ἴασος ναύταρχος μὲν ὁ δὲ βασιλεὺς Lp 21 διὸ καὶ ἡ πλείων σπουδὴ ἐκεῖσε γίνεται Παφλ. καὶ Ἀλεξ. BL, qui reliquis carent 23 Lp add.: Πυλαιμένεα δὲ ὡς Διομήδεα 24 scholio L praemittitur: ζήτει ἑτέραν ἀπορίαν συμβαλλομένην ἐνταῦθα εἰς τὴν Ἰλιάδα τοῦ ε' τὸν στίχον ἔνθα Πυλαιμένεα ἑλέτην (?) ἀτάλαντος Ἄρηι, tum inc.: ἔνιοι δὲ τοῦτον

---

6 sqq. Temporibus Aristarcho iam superioribus huius difficultatis solutiones quaesitas esse dipla docet versui *B* 851 apposita, ad quam ita Aristonicus: *ὅτι οὗτός ἐστι Πυλαιμένης περὶ οὗ πολλοὶ τῶν ἀρχαίων ἐζητήκασιν.* Zenodotum eam ob caussam in rhapsodia *N Κυλαιμένεα* scripsisse pro *Πυλαιμένεα* praeter fragmentum cod. A a Dindorf. vol. I, p. 1 editum Eustathius (ad *N*, p. 953, 29) auctor est, cui si fides haberi potest, iam ante Zenodotum difficultatis vitandae caussa *N* 658 de anima Pylaemenis insepulti intellectus est, unde haud scio an recta lin. 11 supra editae interpretatio petenda sit.

17 Cf. ipsum Porphyr. *I* init.

24 sqq. †A f. 176b ad *N* 658. 59 (id. L f. 290a): *ἐζήτηται πῶς ἀνωτέρω ἀν-*

ἔνθα Πυλαιμένεα ἑλέτην ἀτάλαντον Ἄρηι ἀρχὸν Παφλα- L f. 290ᵃ.
γόνων. ἔστιν οὖν ὁμωνυμία, ἐκείνου μὲν ἄρχοντος ὄντος, τούτου δὲ Lp f. 220ᵇ c. l.
βασιλέως. πολλαὶ γὰρ παρὰ τῷ ποιητῇ ὁμωνυμίαι· Σχεδίοι γὰρ δύο υἱὸς ἐπάλτο
Φωκέων ἡγούμενοι, ὁ μὲν Περιμήδους (Ο 515), ὁ δὲ Ἰφίτου (Β 517), Πυλαιμένεος.
οὓς ἀμφοτέρους Ἕκτωρ ἀναιρεῖ. Εὐρυμέδοντες δύο ἡνίοχοι, ὁ μὲν Ἀγαμέμνονος (Δ 228), ὁ δὲ Νέστορος (Θ 114. Λ 620). κήρυκες Εὐρυβάται δύο, ὁ μὲν Ὀδυσσέως (Β 184. τ 246), ὁ δὲ Ἀγαμέμνονος (Α 320. Ι 170). Ἄδραστοι τρεῖς βάρβαροι, ὁ μὲν ὑπὸ Διομήδους (Λ 328), ὁ δὲ ὑπὸ Μενελάου (Ζ 51), ὁ δὲ ὑπὸ Πατρόκλου (Π 694) ἀναιρούμενος. Ἀκάμαντες δύο, ὁ μὲν Εὐσώρου (Ζ 8), ὁ δὲ Ἀντήνορος (Β 823). Ἀστύνοοι δύο, ὁ μὲν ὑπὸ Διομήδους ἀναιρούμενος (Ε 144), ὁ δὲ Πολυδάμαντος ἡνίοχος (Ο 455). Θόωνες βάρβαροι τρεῖς, ὁ μὲν ὑπὸ Διομήδους (Ε 152), ὁ δὲ ὑπὸ Ὀδυσσέως (Λ 422), ὁ δὲ ὑπὸ Ἀντιλόχου (Ν 545) ἀναιρούμενος. Μελάνιπποι τρεῖς, ὁ μὲν ὑπὸ Ἕκτορος παραινούμενος ἐμπεσεῖν ταῖς ναυσίν (Ο 547), ὁ δὲ ὑπὸ Τεύκρου (Θ 276), ὁ δὲ ὑπὸ Πατρόκλου (Π 695) ἀναιρούμενος. Ὀφελέσται δύο * * * * * ὁ μὲν ὑπ' Εὐρυπύλου, ὁ δὲ ὑπ' Αἴαντος. Πυλάρται δύο, ὁ μὲν ὑπ' Αἴαντος (Λ 491), ὁ δὲ ὑπὸ Πατρόκλου (Π 696). Πείσανδροι δύο, ὁ μὲν ὑπὸ Ἀγαμέμνονος (Λ 122), ὁ δὲ ὑπὸ Μενελάου (Ν 601).

584. πῶς ἐπὶ τοῦ ἅρματος ἑστηκὼς τὴν κεφαλὴν ξίφει πλήττεται; τάχα οὖν τὰς ἡνίας ἀναλαβεῖν θέλων ⟨ἐθέλων Lp⟩ ἢ ναρκήσας ὑπὸ τῆς πληγῆς κατέκυψεν ⟨κατέκυψεν ante ἢ ναρκ. Lp⟩. B f. 74ᵇ ad κόρσην. L f. 113ᵃ. Lp f. 113ᵃ c. l. ξίφει ἤλασε.

631. . . . . πῶς οὖν συγγενεῖς ὄντες μάχονται; οὐκ ἐδόκει μιαρὸς B f. 75ᵇ ad υἱωνός.

---

1. 2 ἔνθα — Παφλαγόνων om. L 3 Σχέδιοι B 8—12 ὁ μὲν ὑπὸ — βάρβαροι τρεῖς om. L 9 ἀναιρούμενος post Διομήδους lin. 8 Lp collocat 10 εὐσώρου ὁ μὲν Lp 14 ἀναιρούμενοι Lp μελανίποδες L 15 ἐμπεσὼν L 16 lacuna, cuius in codd. vestigium non exstat, ita fere explenda: ὁ μὲν ὑπὸ Τεύκρου (Θ 274) ὁ δὲ ὑπ' Ἀχιλλέως (Φ 210), Ὀφέλτιοι δύο. Quae sequuntur ita corrigenda: ὁ μὲν ὑπ' Εὐρυάλου (Ζ 20) ὁ δὲ ὑφ' Ἕκτορος (Λ 302) 23 praemittitur in codd.: ταχέως ἄμφω ἐδήλωσε· τὸν μὲν γὰρ ἴσμεν διὰ τοῦ καταλόγου, τὸν δὲ νῦν ⟨om. Lp⟩ γνωσόμεθα. Pergit Lp: πῶς δὲ συγγ. ὄντες

γρημένος ὑπὸ Μενελάου ὁ Πυλαιμένης τὰ νῦν δύναται ἀκολουθεῖν τῷ παιδὶ καὶ κλαίειν. ἔστι δὲ λέγειν ⟨ῥητέον οὖν L⟩ ὅτι δύο Πυλαιμένεις Παφλαγόνων ἡγεμόνας συνίστησιν ὁ ποιητής, ὡς Αἴαντας δύο καὶ Εὐρυβάτας δύο κήρυκας τὸν μὲν Ἀγαμέμνονος, τὸν δὲ Ὀδυσσέως ⟨ὀδυσσέος A⟩. ἔνιοι δὲ πιθανῶς μεταγράφουσι μετὰ δ' οὗ σφι ⟨σφίσι L⟩ πατὴρ κίε δάκρυα λείβων ⟨A nonnulla addit aliunde illata⟩.

1 sqq. Aristarchum homonymias notasse dipla apposita *πρὸς τὰ περὶ Πυλαιμένους* res nota, v. e. c. A B 837 Ariston.

3 †B f. 32ᵃ ad *Σχεδίος* B 517 (id. Lp f. 75ᵇ, c. l. *Σχέδιος*): *δύο Σχεδίοι παρ' Ὁμήρῳ, Σχεδίον Περιμήδεος υἱόν* (O 515) *καὶ Σχεδίον μεγαθύμου Ἰφίτου υἱόν* (P 306). *καὶ δύο Εὐρυβάται κήρυκες, ὁ μὲν Ἀγαμέμνονος ὁ δὲ Ὀδυσσέως. πάλιν τε δύο Εὐρυμέδοντες, ὅ τε Ἀγαμέμνονος καὶ ὁ Νέστορος ἡνίοχος.*

7 †Lp (f. 68ᵃ) B 184 de Eurybate: *ἕτερός ἐστιν οὗτος παρὰ τὸν Ἀγαμέμνονος, ὡς Πορφύριος. διὸ καὶ τὸ Ἰθακήσιος προσέθηκεν.*

23 sqq. Cum duobus scholiis quae coniungenda videntur haud scio an etiam

L f. 113ᵇ. Lp f. 113ᵇ. εἶναι ὁ ἐν πολέμῳ θάνατος. ἄλλως τε καὶ ἀρνοῦνται τὴν συγγένειαν· φησὶ γὰρ ὅτι ψευδόμενοι δέ σέ φασι Διὸς γόνον (v. 635).

B f. 76ᵃ ad κατ' ὀφθαλμῶν v. 659. .....ὑπὸ συγγενοῦς δὲ ἀναιρεῖται, ὅτι καὶ συγγενῆ ἀνεῖλε τὸν Λικύμνιον· φίλον γὰρ μήτρωα κατέκτα (B 662).

L f. 115ᵃ. 695. Δ 491. 5

741. B 447 (p. 44).

B f. 78ᵃ ad πάτερ. 757. χαριέντως τὸν υἱὸν ἁμαρτάνοντα παρὰ γνώμην τοῦ κυρίου κολάζειν οὐκ ἐπιχειρεῖ. πῶς οὖν Ἀθηνᾶ τοῦτο οὐκ ἀναμένει; ὅτι οὐκ
L f. 119ᵃ. ἴδιον Ἀφροδίτης πόλεμος, ὡς καὶ Ζεύς· οὔ τοι, τέκνον ἐμόν, δέδοται πολεμήια ἔργα (v. 428). 10

771. *B (id. L f. 119ᵃ, Π) ad ν 103 pertinet, quem versum quaestioni instituendae ansam dedisse Etym. M. v. ἡεροειδές docet: ... καὶ γὰρ ἄτοπον θεοῖς σκοτεινὸν ἀνεῖσθαι.

L f. 120ᵃ, Π. Scor. ap. Dind., vol. IV, p. 411, Π. 778. τὸ τρυφερῶς ὡς πελειάδας πορεύεσθαι ἀπρεπές. λύεται δὲ ἐκ τῆς λέξεως· τὰ γὰρ ἴθματα οὐκ ἔστιν ἴχνη, ἀλλ' ὁρμήσεις ⟨ὁρμήματα 15 Scor.⟩ καὶ πτήσεις.

*B f. 78ᵇ ad τρήρωσι. L f. 120ᵃ. οὐ περιστεραὶ γενόμεναι, ἀλλ' ὅμοιαι ⟨ὁμοῖαι B⟩ τοῖς ἴθμασιν, ἤγουν τοῖς ὁρμήμασι καὶ ταῖς πτήσεσι, τῶν περιστερῶν εἰς τὸ στρατόπεδον ἔρχονται· τὸ γὰρ ὡς πελειάδας τὰς θεὰς πορεύεσθαι ἀπρεπές.

B f. 78ᵇ ad ἴθμαθ'. L f. 120ᵃ. Lp f. 117ᵃ c. l. τρήρωσι πελειάσιν. τὴν ὁρμὴν καὶ τὴν πτῆσιν· ἄτοπον γὰρ τρυφερῶς βαδίζειν τὰς εἰς 20 πόλεμον ἐσκευασμένας. ἄλλως. καλῶς τῶν βουλομένων λαθεῖν τὰ ἴχνη περιστεραῖς εἴκασεν. ἀφανῆ γὰρ αὐτῶν τὰ ἴχνη, ὡς Ἀριστοτέλης. ἢ καὶ διὰ τὸ καθαρὸν ἢ διὰ τὸ ταχύ.

857. Φ 407.

B f. 81ᵃ ad αὐτοῦ (υ e corr.) 886. καὶ πῶς ἂν ὁ Ἄρης ἔπασχε δεινὰ ἐν τοῖς νεκροῖς κείμενος; 25

---

2 φησὶ γὰρ ὅτι om. Lp 3 praemittitur in codd.: τοῦ βρόγχου ⟨βρόγχμου B⟩ διαιρεθέντος καὶ τῆς ἀναπνοῆς εἰργομένης ταχὺς ὁ θάνατος ἐπεγένετο 17 scholium in cod. L praecedenti praemisso ἄλλως subiungitur 18 ἤγουν — πτήσεσι om. L 19 τὸ γὰρ — ἀπρεπές om. L 20 ἀπὸ γὰρ τοῦ τρ. βαδ. L 21 βουλευομένων Lp μαθεῖν pro λαθεῖν Lp 22 ἀφανῆ γὰρ τὰ τῶν περιστερῶν ἴχνη καὶ Ἀριστοτέλης λέγει. ἄλλως. πρὸς τὸ καθαρὸν καὶ ταχύ. ὅτι γὰρ καὶ ταχὺ δῆλον ἀφ' οὗ τὴν κομιδὴν τῆς ἀμβροσίας (μ 63) πεπίστευνται ⟨πεπίστευται cod.⟩ Lp, cf. Victor. ap. Roemer., de schol. cod. Venet. B exegeticis. p. 87

---

illud cohaereat, quod in B (f. 40ᵇ) et Lp (f. 82ᵃ) ad B 876 adscriptum legitur de Sarpedone: *εἴασε νῦν τὸ γένος αὐτοῦ, ἵν' ἐν ἄλλῳ τόπῳ μνείαν τούτου ποιούμενος πρὸς πλείονα αὐτὸ ποικιλίαν ἔχῃ.* — Ceterum de pugna amborum aliter in quaestione ad Z 234 (p. 97, 10) iudicatur, quae ipsum magis Porphyrium reddit.

14 sqq. Quod primum posuimus scholium casu Porphyrii nomen servavisse neque propius quam cetera ab ipsa cuius auctor fuerit quaestione abesse, vix est quod moneamus.

15 Hesych. *ἴθματα· ὁρμάς, βήματα, ἀπὸ τοῦ δι' αὐτῶν ἰέναι. καὶ ἴχνη.*

25 sqq. Veri haud dissimile est, cum hac quaestione, quae nescio an cum schol. *A* 117 et *E* 533 (ubi vid.) cohaereat, praeterea iungendum esse

εἰ μὲν γὰρ ζῶν, πῶς ἐπιφέρει διαστέλλων ἤ κεν ζὼς ἀμενηνός; εἰ L f. 123ᵃ.
δὲ καὶ τεθνηκώς, πῶς ἀποθανεῖν ἠδύνατο, ὡς καὶ ἀποθανὼν ἔτι ἔπασχε Lp f. 119ᵃ c. l.
δεινά; λύσις γὰρ τῶν δεινῶν ὁ θάνατος. ῥητέον δὲ ὅτι ὁ δεύτερος ἤ ἤ τέκε δηρόν.
ἀντὶ τοῦ εἴ συναπτικοῦ κεῖται, ὡς τὸ ὄφρα καὶ Ἕκτωρ εἴσεται, ἤ
5 καὶ ἐμὸν δόρυ μαίνεται ἐν παλάμῃσιν (Θ 111), καὶ ὁ λόγος
οὕτως· δεινὰ ἂν ἔπασχον ἐν τοῖς νεκροῖς κείμενος, εἰ ζῶν ἀσθενὴς διὰ
τὸ τραῦμα ἦν.

890. ad Φ 389.

Z

6. Ζητεῖται πῶς Αἴας ἀνελὼν τὸν Ἀκάμαντα φόως δ' ἑτάροισιν *B f. 81ᵇ ad
10 ἔθηκε μήπω ἀριστείας αὐτοῦ παραδεδομένης; ῥητέον οὖν ὅτι κατὰ φόως.
τοῦτο φοβερὸς ἔδοξεν ὁ Ἀκάμας εἶναι, καθὸ ὁ Ἄρης αὐτῷ ἀπείκασται
πολλοὺς Ἑλλήνων ἀναιρῶν.

15. τὸ ὁδῷ ἔπι οἰκία ναίων οὐκ ἔστι τὸ παρὰ τὴν ὁδὸν οἰκῶν, *B f. 81ᵇ ad ἐπί.
ἀλλ' ἡ ἐπί δηλοῖ ἐν τούτοις τὸ ὑψηλὸν ἀπὸ τῆς γῆς. ἐπεὶ τοίνυν L f. 125ᵇ, Π.
15 ἐστὶν ἡ οἰκία ὑψηλοτέρα τῆς γῆς, καὶ ὁ οἰκῶν ἐν αὐτῇ ἐπάνω γῆς

---

1 εἴ κεν ζὼς B, εἴ κε ζὼς L, ἤ κε ζὼς ἀμεν.ἔα Lp 2 post πῶς ins. θεὸς Lp ἔτι om. Lp 3 ῥητέον δὲ ὅτι κτλ. L f. 123ᵇ praemissis verbis λύσις τοῦ ὄπισθεν ῥητέον οὖν ὅτι Lp ἡ δεύτερος ἤ Lp 4. 5 εἰ καὶ Lp, qui ἐν παλάμῃσιν — οὕτως om. 7 addit L: τὸ δὲ ζὼς ἀπὸ τοῦ ζωός, ἡ γενικὴ ζώου, Lp: ζῶς, ἡ γενικὴ ζωοῦ, ἀπὸ τοῦ ζωός ἐστιν ἡ συναίρεσις, quae in B novum schol. efficiunt 10 αὐτοῦ correxi ex αὐτοῖς cod. 13 ἐπὶ BL

---

schol. A f. 42ᵇ ad Γ 46 (*ἦ τοιόσδε ἐών*): *ἐνταῦθα δὲ ἐγκλίνεται ὁ σύνδεσμος ὁμοίως τῷ ἤ καὶ* ⟨*τὸ ἤ κε* cod.⟩ *Λαέρτῃ αὐτὴν ὁδὸν ἄγγελος ἔλθω*; (*π* 138). *καί μοι δοκεῖ ἰσοδυναμεῖν τῷ εἴ. λέγω δὲ τὸ τοιοῦτον· εἴ ἤδη σάφα οἶδε περώφρων Πηνελόπεια* ⟨*ω* 404, e corr. Lehrsii, quaest. ep., p. 60, nisi quod pro *ἤ* posuimus *εἴ*). Quae verba Porphyrium potius quam Nicanorem, ceterum a mira ea particulae *ἤ* interpretatione non alienum (v. Friedl., Nic. p. 32), repraesentare, etiam Lehrsius l. c. censuit. Videntur et hoc et quod supra edidimus scholium ex uberiore quaestione, qua non solum de *E* 886 et *Γ* 46 sed etiam *π* 138 et *ω* 404 Porphyrius egerit, excerpta esse. — Schol. h. l. editum Eust. *E*, p. 618, 5, ante oculos habuit (cf. eund. *Γ*, p. 407, 18).

13 sqq. Haec non huius loci occasione oblata a Porphyrio disputata sed ad alium locum pertinentia casu huc translata esse admodum veri simile videtur. Cum in scholio ad Z 273 servato Porphyrius commemoret, nonnullos praepositionem *ἐπί* et aliis locis et *ζ* 52 (*ἡ μὲν ἐπ' ἐσχάρῃ ἥστο*) ita explicavisse ut *παρά* significare statuerent, concludat aliquis, uberiorem olim eo loco quaestionem exstitisse; in qua Porphyrium illorum opinioni oblocutum ea quae h. l. legantur attulisse. Idem statuerit quis de versu *λ* 314 (*Ὄσσαν ἐπ' Οὐλύμπου μέμασαν θέμεν*), ubi item fuisse qui *ἐπί* idem esse vellent atque *παρά* Epimer. Oxon. I, p. 144, 26 docent. Accedit quod non solum de *λ* 314. 15 *τοὺς λυτικούς* in universum, sed de v. 316. 17 certe nominatim Porphyrium egisse Eust. perhibet (p. 1687, 29. 32, cf. schol. HQ). Nihilominus incertiora haec sunt; itaque praestat frustula illa suo quodque versui adscriptum edere.

Idem scholium forma paullo breviore ad *ζ* 305 in cod. E legitur: *ἡ δ' ἧσται*

οἰκεῖ. οὕτως ἔφη καὶ τὸ τὴν μὲν ἔπειτ' ἐπὶ βωμὸν ἄγων πολύμητις Ὀδυσσεύς (A 440), ἤγουν οὐ παρὰ τὸν βωμόν, ἀλλ' ἐπὶ τὸν βωμόν, ὅτι κυρίως βωμὸς κατασκεύασμα ἐλέγετο ἀναβαθμοὺς καὶ βήματα ἔχον, ὑψηλὸν ἀπὸ τῆς γῆς. διὰ τοῦτο οὖν ἐπὶ βωμὸν Ὀδυσσεὺς ἄγει. καὶ οὗτος μὲν ὁ βωμὸς θυήεις, εἰς ὃν ἀναβαίνειν ἔστιν. ἔστι δὲ καὶ ἄλλος, ὅπου τὰ ἅρματα ἐτίθετο· ἅρματα δ' ἂμ βωμοῖσι τίθει (Θ 441), καὶ ἐπὶ τούτου οἰκείως χρησάμενος τῇ ἀνά προθέσει. καὶ τὸ ἡ δ' ἧσται ἐπ' ἐσχάρῃ (Z 305) σημαίνει ὡς τοῦ θρόνου ὑψηλοτέρου ὄντος τῆς ἐσχάρας. καὶ τὸ γενεὴ δέ τοι ἔστ' ἐπὶ λίμνῃ Γυγαίῃ (Υ 390)· ἡ γένεσις καὶ ἡ γονὴ καὶ ὁ τόπος ἐν ὕψει τῆς λίμνης.

B f. 81ᵇ ad οὕτις. L f. 125ᵇ. Lp f. 120ᵃ c. l. ἀλλά οἱ οὕτις.

16. δοκεῖ ἡ προσθήκη αὕτη τὸ κάλλιστόν τε καὶ βιωφελὲς ἐξευτελίζειν ὡς οὐκ ὂν καλόν· καίτοι μᾶλλον ἐχρῆν καὶ βοηθόν τινα ἐκ θεῶν τούτῳ ἀναπλάσαι, ἵν' ἡμεῖς προτρεπώμεθα ἐπὶ τὸ φιλόξενον. ἢ οὖν ἁπλῶς ἀναπεφώνηται, ὡς τὸ οὐδὲ ἐκηβολίαι (Ε 54). ἢ ἀποδοκιμάζει τὴν ἄκριτον φιλοξενίαν καὶ τὸ μὴ ἐπικρίνειν ποῖός τίς ἐστιν ᾧ μέλλει δεξιὰν συνάπτειν. ἐναρέτων γὰρ ἴδιον οὐχὶ τὸ πάντας φιλεῖν ἀλλὰ τινάς· διὸ οὐδένα φίλον ἔσχεν. εἶτα καὶ ἐπιορκίᾳ μετὰ τῶν ἄλλων ὑπόκειται· τὰ δὲ καλὰ καθαρεύειν ἀπὸ τῶν ἐναντίων ὀφείλει.

B f. 82ᵇ ad ὄντινα (spir. in ras.). L f. 126ᵇ. Lp f. 121ᵃ c. l. μηδ' ὄντινα γαστέρι.

58. μισητὰ καὶ οὐχ ἁρμόζοντα βασιλικῷ ἤθει τὰ ῥήματα· τρόπου γὰρ ἐνδείκνυσι θηριότητα, ὁ δὲ ἀκροατὴς ἄνθρωπος ὢν μισεῖ τὸ ἄγαν πικρὸν καὶ ἀπάνθρωπον. ὅθεν κἂν ταῖς τραγῳδίαις κρύπτουσι τοὺς δρῶντας τὰ τοιαῦτα ἐν ταῖς σκηναῖς καὶ ἢ φωναῖς τισιν ἐξακουομέναις ἢ δι' ἀγγέλων ὕστερον σημαίνουσι τὰ πραχθέντα, οὐδὲν ἄλλο ἢ φοβούμενοι μὴ αὐτοὶ συμμισηθῶσι τοῖς δρωμένοις. δεκτέον δὲ λέγειν ὅτι, εἰ μὲν ἔλεγε ταῦτα πρὸ τῆς ἐπιορκίας, ἦν ἔγκλημα· ἐπειδὴ δὲ μετὰ τοὺς

---

2 ἤ, (in ras., suprascrpt. γ) παρὰ τὸν βωμὸν ..... (14 fere litt. eras.) ὅτι κυρίως κτλ. B 4 ἔχων ὑψηλὰ L Ὀδυσσεὺς αὐτὴν ἄγει L 6 δ' ἂν βωμοῖσι L 7 χρησάμενοι L 7. 8 ἡ δ' ἧσθαι L 8. 9 ὑψηλοτέρας οὔσης L 11 ἡ προσθ. κάλλιστον τοῦτο καὶ β. ὑπάρχον ἐξευτελίζειν ὡς οὐ κακὸν καλόν. καίτοι κτλ. Lp 12 ἐχρῆν μᾶλλον Lp 13 τοῦτο L Lp προτρεπόμεθα Lp 14 ὡς τ' οὐδ' ἐκ. Lp 16 συνάπτειν. ἀρετῶν γὰρ Lp 17 ἐπίορκος Lp 19 αἰσυτὰ pro μισητὰ L τῷ βασ. ἤθ. Lp 20 θηριότητος L ὢν (spir. et acc. in ras.) B 21 κἂν spir. eras. B ὅθεν καὶ L 23 ἢ φοβ. om. Lp 24 αὐτοῖς L 24. 25 λεκτέον δὲ ὅτι εἰ μὲν ἐλέγετο ταῦτα πρὸ τῆς ἐπιορκίας ἔγκλημα ἂν ἦν, ἐπεὶ δὲ Lp

---

ἐπ' ἐσχάρῃ] οὐ σημαίνει τὸ παρὰ τὴν ἐσχάραν, ἀλλ' ὡς τοῦ θρόνου ὑψηλοτέρου ὄντος τοῦτό φησι. τοιοῦτόν ἐστι καὶ τὸ πάντας μὲν φιλέεσκεν ὁδῷ ἔπι οἰκία ναίων. οὐ γὰρ ⟨Buttm., cod. *οὐδὲ*⟩ *τὸ παρὰ τὴν ὁδὸν οἰκῶν σημαίνει, ἀλλὰ δηλοῖ ἐν τούτοις τὸ ὑψηλὸν ἀπὸ τῆς γῆς. ἐπεὶ τοίνυν ἐστὶν ἡ οἰκία ὑψηλοτέρα τῆς γῆς, καὶ ὁ ἐν αὐτῇ οἰκῶν ἐπάνω οἰκεῖ τῆς γῆς.*

2 Pro *παρά* h. l. *ἐπί* accepisse Aristarchus videtur. Cf. infra ad Z 273 et praeterea schol. B f. 14ᵇ ad *πολύμητις A* 440 (id. Lp f. 61ᵇ c. l. *πολύμητις*) ..... *ἡ δὲ ἐπί ἐστιν ἀντὶ τῆς παρά.*

11 sqq. Cf. Eust. p. 622, 14 sqq.

ὅρκους καὶ τὴν παράβαειν, οὐκ ἐπαχθῆ. εχεδὸν γὰρ καὶ ὁ ἀκροατὴς τοῦτο βούλεται τὸ μηδὲ γένος ἐπιλιμπάνεεθαι τῶν ἐπιόρκων. τάχα γοῦν καὶ ὑπὲρ τῶν θεῶν ὀργίζεται. ἄλλως τε πρᾶος μέν ἐστι τοῖς ἀρχομένοις, βαρὺς δὲ τοῖς ἀντιπάλοις· τοῦτο γὰρ βασιλέως ἀγαθοῦ καὶ
5 ἰσχυροῦ.

77. τί βούλεται τὸ Αἰνεία τε καὶ Ἕκτορ, ἐπεὶ πόνος ὕμμι μάλιστα Τρώων καὶ Λυκίων ἐγκέκλιται, οὕνεκ' ἄριστοι πᾶσαν ἐπ' ἰθύν ἐστε μάχεσθαί τε φρονέειν τε; τὸ μὲν οὖν ἐγκεκλίσθαι τὸν πόνον αὐτοῖς ἔχει τὴν μεταφορὰν ἤτοι ἀπὸ τῶν χειραγωγουμένων
10 δι' ἀσθένειαν καὶ ἐπικλινόντων αὐτοὺς πρὸς τοὺς κουφίζοντας ἢ ἀπὸ τῶν ζυγοστατούντων καὶ ῥεπόντων εἰς μέρος. ἡ ῥοπὴ οὖν τῶν πραγμάτων πρὸς ὑμᾶς ἐστι κεκλιμένη, τὸ ἀσθενὲς καὶ ἑαυτὸ φέρειν μὴ δυνάμενον ὑμεῖς διακρατεῖτε ὀρθοῦντες. ἢ ἀπὸ τῶν ἐγκεκλιμένων τινὶ ζώων· ἐγκέκλιται οὖν, ἐν τῇ ὑμετέρᾳ φροντίδι περικέκλεισται ἡ σωτηρία τῶν
15 πραγμάτων. καὶ ἡ αἰτία· οὕνεκ' ἄριστοι πᾶσαν ἐπ' ἰθύν ἐστε· ἡ ἰθὺς οὖν ἡ ὁρμή, ἀπὸ τοῦ πρόσω φέρεσθαι. ἐπὶ πᾶσαν οὖν ὁρμὴν καὶ τοῦ φρονεῖν καὶ τοῦ μάχεσθαί ἐστε ἄριστοι. ἡ ἰθὺς ὀρθότης· ἄριστοι οὖν ἐστε ἐν πάσῃ ὀρθότητι τοῦ τε φρονεῖν καὶ τοῦ μάχεσθαι.

*B f. 83ᵃ ad Ἕκτορ. L f. 128ᵃ, Π.

ἀρετὴ τῶν ἡγουμένων βουλεύεσθαι μὲν ἄριστα τὸ συμφέρον,
20 πράττειν δὲ κάλλιστα τὸ βεβουλευμένον. θεραπεύει δὲ αὐτούς, ἵνα ὡς φρόνιμοι δέξωνται τὴν συμβουλήν. Ἕκτορα δὲ πέμπει ὡς πείσοντα τὴν θεὸν διὰ τῆς ἀξιοπιστίας.

B f. 83ᵃ ad φρονέειν.

80. ὁ τρόπος σύλληψις κτλ. (B f. 83ᵃ ad στῆτ', Lp f. 121ᵇ) Dindorfius (Phil. XVIII, p. 344) e coniectura ad Porphyrium retu-

---

1 οὐκ ἐπαχθὴς (corr. ex ἐπάχθει) Ἀγαμέμνων Lp 2 τὸ δὲ μὴ δὲ γένος Lp ἐπιλιμπάνεσθαι (ι post λ in ras.) B 3 γοῦν (supra ου alqd. eras.) B οὖν pro γοῦν L εχεδὸν οὖν ὑπὲρ τῶν θεῶν ὁρίζεται Lp 3. 4 πρὸς τοὺς ἀρχομένους Lp 4 post ἀντιπάλοις Lp: καὶ αὐτίκα ἂν ἐξείποι Ἀγαμέμνονι, βασιλεὺς γὰρ ἀγαθὸς κρατερός τ' αἰχμητής 6 Ἕκτορ (ο in ras.) B 14 περικέκλεισται Bkk.; codd. παρακέκλιται 16 ἡ ante ἰθὺς et οὖν om. L 18 καὶ μάχεσθαι B, τοῦ μάχ. καὶ τοῦ φρ. L

---

3 †Eust. Z, p. 624, 30: *οὕτω βαρὺς ὁ βασιλεὺς τοῖς ἐπιόρκοις ἐχθροῖς ὁ τοῖς ἀρχομένοις πρᾶος.*

14 †A f. 82ᵃ c. l. *ἐγκέκλιται* (Z 78): *ἐπίκειται, ἔγκειται, ἐμπέπηκται, ἐν τῇ ὑμετέρᾳ φροντίδι περικέκλεισται ἡ σωτηρία τῶν πραγμάτων.*

16 A interm. Z 79 c. l. *πᾶσαν ἐπ' ἰθύν· εἰς πᾶσαν ὁρμήν.*

19 sqq. Ad Porphyrium referendum videtur, cum Eustathius Z, p. 626, 26, verba quae initio scholii B leguntur ita afferat, ut ex eodem fonte petita esse appareat unde verba scholii *B (supr. lin. 16) hausit. Legitur enim apud eum: *ὅτι ἀρετὴ στρατηγοῦ κατὰ τοὺς παλαιοὺς βουλεύεσθαι μὲν ἄριστα τὸ συμφέρον πράττειν δὲ κάλλιστα τὸ βεβουλευμένον. διὸ καὶ ὁ παρὰ τῷ ποιητῇ Ἕλενος — φησίν, ὡς ἄριστοι πᾶσαν ἐπ' ἰθύν ἐστε μάχεσθαί τε φρονέειν τε, ἤγουν ἐπὶ πᾶσαν ὁρμὴν τοῦ μάχεσθαι καὶ τοῦ φρονεῖν, καὶ διὰ τοῦτο ὑμῖν κτλ.*

lisse videtur. Cum enim contendat e longiore scholio Porphyriano excerpta esse, ubi illud legatur non addidit.

92. v. 273.

102. v. 116, p. 91.

A f. 82ᵇ c. l. εἴπω βουλευτῆσι.

114. καὶ πῶς οὐδὲν εἶπε τοῖς ⟨ταῖς cod.⟩ βουλευταῖς ἀλλὰ ταῖς γυναιξί (v. 270); νοητέον οὖν ἤτοι κατὰ τὸ σιωπώμενον κἀκείνοις αὐτὸν εἰρηκέναι, ἢ ὡς ἐπὶ στρατείας καὶ παρατάξεως τοῦ πρέποντος χάριν τοῦτο προστεθεικέναι.

*B f. 84ᵃ ad φωνήσας ἀπέβη.

116. ἀποροῦσιν ἐπὶ τῇ ἀποστάσει Ἕκτορός τινες τῇ εἰς τὴν πόλιν γεγονυίᾳ. πάσης γὰρ οὕτως τῆς ῥοπῆς τῶν πραγμάτων παρὰ τοῖς Ἕλλησιν οὔσης, δυνάμενος ὁ Ἕκτωρ καὶ ἄλλον ἀποστέλλειν πρὸς τὴν μητέρα, ἵνα εὔξηται καὶ τὰς ἄλλας εἰς τοῦτο παρακαλέσῃ, οὐ ποιεῖ τοῦτο, ἀλλ' αὐτὸς ἄπεισιν. οἱ μέν φασιν, ὅπως τῇ γυναικὶ διαλεχθῇ τοῦτο τὸν ποιητὴν οἰκονομῆσαι. οἱ δὲ τοῦτο μὲν ἄλλως φασὶν ἐπακολουθῆσαι, προηγούμενον δὲ ἰδεῖν ὡς εὔλογον εἶναι ἀπαίτησιν . . . φασὶν ὅτι παρών τε οὐδὲν ὠφέλει καὶ ἀπελθὼν ἐξ ὧν ὁ μάντις ἔλεγεν ἀπαλλαγὴν τῶν παρόντων εὕρισκε, παρασκευάσας τὸ θεῖον εὐμενές. καὶ οὐ μικρὰν δὲ ἔφασαν ἐπιστροφὴν τοῦ θείου εἶναι τὸ ἢ διὰ τοῦ τυχόντος ἢ διὰ τοῦ προεστῶτος τῶν πραγμάτων γίνεσθαι τὴν θεραπείαν, ἐπεὶ οὐδὲ τὸ ὑπὸ οἰκέτου τυχεῖν διακονίας ὅμοιον τῷ ὑπὸ τοῦ υἱοῦ ἢ ἀδελφοῦ ἢ γυναικός· ὑπὸ τῶν ἀρίστων γὰρ τιμωμένους τοὺς θεοὺς εἰκὸς μᾶλλον χαίρειν ἢ ὑπὸ τῶν τυχόντων. ἔπειτ' οὐ περὶ τοῦ Ἕκτορος ζητεῖν δεῖ, διὰ τί χωρίζεται πεισθεὶς τῷ μάντει καὶ τούτου ἀκούσας ἐκτελεῖ τὴν πρόσταξιν, συντελεῖν τὰ κελευόμενα πρὸς τοὺς θεοὺς καθήκειν κρίνας· πρὸς δὲ τὸν μάντιν, εἰ ἄρα, ζητεῖν ἔδει, δι' ἣν αἰτίαν καὶ τοῦτον ἀπάγει. εἶπε δ' ἂν ὅτι οὐ πρὸς τὰς δόξας τῶν πολλῶν ἅπαντα πέφυκεν εἰς τοὺς θεοὺς καθήκοντα, ἀλλ' ὥσπερ ἐφάνη δεῖν εὔξασθαι καὶ θεῶν οὐκ ἄλλῳ ἀλλὰ τῇ Ἀθηνᾷ, πέπλον τε ἀναθεῖναι τὸν χαριέστατον ἠδὲ μέγιστον καὶ βουθυσίας ὑποσχέσθαι καὶ διὰ πρεσβυτίδων γυναικῶν

10 γὰρ addidi; cod. πά..... (litterae madore exstinctae) 13 post ἄπεισιν 3 fere litterae evanuerunt: λύσις? 15 ἰδεῖν et ἀπαίτησιν (post h. v. tres fere litt. evan.) vix sana 18 μικροῖς cod.; corr. Vill.

---

9 sqq. †*B f. 84ᵃ ad ὄφρ' v. 113 (id. L f. 128ᵃ, in alio quodam codice Dindorfio auctore, Phil. XVIII, p. 344, Porphyrii nomen prae se ferens): *ἡ εἰς τὴν Ἴλιον ἐπάνοδος τοῦ Ἕκτορος ⟨ἡ τοῦ Ἕκτ. ἐπαν. εἰς τὴν Τροίαν* L, cf. Phil. l. c.⟩ *ἀλόγως ἔχειν δοκεῖ· καὶ γὰρ διὰ κήρυκος τὰ περὶ τὴν θυσίαν ἀποσταλῆναι ἠδύνατο. ἡ λύσις ⟨ἡ λέξις* L⟩ *ἐκ τοῦ καιροῦ· τῶν γὰρ Τρώων ἐθελοκακούντων διὰ τὴν τοῦ Ἀλεξάνδρου ἀπουσίαν, τὸ πλέον ἐπὶ τοῦτον ⟨τούτους* B⟩ *πορεύεται.*

†B f. 84ᵃ ad *ἀπέβη* v. 116 (L f. 128ᵇ; Lp f. 122ᵇ c. l. *ὡς ἄρα φωνήσας ἀπέβη*): *καὶ πῶς ἔδει τοσαύτῃ περιστάσει συνεχομένων τῶν Τρώων ἀναχωρεῖν καὶ μὴ μᾶλλον ἐπικηρυκεύσασθαι τὴν θυσίαν; ἀλλ' ᾔδει τοὺς Τρῶας ἐθελοκακοῦντας τῇ ἀπουσίᾳ Ἀλεξάνδρου, καὶ μᾶλλον ἐπὶ τοῦτον ⟨ἐφ' ὃν μάλιστα* Lp⟩ *ὥρμητο, ἵνα διεγείρῃ καὶ αὐτόν.*

καὶ ἐντίμων καὶ τῶν ἱερειῶν γενέσθαι τὰς εὐχάς, οὕτωσὶ δὲ καὶ ὅτι διὰ πρεσβευτοῦ καὶ ἀξιόχρεω Ἕκτορος παντὶ λῷον ἐφάνη τὴν πραγματείαν γενέσθαι, μείζονα ἔχοντος τὴν τοῦ συμφέροντος κατάληψιν ἢ οἱ ἄλλοι ἰδιῶται. καὶ μῆνις θεῶν πολλάκις ἰδίως διά τινος λύεται προσώπου καὶ διὰ τοῦδε μᾶλλον τοῦ ἱερείου ἢ τοῦδε καὶ τῶνδε παρόντων ἢ τῶνδε. χωρὶς δὲ τούτων οὐκ ἔρημον ἄρχοντος κατέλιπε τὸ στρατόπεδον, ἀλλ' οἵ τε ἀδελφοὶ παρῆσαν πολλοὶ καὶ ὁ Αἰνείας καὶ οἱ Ἀντηνορίδαι καὶ Πουλυδάμας, ἀξίωμα ἐπὶ τῷ μάχεσθαι καὶ φρόνημα οὐ μικρὸν ἔχοντες. δεῖ οὖν μᾶλλον λογίζεσθαι διὰ τὴν εἰρημένην χρείαν καὶ ἄλλα παρευρίσκειν ὠφελεῖν μέλλοντα τοὺς οἰκείους, ὧν καὶ τὸ ἐξαγαγεῖν κρυπτόμενον τὸν Ἀλέξανδρον καὶ οἴκου διατρίβοντα· πρὸς ὃν εἰκὸς ἀγανακτοῦντας τοὺς Τρῶας ἐθελοκακεῖν ἐν τῷ πολέμῳ. ῥᾳδίως δὲ οὐκ ἂν ἐξήγγελλε πέμψας ἄλλους πρὸς αὐτόν.

καὶ γὰρ καὶ τὸ μονομάχιον τούτῳ πεισθεὶς ἐποίησε (H 54 sqq.). B f. 83ᵇ ad κασιγνήτω v. 102. δεισιδαίμων δὲ ὢν οὐ θέλει παρέργως τὴν θυσίαν γενέσθαι. ἄλλως τε παροξύνει αὐτοὺς καὶ καταλείπει Αἰνείαν. ἢ πρὸς ἀνάπαυσιν τῶν στρατευμάτων· διὸ καὶ τὸ μονομάχιον Γλαύκου παράγεται. ἢ ἐπεὶ ὠνείδισται ὑπὸ Σαρπηδόνος (E 472 sqq.) Ἀλέξανδρον θέλει παρεγεῖραι. Lp f. 122ᵃ c. l. ὡς ἔφαθ', Ἕκτωρ.

129. πῶς, φασί, λέγει Διομήδης οὐκ ἂν ἔγωγε θεοῖσιν ἐπουρανίοισι μαχοίμην· οὐδὲ γὰρ οὐδὲ Δρύαντος υἱὸς κρατερὸς Λυκόοργος δὴν ἦν, ὅς ῥα θεοῖσιν ἐπουρανίοισιν ἔριζεν, ὅς ποτε μαινομένοιο Διωνύσοιο τιθήνας σεῦε κατ' ἠγάθεον Νυσήιον, αἱ δ' ἅμα πᾶσαι θύσθλα χαμαὶ κατέχευαν ὑπ' ἀνδροφόνοιο Λυκούργου καὶ τὰ ἑξῆς; πῶς γὰρ παραιτεῖσθαι λέγων τὸ θεομαχεῖν αὐτὸς μὲν δύο τέτρωκε θεοὺς ἤδη, τὸν Διόνυσον δὲ ἐν αὐτοῖς τούτοις μαινόμενον λέγει καὶ πεφευγέναι εἰς θάλασσαν φοβηθέντα; ἄτοπον γὰρ καὶ ψεύστην ὁμοῦ καὶ βλάσφημον τὸν Διομήδη κατελέγχοντα. λύσις. τὸ μὲν οὖν τρῶσαι θεοὺς οὐ κατὰ προαίρεσιν αὐτοῦ γέγονε, καθ' ὑπηρεσίαν δὲ ἄλλης θεοῦ κατὰ θεῶν ἕπεσθαι καὶ αὐτῆς *B f. 84ᵃ ad μαχοίμην. L f. 126ᵇ. Cf. Phil. XVIII, p. 344, Π.

1 ἱερείων cod.; corr. Bkk. 2 ἀξιόχρεω Vill.; cod. ἀξιόχρεων corr. ex ἀξιοχρέως 17 παράγεται (αγε ο corr.) B 19 λέγων L 22 διονύσοιο L 23 νησήιον αἱ δὲ ἅμα L 24 ante πῶς L ἀπορία 28 οὐκ αὐτοῦ κατὰ προαίρ. γέγ. L

14 sqq. Cf. Eust. p. 625, 50 sqq.

28 sqq. †*B f. 65ᵃ ad ἀχλύν E 127 (Lp f. 104ᵇ): *διὰ τί ἡ Ἀθηνᾶ ἀφείλετο ⟨ἀφείλατο* Lp⟩ *τῷ Διομήδει τὴν ἀχλὺν ὄφρ' εὖ γινώσκοι πότερον θεός ἐστιν ἢ ἄνθρωπος; καί φαμεν· μέχρι τοῦ τὴν Ἀφροδίτην τρῶσαι καὶ τὸν Ἄρεα ἔδωκεν αὐτῷ τὴν δωρεὰν ἀλλ' οὐκ ἀεί. τρωθέντων δὲ τούτων πάλιν κατὰ τὸ σιωπώμενον ἀποδίδοται καὶ ἡ οἰκεία ἀχλύς, δι' ἣν ἀγνοεῖ καὶ τὸν Γλαῦκον καὶ ἀναπυνθάνεται πότερον θεός ἐστιν ἢ ἄνθρωπος.*

†A f. 64ᵇ ad E 127 c. l. *ἀχλὺν δ' αὖ τοι κτέ* (L f. 96ᵇ, cf. Par. 2894 ap. Cramer. III, p. 250): *πῶς ⟨φῶς* A; *πῶς οὖν* L⟩, *φησίν, ⟨*ins. *νῦν εὐθαρσὴς γενόμενος* L⟩ *ἐν τοῖς ἑξῆς ἀγνοεῖ τὸν Γλαῦκον Διομήδης λέγων τίς δὲ σύ ἐσσι φέριστε* (Z 123); *καί φαμεν ὅτι πρὸς καιρὸν ἀφῄρηται τὴν ἀχλὺν ὑπὸ τῆς Ἀθηνᾶς ⟨τὴν ἀχλ. ἀπὸ τῶν ὀφθαλμῶν διὰ τῆς Ἀθ.* L⟩, *ἵνα τρώσῃ τὴν Ἀφρο-*

κελευcάcης. τοῖc δύο δ' εἰρηκυίαc Ἀθηνᾶc μόνοιc δεῖν ἐναντιωθῆναι καὶ διὰ τούτουc τὴν ὁμίχλην ἀφελούcηc καὶ τὴν ἀπὸ τούτων μόνων ἀγνωcίαν ἀφῃρημένηc, προcθείcηc δὲ μή τι cύ γ' ἀθανάτοιcι θεοῖc ἀντικρὺ μάχεcθαι τοῖc ἄλλοιc (Ε 130), καὶ τοῦ Διομήδουc εἰπόντοc ἀλλ' ἔτι cῶν μέμνημαι ἐφετμέων, ἃc ἐπέτελλεc· οὔ μ' εἶαc μακάρεccι θεοῖc ἀντικρὺ μάχεcθαι τοῖc ἄλλοιc (Ε 818 sqq.), Γλαύκου δὲ θραcύτεροn ἐπιόντοc, εὐλαβεῖται, μή τιc εἴη θεόc, καὶ τὰc παραγγελίαc εἰc μνήμην ἀγείρει, λέγων· οὐκ ἂν ἔγωγε θεοῖcιν ἐπουρανίοιcι μαχοίμην.

μαινόμενοc δὲ ὁ Διόνυcοc οὐ κατὰ βλαcφημίαν εἴρηται, ἀλλὰ παραcτατικῶc τῆc τοῦ θεοῦ κατὰ βακχείαν ὁρμῆc, φλέγοντοc ἰcχυρῶc καὶ ἀκμάζοντοc ἐρρωμένωc ἐν τῇ τῆc χορείαc καταcτάcει, ὁμοίωc τῷ μαίνετο δ' ὡc ὅτ' Ἄρηc ἐγχέcπαλοc ἢ ὀλοὸν πῦρ (Ο 605). καὶ ἐν τῇ cυνηθείᾳ δὲ ἐπὶ τῶν ὑπερβαλλόντων τοῖc ἔργοιc κατ' ἀνδρείαν μαίνεται φαμέν, μανίαν τὴν ἐνθουcιαcτικὴν πρᾶξιν λέγοντεc. καὶ Πλάτων (Phaedr. p. 244) δὲ διαιρῶν τὰc μανίαc δείκνυcι τὰc ἀγαθάc τε καὶ θείαc, αἵ τινέc εἰcι. φυγὴν δὲ Διονύcου οὐχ ὁ Διομήδηc κατέγνωκε, τοῖc δὲ λεγομένοιc καὶ κεκρατηκόcι μύθοιc Ὅμηροc κρίνων αὐτοὺc εἰc χρῆcιν κατὰ καιρὸν τοῖc ἥρωcιν ἀνατέθεικε. τὰ δὲ κατὰ τὴν Λυκουργίαν οἰκεῖον ἦν εἰδέναι τῷ Διομήδει· Οἰνεὺc γὰρ ὁ πάπποc αὐτῷ ὁμόλεκτροc λέγεται Διονύcῳ γενέcθαι. οἶδεν οὖν εἰκότωc τὰ

2 ἀφαιρούcηc, suprascriptis ε et λ, L 4 ἄντικρυc L 5 τῶν μέμν. ἐφετμέων L 8 τῆc παραγγελίαc εἰc μνήμην ἀγείρει B 12 ἐρρωμένου B, καὶ ἐρρωμένου L; correxi e schol. infra allato 14 τῇ om. L 21 διονύccῳ L

δίτην καὶ ⟨τὸν ins. L⟩ *Ἄρεα· τρωθέντων δὲ τούτων πάλιν κατὰ τὸ cιωπώμενον* ⟨L; *καὶ τὰ cιωπώμενα* A⟩ *ἀνταποδίδοται* ⟨*ἀποδίδοται καὶ* L⟩ *ἡ οἰκεία ἀχλύς, δι' ἣν αἰτίαν ἀγνοεῖ καὶ τὸν Γλαῦκον.*

†L f. 96ᵇ ibid., *Π* (cf. Phil. XVIII, p. 349): *διὰ τί τῆς Ἀθηνᾶς ἀφελούσης τῷ Διομήδει τὴν ἀχλὺν ὄφρ' εὖ γινώσκοι* ⟨*γινώσκει* L⟩ *πότερον θεός ἐστιν ἢ ἄνθρωπος; ἡ δὲ λύσις· μέχρι τοῦ τὴν Ἀφροδίτην ἰδόντα τρῶσαι καὶ τὸν Ἄρεα ἔδωκεν αὐτῷ τὴν δωρεάν, ἀλλ' οὐκ ἀεί* ⟨*ἂν* L⟩, *τῷ δὲ Γλαύκῳ ὕστερον τῆς ἀνώτερον* ⟨? *τρώσεως*⟩ *ἐντυγχάνει.*

†L f. 97ᵃ (cf. Phil. l. c.): *πῶς ἀφαιρεθείσης τῆς ἀχλύος ἀναπυνθάνεται τὸν Γλαῦκον ὁ Διομήδης, πότερον ἄνθρωπός ἐστιν ἢ θεός; ἔστι δὲ κατὰ τὸν καιρὸν ἡ λύσις. οὐ γὰρ πρὸς πάντα τὸν χρόνον ἀφῄρηται τὴν ἀχλύν, ἀλλὰ πρὸς τὴν τοῦ Ἄρεος καὶ τῆς Ἀφροδίτης τρῶσιν.*

†B f. 84ᵃ ad *σύ* Z 123 (id. Lp f. 122ᵇ c. l. *τίς δὲ σύ ἐσσι*): *μέχρι γὰρ τοῦ τρῶσαι τοὺς θεοὺς τὴν ἀχλὺν ἀφῄρητο, νῦν δὲ περίκειται αὐτήν.*

10—17 †*B f. 210ᵃ ad *μαίνετο* O 605 (id. L f. 333ᵃ) inverso ordine: *καὶ ἐν τῇ συνηθείᾳ δὲ ἐπὶ τῶν ὑπερβαλλόντων ἐν τοῖς ἔργοις κατ' ἀνδρείαν* ⟨*ἀνδρίαν, ι* ex *ει* corr., B⟩ *μαίνεται φαμέν, μανίαν τὴν ἐνθουσιαστικὴν πρᾶξιν λέγοντες. καὶ Πλάτων δὲ διαιρῶν τὰς μανίας δείκνυσι τὰς ἀγαθάς τε καὶ θείας αἵτινές εἰσιν. ὁμοίως καὶ ἐπὶ τοῦ Διονύσου μαινόμενος εἴρηται, οὐ κατὰ βλασφημίαν ἀλλὰ παραστατικῶς τῆς τοῦ θεοῦ κατὰ βακχείαν ὁρμῆς, φλέγοντος ἰσχυρῶς καὶ ἀκμάζοντος ἐρρωμένως ἐν τῇ τῆς χορείας καταστάσει.*

κατὰ τὸν Διόνυcον καὶ ὁποίου τέλους ἔτυχεν ὁ πρὸς τοῦτον μαχεcάμενος Λυκοῦργος. ἐναργῶς δὲ καὶ ἐν ὀλίγοις καὶ κυρίᾳ τῇ λέξει χρώμενος χορείαν ἀπήγγειλε Βακχῶν· ὁ μὲν γὰρ Λυκοῦργος τὸν πέλεκυν ἀνατετακὼς ὁρᾶται — οὗτος γάρ ἐcτιν ὁ βουπλήξ —, αἱ δὲ φεύγουcαι
5 κατὰ τὸ ὄρος, οἱ δὲ θύρcοι κείμενοι χαμαί, ὁ δὲ Διόνυcος διὰ δέος καταδυόμενος εἰc τὴν θάλαccαν ὡc ἂν ἔτι παῖc, καὶ Θέτιc ὑποδεχομένη τοῖc κόλποιc ὡc νήπιον ἔτι καὶ παῖδα. τὸ δὲ δεδιότα διὰ τὴν ἀπειλὴν τοῦ ἐπανατειναμένου τὸν πέλεκυν ἀνδροφόνου Λυκούργου καὶ τὸ τὰ θύcθλα δὲ καταχέαι φάναι, ἀλλὰ μὴ ῥῖψαι, τὸ ἁβρὸν τῶν περὶ τὸν
10 Διόνυcον Βακχῶν παραcτήcει.

150. κατὰ τὸν Πορφύριον εἰc τὸ ἐθέλειc ὑποcτικτέον, ἵν' ᾖ τὸ δαήμεναι ἀντὶ τοῦ δάηθι. Lp f. 123ᵃ c. l. εἰ δ' ἐθέλειc.

164. 65. οὐ γάρ, ὥc τινεc ἐξεδέξαντο, τεθνήξῃ ἀναιρεθεὶc ὑπὸ τοῦ ἐπιβούλου, εἰ μὴ φθάcαc cὺ τοῦτον ἀποκτείνειc. ἔcτι δὲ ἠθικὴ ἡ
15 φράcιc λέγουcα ὅτι καλόν coι ἀποθανεῖν, Προῖτε, εἰ μὴ τιμωρήcειc τὸν ὑβρίcαντά cε διὰ τὸ θελῆcαί μοι μιγῆναι οὐκ ἐθελούcῃ· ἀποθάνοιc, ὦ Προῖτε, εἰ μή με ἐκδικήcειαc, κατὰ ἀρὰν λεγούcηc. cυντόμωc δὲ τὰ ἀρχαῖα δεδήλωκε, μιγῆναι οὐκ ἐθελούcῃ, ἀλλ' οὐχ ὥcπερ Ἡcίοδοc τὰ περὶ τοῦ Πηλέωc καὶ τῆc Ἀκάcτου γυναικὸc διὰ μικρῶν ἐπεξελθών.
20 τρεῖc δὲ οὗτοι τρόποι μίξεωc· ἢ γὰρ βούλεταί τιc μὴ βουλομένηc τῆc γυναικός, ὡc ἡ Ἄντεια τὸν Βελλεροφόντην διέβαλλεν, ἢ μὴ βουλόμενοc βουλομένῃ cύνεcτιν, ὥcπερ Ὀδυccεὺc παρ' οὐκ ἐθέλων ἐθελούcῃ τῇ Καλυψοῖ (ε 155), ἢ βουλομένῃ βουλόμενοc, ὥcπερ Αἴγιcθοc τῇ Κλυταιμνήcτρᾳ· καὶ γὰρ ἐθέλων ἐθέλουcάν ἀνήγαγεν ὅνδε δόμονδε
25 (γ 272). τέταρτοc γὰρ τρόποc οὐκ ἔνεcτιν· οὐδὲ γὰρ ἄκων ἀκούcῃ cύνεcτιν. L f. 131ᵃ, *H.* *B f. 85ᵃ ad τεθναίηc (usque ad lin. 19). Cf. Scor. et Harl. ap. Dind. III, p. 289.

---

2 ἐναργίαc (?) L καιρία L 3 βάκχων BL; corr. Dind. 4 αἱ δὲ φεύγουcαι, supra scriptis οι et ι (ut sit οἱ δὲ φεύγουcι) B, οἱ δὲ φεύγουcι L 6 καὶ Θέτιν ὑποδεχομένην L 7 τὸ correxi; codd. τὸν 9 ...θλα (θύc evan.) B καταχῆαι L 9. 10 τὸ ἁβρὸν παρὰ τὸν διόνυcον βάκχων (corr. e βάκχον) παραcτήcει L βάκχων B 13 οὐχ ὥc τινεc B ἐξεδ. τὸ τεθνήξῃ L 14 ἀποκτείνηc L 15 λεγούcηc B τιμωρήcαιc L 16 θελῆcαι μιγῆναι μοι B 18 ἀρχαῖα vix sanum; αἰcχρά? 19 ἀκάτου BL; corr. Dind. 20 τρεῖc δὲ sqq. in *B non exstant 21 διέβαλεν Sc. 22 ἐθέλων om. L θελούcῃ Sc. 23 ἢ βουλομένην L 25 οὐκ ἔcτιν Sc.

11 Idem omisso Porph. auctore B f. 84ᵇ et A f. 83ᵃ h. l., ita ut rem ab illo allatam recte ad Nicanorem Friedlaender retulerit (Nic. *π. Ἰλ. στιγμ.*, p. 186).

13—17 Cf. duo schol. Lp f. 123ᵇ, c. l. *τεθναίης* (p. 297, 35—298, 3 Bachm.).

20 †B f. 85ᵃ ad *οὐκ ἐθελούσῃ* (id. Lp f. 123ᵇ c. l. *μιγήμεναι*): *τρεῖς τρόποι μίξεων. ἢ βούλεταί τις μὴ βουλομένῃ μιγῆναι, ὡς νῦν οὗτος λοιδορεῖται. ἢ μὴ βουλόμενος βουλομένῃ, ὡς Ὀδυσσεὺς παρ' οὐκ ἐθέλων ἐθελούσῃ τῇ Καλυψοῖ. ἢ ὡς Αἴγισθος τῇ Κλυταιμνήστρᾳ ἐθέλων ἐθελούσῃ. τέταρτος δὲ τρόπος οὐκ ἔστιν· οὐδεὶς γὰρ ἄκων ἀκούσῃ πώποτε* ⟨*ποτὲ* Lp⟩ *μίγνυται.* Cf. Eust. p. 632, 17: *ἐνταῦθα δὲ ἐνθυμητέον τὸ τοῦ Πορφυρίου, ὡς ἢ ἐθέλων ἐθέλουσάν τις εὑρίσκει κτλ.*, id. γ 272 (p. 1467, 27).

B f. 85ᵃ ad οἷον. Lp f. 123ᵇ. 166. ἀντὶ τοῦ παράδοξον. πῶς δὲ οὐκ ἤλεγξε; διαcύρει διὰ τούτου τὸ τῶν ἀνδρῶν γυναικοπαθὲς Ὅμηρος.

Lp f. 123ᵇ c. l. cήματα λυγρά. 168. οἱ μὲν τὰ γράμματα. κατὰ γὰρ λόγον φιλόcοφον, ἐπεί εἰcι cημεῖα φωνῶν ἢ νοημάτων ἢ πραγμάτων· οἱ δὲ κλῆρον ἐcημήναντο (H 175)· ὅc μιν ἐπιγράψαc (H 187). ἄτοπον γὰρ τοὺc πᾶcαν τέχνην εὑρόνταc οὐκ εἰδέναι γράμματα. τινὲc δέ, ὡc παρ' Αἰγυπτίοιc, ἱερὰ ζώδια, δι' ὧν δηλοῦται τὰ πράγματα. Πορφύριοc μὲν cήματα τὰ γράμματα, πίνακα δὲ τὸ λεγόμενον πινακίδιον.

B f. 96ᵃ ad H 175. Lp f. 136ᵃ. γράμμαcιν ἐcημήναντο (H 175). καὶ πῶc ὁ κῆρυξ οὐδὲ οἱ ἄλλοι γνωρίζουcιν; ὅτι ἐθνικὰ ἦν.

172. ad Δ 434.

Eust. Z, p. 634, 41. 179. καὶ ζητητέον τὸν Πορφύριον καλῶc τοῖc περὶ τούτων (de Chimaera rebusque ad eam pertinentibus) διαιτῶντα.

*B f. 85ᵇ ad κεῖνοc. 200. τίc ἡ αἰτία, φαcί, τοῦ τὸν Βελλεροφόντην ἀπεχθῆ πᾶcι θεοῖc γενέcθαι καὶ τὴν τῶν ἀνθρώπων cυναναcτροφὴν ἐκκλίνειν; καὶ πρὸc τίνα ἔχει τὴν ἀναφορὰν τὸ

ἀλλ' ὅτε δὴ καὶ κεῖνοc ἀπήχθετο πᾶcι θεοῖcιν,
ἤτοι ὁ καππεδίον τὸ ἀλήιον οἶοc ἀλᾶτο;

τόν θ' ἑαυτοῦ πρόγονον πῶc οὐκ ἀφρόνωc ὁ Γλαῦκοc ἀπεχθῆ γενέcθαι θεοῖc καταγγέλλει ἀφ' οὗ τὴν τῆc ξενίαc φιλίαν καταβάλλεcθαι ἔμελλε; ῥητέον δὲ ὅτι οὐδέπω γνωριcθεὶc ὁ Γλαῦκοc Διομήδει, ὡc προγονικὴν ἔχων πρὸc αὐτὸν φιλίαν, ὑπεύθυνόc ἐcτιν ἁπλοϊκώτερον διηγούμενοc

---

1 δὲ om. Lp 1. 2 ἢ διαcύρει τὸ γυναικοπ. τῶν ἀνθρώπων διὰ τούτων Ὅμηροc Lp 14 post ἀπεχθῆ in cod. quattuor vel quinque literae erasae; tentavi πᾶcι

3—8 Duo scholia eandem fere rem continentia conglutinata sunt. Prius quoque scholium (lin. 3—7) quin ad eundem Porphyrium referendum sit, collata quaestione ad *H* 175 quamvis pessime tradita, quam huc transtulimus (lin. 9. 10), dubitari vix poterit.

3. 4 †Eust. p. 633, 10.

7. 8 Omisso Porphyrii nomine idem B f. 85ᵃ ad *cήματα*: *cήματα μὲν τὰ γράμματα, πίνακα δὲ τὸ λεγόμενον πινακίδιον.* Ceterum vix est quod moneamus ita interpretatum Porphyrium ab Aristarchi sententia dissentire (v. Lehrs, Arist. p. 95).

10 Verisimile videtur etiam prima verba scholii B f. 96ᵇ ad *γινώcκοντεc Π* 185 (id. L f. 150ᵃ, Lp f. 136ᵃ c. l. *οἱ δ' οὐ γινώcκοντεc*) huc referenda esse: *οὐχ οἱ αὐτοὶ γὰρ ἦcαν παρὰ πᾶcι τοῖc Ἕλληcι χαρακτῆρεc· διάφορα δὲ καὶ τὰ τῶν cτοιχείων ὀνόματα.* De iis quae ibi sequuntur de Callistrato Samio res in medio relinquenda.

12 Neque quid Eustathius in iis quae apud eum antecedunt vel sequuntur neque quid scholia, si forte, e Porphyrio hauserint investigari potest. Cogitet quis de B f. 85ᵃ ad *πρόcθε* Z 181 (id. Lp f. 124ᵃ): *εἰ τὸ πλεῖον καὶ ἐμπρόcθιον μέροc εἶχε λέοντοc, ἔδει αὐτὸ χίμαιραν μὴ καλεῖcθαι ἀλλὰ λέοντα κτλ.*, quae iis fere respondent quae apud Eust. p. 634, 45—49, exstant. Sed parum certum.

τὰ κατὰ τὸν πάππον καὶ ἀληθέστερον μᾶλλον ἢ κεχαρισμένως, ὥσπερ δ' ἐν ἀρχῇ διέσυρε τὰ ἀνθρώπινα τὸ φρύαγμα τοῦ Διομήδους καθαιρῶν· Τυδείδη μεγάθυμε, τίη γενεὴν ἐρεείνεις; οἵη περ φύλλων γενεὴ τοιήδε καὶ ἀνδρῶν· φύλλα τὰ μέν τ' ἄνεμος χαμάδις
5 χέει, ὣς ἀνδρὸς γενεὴ ἡμὲν φύει ἠδ' ἀπολήγει (v.145-49), οὕτω καθαιρεῖ δι' οἰκείων παραδειγμάτων· ἢ μήποτε, τῶν καθόλου ῥηθέντων ἐν τοῖς πρόσθεν, πίστις ἡ περὶ τὸν πρόγονον μεταβολὴ ἐκ τοσαύτης ἀρετῆς καὶ εὐδαιμονίας γενομένη. ἐκεῖνο δὲ πάλιν, ὅπερ ἔπρεπε τῷ ἀπογόνῳ, * * * * γεγονέναι τὴν συμφοράν, οὐκ ἀπεκάλυψε. μήποτ' οὖν,
10 ὥς φαμεν ἀλλ' ὅτε δὴ καὶ κεῖνος ἀναφορὰν εἰς τὰ καθόλου περὶ τῶν ἀνθρώπων ῥηθέντα, ὡς θάλλει τε ὁμοῦ καὶ πάλιν μαραίνεται — κἀκεῖνος οὖν, ὅτε τὰ ἀνθρώπινα πάσχειν ἔμελλε καὶ ταῖς τύχαις ἐνίσχεσθαι ταῖς ἀνθρωπίναις, μεταβέβληκεν —, ἐπειδὴ τὰς μὲν εὐτυχίας εἰώθασιν ἀναφέρειν εἰς τὸ θεοφιλές, τὰς δὲ δυστυχίας εἰς ἀπέχθειαν
15 θεοῦ, τὴν μεταβολὴν ἐπὶ τὸ χεῖρον τοῦ Βελλεροφόντου εἰκότως εἰς ἀπέχθειαν θεῶν ἀνατέθεικεν. ὅτι δὲ πολλή τις ἡ κατ' αὐτὸν μεταβολὴ γέγονε, δηλοῖ ἃ καταλέγει δυστυχήματα αὐτοῦ· Ἴσανδρον μὲν γὰρ τὸν υἱὸν αὐτοῦ Ἄρης μαρνάμενον Σολύμοισι κατέκτανε, Λαοδάμειαν δὲ τὴν θυγατέρα χωσαμένη χρυσήνιος Ἄρτεμις ἔκτα. οὐκ ἀπ-
20 εικὸς οὖν ὑπερπαθήσαντα αὐτὸν ἐπὶ τῇ τῶν τέκνων ἀπωλείᾳ φιλέρημον γενέσθαι καὶ πενθοῦντα ἀνακαλεῖσθαι τοὺς θεοὺς ὡς θεομισῆ γενόμενον. ἅπερ οὖν ἐκεῖνος δυστυχῆ περὶ ἑαυτοῦ κατακέκρικε, ταῦτ' εἰς τὰ γένη ὡς διαδοθέντα εἰκὸς ἦν μὴ ἀγνοῆσαι τὸν ἔκγονον. ἄμεινον γὰρ διὰ τὰ τέκνα φάναι τὸ τῆς λύπης μέγεθος γενέσθαι ἢ νόσῳ ἀνενέγκαι τὴν
25 αἰτίαν τῇ τῶν μελαγχολώντων, οἳ φιλέρημοι γίνονται καὶ τὰς λεωφόρους ἐκτρέπονται λυπούμενοι ἐπὶ μηδενὶ λύπης ἀξίῳ. Ἀντίμαχος δὲ ἐν τῇ Λύδῃ, ὅτι τοὺς Σολύμους ἀνεῖλε θεοῖς ὄντας προσφιλεῖς, διὰ

3 τίη cod. 4 τοίη δὲ cod. 9 ante γεγονέναι excidisse videntur διὰ τῶν θεῶν vel ἐκ τῆς τῶν θεῶν ἔχθρας vel similia; lacuna in cod. non exstat 14 δυστυχίας ἐπάχθειαν θεοῦ (om. εἰς) cod.; corr. Vill.

1 sqq. † (Paucis tantum aliunde additis) B f. 85ᵇ ad *καππεδίον* v. 201 (id. L f. 131ᵇ): *ἡ τῶν παίδων ἀπώλεια γέγονεν αὐτῷ τοῦ μονασμοῦ αἰτία, ὡς καὶ τῷ Λαέρτῃ. ἀλήιον δὲ πεδίον, ὅπερ ᾤκει ἀλεείνων τοὺς ἀνθρώπους. τάχα δὲ καὶ τὰ τῆς τύχης εἰς θεοὺς ἀναφέρει. ὥσπερ δὲ ἐν ἀρχῇ διέσυρε τὰ ἀνθρώπινα, τὸ φρύαγμα Διομήδους καθαιρῶν, καὶ νῦν οὐκ ἀπώκνησε τὴν τῆς τύχης περὶ τὸν πρόγονον ὁμολογῆσαι μεταβολήν; ἢ τάχα πιστοῦται τὰ ἀγαθὰ διὰ τῆς ὁμολογίας τῶν ἀτυχιῶν. τὸ δὲ ἀλήιον τινὲς ἐδάσυναν παρὰ τὸ τοὺς* ⟨om. L⟩ *ἅλας ἐκεῖ πήγνυσθαι, ἄμεινον δὲ ψιλοῦν ἀπὸ τῆς ἅλης* (extrema etiam in cod. A Z 200).

23 †B f. 85ᵇ ad *θυμὸν* v. 202 (id. Lp f. 124ᵇ c. l. *ὃν θυμὸν κατέδων*, L f. 131ᵇ post ea quae ad lin. 1 sqq. edidimus pergens: *τὸ δὲ ὃν θυμὸν κατέδων οὐχ ὡς κτλ.*): *οὐχ ὡς οἱ* ⟨om. L; B spr. lin. scrpt.⟩ *νεώτεροί φασι* ⟨om. Lp⟩ *μελαγχολήσας* ⟨*μελαχολήσας* Lp⟩ *ἀλλ' ὀδυνώμενος ἐπὶ τῇ τῶν ἑαυτοῦ* ⟨*αὐτοῦ* Lp⟩ *παίδων ἀπωλείᾳ ἐμόναζε. διδάσκει δὲ κτλ.*, quae huc non pertinent. De *μελαγχολίᾳ* Bellerophontis v. Arist. probl. 30, 1 (Eust. p. 636, 35).

τοῦτο μιεηθῆναι αὐτόν φηειν ὑπὸ τῶν θεῶν. Λέων δέ, ἐν τοῖς Χρυεαορικοῖς γεγράφθαι φηείν, ὡς ἀπήχθετο πᾶειθεοῖς * * * * * * Προίτῳ μὲν διαβεβλημένος ὑπὸ τῆς γυναικὸς ἀδίκως, Ἰοβάτῃ δὲ ἢ Ἀμφιάνακτι ἐκ τῶν γραμμάτων· τούτῳ δ' ἀκόλουθον καὶ τὸ πάτον ἀνθρώπων ἀλεείνων. φαεὶ δὲ τοὺς ὕστερον Πιείδας κληθέντας Εολύμους πρότερον κεκλῆεθαι.

201. *B (= Ζητ. Vat. 11) v. in extrema operis nostri parte.

*B f. 86ᵇ ad ἐξέλετο. L f. 132ᵇ, Π.

234. διὰ τί ὁ μὲν Γλαῦκος προήχθη εἰς φιλοτιμίαν τοῦ ἀλλάσσειν τὰ ὅπλα χρυσᾶ ὄντα πρὸς Διομήδην, ὁ δὲ ποιητὴς ἐπιτιμᾷ ὡς οὐ δέον οὐδ' εἰ φίλος εἴη, προῖεσθαι πλείονος ἄξιον;

προγόνων ὁ Γλαῦκος φιλοτιμίαν ἐξηγησαμένου Διομήδους ἀκούσας οὐκ ᾠήθη δεῖν ἐλαττοῦσθαι ταύτης· Οἰνεὺς γάρ ποτε δῖος ἀμύμονα Βελλεροφόντην ξείνιε' ἐνὶ μεγάροιειν ἐείκοειν ἤματ' ἐρύξας· οἱ δὲ καὶ ἀλλήλοιει πόρον ξεινήια καλά· Οἰνεὺς μὲν ζωετῆρα δίδου φοίνικι φαεινόν, Βελλεροφόντης δὲ δέπας ἀμφικύπελλον (v. 216—220). ταῦτ' οὖν ἀκούσας ὁ Γλαῦκος προήχθη εἰς φιλοτιμίαν προγονικήν· ὡς γὰρ Βελλεροφόντης ζωετῆρος οὐκ ἀπηξίωσε χρυσοῦν ἔκπωμα δοῦναι καὶ ὅλως χρύσεον δεδώρηται τῷ ξένῳ, οὕτω καὶ αὐτὸς χρυσὸν ὃν εἶχε περικείμενον δοῦναι προήχθη, ἀκούσας παρὰ τοῦ φοβερωτάτου Διομήδους τῶν τότε·

τῷ νῦν εοὶ μὲν ἐγὼ ξεῖνος φίλος Ἄργεϊ μέεσῳ
εἰμί, εὺ δ' ἐν Λυκίῃ, ὅτε κεν τῶν δῆμον ἵκωμαι

(v. 224), καὶ προσέτι εἰπόντος τοῦ Διομήδους

τεύχεα δ' ἀλλήλοιε ἐπαμείψομεν, ὄφρα καὶ οἵδε
γνῶειν, ὅτι ξεῖνοι πατρώιοι εὐχόμεθ' εἶναι (v. 230. 31).

μικρολογίας γὰρ ἦν αἰτηθέντα τοῖς μὲν ἄλλοις ὑπακοῦσαι, ἀντειπεῖν δὲ πρὸς τὰ δῶρα.

ὁ ποιητὴς δέ, φηείν Ἀριεοτέλης, οὐχ ὅτι τὰ πλείονος ἄξια ὄντα προήκατο ἐπιτιμᾷ, ἀλλ' ὅτι ἐν πολέμῳ καὶ χρώμενος προῖετο. οὐδὲν γὰρ ἀλλοιότερον, ὥσπερ ἂν εἰ ἀπέβαλε τὰ ὅπλα· ἐπιτιμᾷ οὖν ὅτι κρείττω προῖετο οὐκ εἰς τιμὴν ἀλλ' εἰς χρῆειν· ἀναγκαῖον δὲ τοῦτο δηλῶσαι εἰπόντα τὴν ἀξίαν.

τινὲς δ' οὐ καταμέμφεσθαί φαειν ἐν τῷ φάναι Κρονίδης δὲ

2 lacunam, quae in cod. non apparet, sensus postulare videtur 8 L in lemm.: ἔνθ' αὖτε Γλαύκῳ Κρονίδης ἐξέλατο (sic) φρένας Ζεύς ἀλλάξαι L Διομήδη L 9 ὁ ποιητὴς δὲ L 10 τὸ πλ. ἄξ. L 11 ἀκούσαντος L 18 δοῦναι delendum et pro ὅλως χρύσεον scribendum ὁλόχρυσον videtur; καὶ ὅλως χρυσὸς ἐδωρεῖτο coni. Kamm. p. 45 19 περικείμενον e coni. Cobet.; codd. παρακείμενον 20 παρὰ τοῦ L; περὶ τοῦ B 24 τεύχε' ἀλλήλοις L 25 εὐχώμεθα L 28 φηείν Ἀριεοτέλης, supra scriptis ὡς ὁ, L 29 χρώμενος προήκατο L

1 Leonis Alabandensis Carica et Lyciaca comm. Suid. v. *Λέων*.

φρένας ἐξέλετο Ζεύς· τὸ γὰρ ἐξελεῖν δηλοῖ καὶ τὸ εἰς μέγα ἆραι καὶ αὐξῆσαι, ὡς ἐν τῷ

κούρην ἣν ἄρα μοι γέρας ἔξελον υἷες Ἀχαιῶν (Π 56)·

δηλοῖ γάρ· ἣν εἰς τιμὴν γεραίροντές με δεδώκασι καὶ τὸ γέρας μου αὔξοντες· γέρας γὰρ ἔξελον ἐξαίρετον ποιοῦντες. τὰ δὲ γινόμενα ὡς ἐπὶ τὸ πολὺ θεοῖς εἰώθασιν ἀνάπτειν. τὸ μέντοι ἔγχεα δ' ἀλλήλων ἀλεώμεθα καὶ δι' ὁμίλου (Z 226) ἀντὶ τοῦ ἐν ὄψει πάντων, ὡς εἰδέναι αὐτοὺς ὅτι ξένοι ἀλλήλων ἐσμέν, ἢ μὴ μόνον ἀλλήλων φειδώμεθα ἀλλὰ καὶ οἱ ὅμιλοι ἡμῶν. ἀλλ' οὗτοι μὲν διὰ προγονικὴν φιλίαν τὸν πρὸς ἀλλήλους ἐσπείσαντο πόλεμον, Σαρπηδὼν δὲ καὶ Τληπόλεμος συγγενεῖς ὄντες καὶ τοῦτο γινώσκοντες συνελθόντες διὰ θανάτου ἐκρίθησαν, τοῦ μὲν ἀποθανόντος τοῦ δὲ τρωθέντος (E 655 sqq.). οὕτως ἡ λεγομένη συγγένεια πρὸς φιλίαν οὐδὲν συνεργεῖ.

ἄλλως. ἀσύμφορον δοκεῖ εἶναι ἄφρονας καλεῖν τοὺς λαμπροὺς τὰς ψυχὰς καὶ ἀποκλείειν τὰς μεγαλοψυχίας τῶν ξένων πρὸς ἀλλήλους. οἱ μὲν οὖν ἀπὸ τῆς λέξεως λύουσι, τὸ ἐξέλετο ἀποδιδόντες τὸ ἐξαίρετον καὶ ἔκκριτον ἐποίησε, βιαίως πως. οἱ δὲ περίφρασιν εἶναι· Γλαύκῳ φρένας ἐξέλετο· μὴ γὰρ ἀμειψάμενος ἀλλ' ἀπειθήσας ἀνῃρέθη ἄν, πολὺ βιαιότερον ἀποδιδόντες. οἱ δὲ πρὸς τὸν καιρόν, ὅτι ὁ χρυσὸς ἐπιτηδειότερος πρὸς τὸν πόλεμον διὰ τὸ στίλβον τῶν ὅπλων. ἐμοὶ δὲ οὐδ' οὕτως καλῶς * * * * * * * καὶ γάρ τε Λιταί εἰσι Διὸς

---

4 ἣν εἰς in ras. L γεραίροντες μεταδεδώκασι BL 5 ἐξέλον B 7 ὁμήλου L 11 δι' ἀθανάτου L 13 post συνεργεῖ B signum scholii finiti (:—), tum (lin. 14) ἄλλως κτλ. ab eadem manu in margine extern. 21 intercidisse nonnulla apparet, sed quidnam scholii auctor sibi voluerit difficile dictu. Videtur tamen magnificum Glauci donum ita accipere, ut quasi sceleris cuiusdam expiandi causa (e. c. a Pandaro commissi) datum sit, ita ut cum ratione quae inter Preces et Aten intercedit comparetur

---

1 sqq. †Eust. p. 638, 52: *ἔνθ' αὖτε Γλαύκῳ φρένας ἐξείλετο Ζεύς, ὅ ἐστιν ἐξαιρέτους ἐποίησεν, ὡς τῷ Πορφυρίῳ δοκεῖ.* — Paris. 2894 Z 234 (Cramer. III, p. 253): *ἐξελέξατο Ζεύς: ἐξαιρέτους ἐποίησε διὰ τὸ μὴ γλισχρεύσασθαι περὶ τὴν δόσιν.*

Ad *I* 377 (*ἐκ γάρ οἱ φρένας εἵλετο μητίετα Ζεύς*) †Lp f. 161ᵇ sine lemm.: *ἀλλαχοῦ ἐπὶ τοῦ Γλαύκου ἀντὶ τοῦ ἐξαιρέτους τὰς τοῦ Γλαύκου φρένας ἐποίησεν, ὡς καὶ Πορφυρίῳ δοκεῖ. ἐνταῦθα δὲ ἀντὶ τοῦ ἐστέρησε φρενῶν.* Cf. Eust. ibid., p. 757, 13; id. ad *P* 470, p. 1115, 12.

10—13 Aliter de Sarpedonis et Tlepolemi pugna in quaestione ad *E* 631 servata iudicatur.

14 sqq. Alterum quod hic incipit schol. *B, quoniam praeter res e priore excerptas nonnulla continet quae illic non leguntur, priori subiungere quam infra textum collocare maluimus, quamvis habeat quae a Porphyrio ipso profecta non sint. Auctor enim quisquis fuit scholii non solum ex eo sua excerpsit, sed etiam suum de sententia quam ille amplexus erat iudicium (*ἐξέλετο = ἆραι καὶ αὐξῆσαι*) non dissimulavit.

19 Cf. p. 96, 28 sqq.

κοῦραι μεγάλοιο, χωλαί τε ῥυσαί τε παραβλῶπές τ' ὀφθαλμώ (I 502. 3).

B f. 86ᵇ ad ἔνθ' αὔτε. Lp f. 125ᵃ c. l. ἔνθ' αὔτε Γλαύκῳ.

εἰκότως ὁ Γλαῦκος τοῦ προγόνου τὸ φιλότιμον ἀκούσας Βελλεροφόντου χρυσὸν δωρεῖται πρὸς τὸ παρόν, ἄλλως τε ὑπερήδεται τῇ συντυχίᾳ γινόμενος ἰδιόξενος τοῦ παναρίστου Διομήδους. τὸ δὲ ἐξ- 5 ἑλετο ἀντὶ τοῦ ὑπερηύξησε τῇ φιλότητι. ἢ μᾶλλον αἰτιᾶται αὐτὸν ὅτι κατὰ τῶν συμμάχων ἐκόσμει αὐτὸν λαμπροτέροις ὅπλοις. ἢ ὡς Ἡφαιστότευκτα. ἤ, ὡς Πίος, ἵνα κἀν τούτῳ αὐξήσῃ τὸν Ἕλληνα ὡς μὴ ἐξ ἴσου ἀπηλλαγμένον, ὅπερ ἡδὺ τοῖς ἀκούουσιν· ὅπου γὰρ ταῦτα, εὔκαιρος ἡ τῶν πολεμίων ὁρμή. 10

B f. 86ᵇ ad Τυδείδην. L f. 133ᵃ. Lp f. 125ᵃ c. l. ὃς πρὸς Τυδείδην.

235. καὶ πῶς οὐ Διομήδης φρενῶν λείπεται γυμνούμενος, πρὸ μικροῦ τῶν Τρώων παρασπονδησάντων (Δ 104 sqq.); τάχα οὖν τὸν ζωστῆρα μόνον καὶ τὸ ξίφος, ὡς οἱ περὶ Ἕκτορα, ἤμειψαν (H 303—5). οὐ γὰρ τὴν ἀσπίδα πρὸς χάριν ἐδίδουν· ἢ γὰρ ἂν προὔκρινε τὴν Αἴαντος Ἕκτωρ, εἰ ἐδίδοτο, ὑπερτέρως ζωστῆρος. 15

252. Vatic. Ζητ. ιζ' (potius XVIII). πρόσσχες δή μοι καὶ τούτοις, εἰ προσήκουσαν παρ' ἡμῶν λαμβάνει τὴν λύσιν·

ἔνθα οἱ ἠπιόδωρος ἐναντίη ἤλυθε μήτηρ Λαοδίκην ἐσάγουσα, θυγατρῶν εἶδος ἀρίστην.

τὸ εἰσάγουσα οὐκ ἔστι κατὰ τὸ σύνηθες, οἷον εἰσφέρουσα· οὐ γὰρ εἰσάγειν μεθ' ἑαυτῆς λέγει τὴν Λαοδίκην ἀλλὰ πρὸς τὴν Λαοδίκην εἰσπορευομένην, ᾗ ὁμοιωθεῖσα ἡ Ἀφροδίτη τὴν Ἑλένην ἐπὶ τὸ τεῖχος ἐξήγαγεν· εἰδομένη γάρ φησι

*B f. 86ᵇ ad ἐσάγουσα h. v., L f. 133ᵇ ib., Π: πρόσσχες μοι καὶ τούτοις, εἰ προσήκουσαν παρ' ἡμῶν λαμβάνει τὴν λύσιν·

ἔνθα οἱ ἠπιόδωρος ἐναντίη ἤλυθε μήτηρ Λαοδίκην ἐσάγουσα, θυγατρῶν εἶδος ἀρίστην. 20

τὸ ἐσάγουσα οὐκέτι κατὰ τὸ σύνηθές ἐστιν, οἷον εἰσφέρουσα (οὐ γὰρ ἐσάγειν μεθ' ἑαυτῆς λέγει τὴν Λαοδίκην), ἀλλὰ πρὸς τὴν Λαοδίκην εἰσπορευομένη· εἰσῄει γὰρ πρὸς Λαοδίκην, ἀλλ' ἐπεὶ ταύτῃ ὁμοιωθεῖσα ἡ Ἀφροδίτη τὴν Ἑλένην ἐπὶ 25 30

5 γενόμενος Lp 6 τῇ φιλοτιμίᾳ ὡς τὸ γέρας ἔξελον. ἔνθ' αὔτε Γλαύκῳ φρένας ἐξέλετο. ὅτι κατὰ τῶν συμμάχων κτλ. Lp 6 ὅτι κτλ. e Lp dedimus, quo multo brevius schol. B hoc tantum habet: ὅτι λαμπροῖς ὅπλοις ἐκοσμεῖτο κατὰ ἑαυτοῦ καὶ τῶν συμμάχων· ὅπου γὰρ ταῦτα, εὔκαιρος ἡ τῶν πολεμίων ὁρμή, quae post αἰτιᾶται αὐτὸν male inter se cohaerere nemo non videt ■ πῖος Lp τοῦτο Lp 11 καὶ πῶς οὐ δέδιε Διομηδ. γυμν. Lp 12 παρασπονδισάντων L 13 ἔμειναν L 14 προύκρινε (ε e corr.) B 14. 15 τὰ Αἴαντος L ὑπερτέρως ζωστῆρος conieci dubitanter; ὑπὲρ τὴν νέστορος B Lp, ὑπερτέρως (?) νέστορος L

17ᵃ πρόσχες V 19ᵃ λαβὼν V 29ᵃ .λένην (ε eros.) V

17ᵇ—23ᵇ in uno L (qui lin. 17 πρόσχες, 21. 22 ἐπάγουσα habet)

28 sqq. Eadem fere Aristarchi ratio, nisi quod *ἐς ἄγουσα* voluit (v. Ariston.). — Pro *Ἀφροδίτη* recte *Ἶρις* †B f. 86ᵇ ad *Λαοδίκην* (id. Lp f. 125ᵇ): *πρὸς Λ. εἴσεισι, πευσομένη τὴν αἰτίαν δι' ἣν ἐξήγαγεν Ἑλ. αὐτῇ γὰρ ἡ Ἶρις εἰκασθεῖσα ἐξήγαγεν αὐτὴν εἰς τὸ τεῖχος* . . . . .

γαλόῳ, Ἀντηνορίδαο δάμαρτι, τὸ τεῖχος ἐξήγαγεν· εἰδομένη γα-
τὴν Ἀντηνορίδης εἶχε κρείων λόῳ Ἀντηνορίδαο δάμαρτι,
Ἑλικάων Λαοδίκην (Γ 122—24). τὴν Ἀντηνορίδης ἔσχε κρείων
νομίζουσα οὖν ὄντως εἰς τὸ τεῖχος Ἑλικάων, Λαοδίκην· νομίζουσα
5 ὑπὸ τῆς Λαοδίκης ἀπῆχθαι, εἰσῄει γὰρ ὄντως εἰς τὸ τεῖχος ὑπὸ τῆς
τὴν αἰτίαν τῆς ἐξόδου πολυπραγ- Λαοδίκης ἀπῆχθαι, εἰσῄει τὴν αἰτίαν
μονήσουσα. τῆς ἐξόδου πολυπραγμονήσασα.

τύμβον ἀμφὶ πυρὴν ἕνα L f. 155ᵃ, Π (ad H 336):
ποίεον ἐξαγαγόντες ἄκρι- εἰς τὸ τύμβον δ' ἀμφὶ πυρὴν
10 τον ἐκ πεδίου (H 435. 36). ἕνα χεύομεν ἐξαγαγόντες.
τῷ ἐξαγαγόντες ὁμοίως τῷ εἰσ- ὁμοίως τῷ εἰσάγουσα θυγατρῶν
άγουσα κέχρηται, ὡς γὰρ τοῦ . . . εἶδος ἀρίστην κέχρηται. ὡς γὰρ
. . . . . τοῦτο σημαίνει τὸ εἰσπορευομένη,
. . . . τὸ ἐξαγαγόντες ἐκπορευ- οὕτως τὸ ἐξαγαγόντες ¦τὸ ἐκ-
15 θέντες τοῦ πεδίου. ἕνα . . . . . πορευθέντες τοῦ πεδίου. ἕνα τύμ-
. . . . . βον πάντων ἄκριτον ἐποιήσαντο,
. . . . . μὴ καθέκαστον τῶν τεθνη- τουτέστι μὴ καθέκαστον τῶν τεθνη-
κότων διακρινομένων. κότων διακρινόμενον. τὸ δὲ ἄκρι-
τον ἀντὶ τοῦ ἀγνώριστον, ἀχώρι-
20 στον, ὅμοιον τῷ λοιπῷ πεδίῳ.

260. v. 265, p. 101.

265. Ζητεῖται πῶς ποτε ἐναντία ἑαυτῷ ὁ ποιητὴς λέγει· προει- **B f. 87ᵃ ad
πὼν γὰρ ἀνδρὶ κεκμηῶτι μένος μέγα οἶνος ἀέξει (Z 161) νῦν ἀπογυιώσης
(ι eras.).
L f. 134ᵃ.

2ᵃ τ.. V¹, τὴν V² in marg. ἔχε V 4ᵃ τ...ος V¹, τεῖχος V² in marg.
12ᵃ—17ᵃ inter τοῦ et τὸ ut inter ἕνα et μὴ verba aliquot in cod. V fuerunt, quae tinctura adhibita deleta sunt 17 καθέκα..ον V

1ᵇ εἰδομένην L 2ᵇ ἀντινορίδαο L 3ᵇ ἀντινορίδης ἑλένην κρ. ἑλ. L
9ᵇ ἀμφιπυρὴν L
23 κεκμηκότι L

8—20 †B ad ἕνα χεύομεν H 336 (id. Lp f. 139ᵇ c. l. ἕνα χεύομεν), nonnullis aliunde additis: *ὑποστικτέον εἰς τὸ χεύομεν. τὸ δὲ ἐξαγαγόντες ὅμοιόν ἐστι τῷ Λαοδίκην ἐσάγουσα, ἀντὶ τοῦ εἰσερχομένη. οὕτω καὶ τὸ ἐξαγαγόντες ἀντὶ τοῦ ἐξελθόντες. τὸ δὲ ἄκριτον ἀντὶ τοῦ ἀγνώριστον, ἀχώριστον, ὅμοιον τῷ λοιπῷ πεδίῳ. τὸ δὲ ὦκα προστέθειται, ἵνα πιθανὸν δοκῇ τὸ ἐν μιᾷ ἡμέρᾳ τεῖχος.* Prima huius scholii verba, ut A. Roemer litteris ad me datis significavit, usque ad *τοῦ ἐξελθόντες* (addito *τοῦ πεδίου*) etiam Vict. exhibet, qui eorum quae sequuntur loco haec habet: *ἄκριτον δὲ ἀντὶ τοῦ χύδην, ἰσόπεδον, ὅπως μὴ ἐπιγινώσκηται εἰ ἔστι τάφος. οὕτω Πορφύριος.* Simil. Eust. *H*, p. 684, 13.

18 sqq. Ex his verbis concludas, Porphyrium in integra quae olim exstiterit quaestione etiam de ea difficultate egisse, quae Aristarcho causa fuit ut *H* 334. 35 obelo notaret, v. schol. A *H* 334: ... *ἐναντιοῦνται δὲ καὶ τὰ ἑξῆς· τύμβον — ἐκ πεδίου, ἀδιαχώριστον, ἀδιάστατον, τουτέστι πολυάνδριον. πῶς οὖν ὥς κ' ὀστέα παισὶν ἕκαστος;* cf. schol. A *H* 436.

22 sqq. Cf. schol. Paris. 2556 (Cramer, A. P. III, p. 163) simillimum.

†* B f. 87ᵃ ad *κεκμηῶτι* v. 261: *πῶς εἰς τὸ ἀνδρὶ δὲ κεκμηῶτι*

ἐπάγει μή μ' ἀπογυιώσῃς μένεος ἀλκῆς τε λάθωμαι. ἡ μὲν οὖν ὑπὸ πολλῶν γενομένη λύσις τοῦ ζητήματος τοιαύτη, ὅτι ἕτερόν ἐστι πρόσωπον Ἑκάβης τὸ λέγον ὠφέλιμον εἶναι τὸν οἶνον, ἕτερον δὲ τὸ τοῦ Ἕκτορος τὸ ἀρνούμενον· οὐδὲν δὲ θαυμαστὸν εἰ παρὰ τῷ ποιητῇ ἐναντία λέγεται ὑπὸ διαφόρων φωνῶν. ὅσα μὲν γὰρ ἔφη αὐτὸς ἀφ' ἑαυτοῦ ἐξ ἰδίου προσώπου, ταῦτα δεῖ ἀκόλουθα εἶναι καὶ μὴ ἐναντία ἀλλήλοις· ὅσα δὲ προσώποις περιτίθησιν, οὐκ αὐτοῦ εἰσιν ἀλλὰ τῶν λεγόντων νοεῖται, ὅθεν καὶ ἐπιδέχεται πολλάκις διαφωνίαν, ὥσπερ καὶ ἐν τούτοις. ἡ μὲν γὰρ Ἑκάβη οὐκ εἰδυῖα τὸν κάματον τῶν ἀνδρῶν ταύτης ἐστὶ τῆς γνώμης, ὁ δὲ Ἕκτωρ μάλιστα ἐπιστάμενος ἀντιλέγει. ἔπειτα καὶ ἡ μὲν πρεσβῦτις ἦν, χαίρει δὲ τῷ οἴνῳ ἡ ἡλικία αὕτη — ἐπωφελὴς γὰρ ταύτῃ ἐστὶν ὁ οἶνος θερμὸς ὢν καὶ ὑγρὸς ψυχρᾷ οὔσῃ καὶ ξηρᾷ καὶ ἀναρρώννυσιν αὐτήν —, ὁ δὲ Ἕκτωρ νέος ἦν καὶ ἀκμαῖος. ἄμεινον δέ ἐστιν ἐκεῖνο λέγειν καὶ δεικνύειν, ἑκάτερον τῶν εἰρημένων ἔχεσθαι λόγου καὶ μὴ εἶναι ἐναντία τὰ περὶ τοῦ οἴνου λεγόμενα, ἐὰν σκοπῇ τις, ὅτι ἐπὶ παντὸς πράγματος ὁ καιρὸς καὶ τὸ μέτρον πολὺ διαλλάττει. οὕτως οὖν καὶ ἐπὶ τούτου· τῷ μὲν γὰρ μέτρια πεπονηκότι πρὸς ἰσχὺν ὁ οἶνος συμφέρει, τὸν δὲ πάνυ κεκμηκότα σφάλλει· ὅπερ συμβέβηκε τῷ Ἕκτορι, οὐ μόνον δὲ ὑπὸ τοῦ πολέμου ἀλλὰ καὶ ὑπὸ τοῦ ἐπὶ τὴν πόλιν δρόμου. ἄλλως τε καὶ οὐδὲ σιτίου οὐδενὸς ἐγέγευστο· ἡ γὰρ τροφὴ σὺν τῷ οἴνῳ τὸ πλεῖστον συμβάλλεται εἰς δύναμιν, ὥσπερ καὶ ἀλλαχοῦ εἶπεν ὁ ποιητής·

---

5 λέγει L 5. 6 ἀφ' ἑαυτοῦ καὶ ἐξ ἰδ. πρ. L 6 ταῦτα δὴ ἀκολ. εἶναι ἀλλ. καὶ μὴ ἐναντία L δὴ pro δεῖ ⟨Bkk.⟩ etiam B 7 οὐκ αὐτοῦ ἐστιν L 9 Ἑκάβη om. L 10 Ἕκτωρ om. L 12 γὰρ αὐτῇ L ὁ οἶνος om. L 13 ἀναρώνυσιν B 17 ἐπὶ τούτῳ L 19 οὐ μόνον ἐπὶ τοῦ πολέμου ἀλλὰ καὶ ὑπὸ τοῦ δρόμου τοῦ ἐπὶ τὴν πόλιν L 20 οὐδενὸς πώποτε ἐγένετο L 21 τὸ πλεῖστον εἰς δύναμιν συμβάλεται L

μένος μέγα οἶνος ἀέξει ἑξῆς λέγει μή μοι οἶνον ἄειρε μελίφρονα, πότνια μῆτερ, μή μ' ἀπογυιώσῃς μένεος ἀλκῆς τε λάθωμαι; λύοιτο δ' ἂν προσώπῳ μὲν ὅτι οὐ πάντες τὰ αὐτὰ δοκιμάζουσι, λέξει δὲ ὡς ὑπερβατῶς. [ὅτι μεμνημένος τοῦ πατρὸς ἔκλαιε. λείβων οὖν ἀντὶ τοῦ λείβειν ποιῶν εἴρηκε] μή μοι οἶνον ἄειρε μελίφρονα, πότνια μῆτερ· χερσὶ δ' ἀντίπτοισιν Διὶ λείβειν αἴθοπα οἶνον ἄζομαι, μή μ' ἀπογυιώσῃς μένεος ἀλκῆς τε λάθωμαι. Quae verba uncinis inclusimus misere decurtata casu aliquo cum scholio coniuncta e disputatione de verborum *λείβειν* et *εἴβειν* differentia (v. Epimer. An. Oxon. I, p. 173, 9: *ἰστέον δὲ ὅτι οὐδέποτε εἴβειν τέθειται ἐπὶ τοῦ σπένδειν, τὰ δ' ἄλλα ὁμοίως*) servata esse videntur. Qua in disputatione locus esse potuit Telemachi afferendi patris memoria commoti lacrimas profundentis, *δ* 114 (cf. *δ* 153): *αὐτὰρ ὁ πικρὸν ὑπ' ὀφρύσι δάκρυον εἴβεν*).

1 sqq. Aristonico auctore *τὸ δοκοῦν μάχεσθαι* Aristarchus ita explicavit: *ἔστι δὲ διάφορα τὰ λέγοντα πρόσωπα καὶ ἑκάτερον πρός τι εἴρηται.* — Ceterum solutionis *ἀπὸ τοῦ προσώπου* rationem Porphyrius ad Z 488, p. 104, 19, eodem fere modo definit.

cítou καὶ οἴνοιο, τὸ γὰρ μένος ἐcτὶ καὶ ἀλκή (I 706), καὶ πάλιν·

ὃc δέ κ' ἀνὴρ οἴνοιο κορεccάμενοc καὶ ἐδωδῆc
ἀνδράcι δυcμενέccι πανημέριον πολεμίζῃ καὶ τὰ λοιπά

(T 168 sqq.). ἔcτι δὲ καὶ ἑτέρα λύcιc τοῦ ζητήματοc, καθ' ὑπερβατὸν ἐξηγουμένων τινῶν οὕτωc· μή μοι οἶνον ἄειρε μελίφρονα, πότνια μῆτερ, χερcὶ δ' ἀνίπτοιcιν Διὶ λείβειν αἴθοπα οἶνον ἅζομαι, οὐδέ πῃ ἔcτι κελαινεφέι Κρονίωνι αἵματι καὶ λύθρῳ πεπαλαγμένον εὐχετάαcθαι, μή μ' ἀπογυιώcῃc μένεοc ἀλκῆc τε λάθωμαι, ἵνα ὡc μὴ καθαρὸc τὰc χεῖραc τὸν οἶνον cπένδειν θεοῖc παραιτῆται καὶ μὴ ὀργήν τινα παρὰ θεῶν λάβῃ διὰ τοῦτο. λύεται δὲ τὸ προκείμενον καὶ οὕτωc, ὅτι τὸ μένοc διχῶc κεῖται, καὶ ἐπὶ θυμοῦ καὶ ὀργῆc καὶ δυνάμεωc. ἡ μὲν οὖν Ἑκάβη φύcει τοῦ πιόντοc οἶνον τὴν δύναμιν αὔξειν λέγει, ὁ δὲ μαραίνεcθαι τὸν θυμὸν καὶ τὴν ὀργὴν τοῦ πιόντοc λέγει ὑπὸ τοῦ οἴνου, ὥcτε μὴ κεῖcθαι ἐναντία.

μητρὸc ἦθοc ἀναφαίνεται διὰ τούτου (Z 258 sqq.)· καὶ γὰρ ἀεὶ φαγεῖν καὶ πιεῖν ἀξιοῦcι τὰ τέκνα. πιθανὸν δὲ αὐτὸν νοεῖν διψῆν ἀπὸ τῆc κινήcεωc τοῦ πολέμου. ὑφαιρουμένη δὲ αὐτοῦ τὴν αἰδῶ καὶ τὸ cπείcῃc εἶπεν. ὀνίνηcι δὲ οἶνοc μέτριοc ποθεὶc δύναμίν τε ἐμποιεῖ, ὡc καὶ τὸ τὸ γὰρ μένοc ἐcτὶ καὶ ἀλκή (I 706)· ὁ δέ, ἐπεὶ πραῦνει ὁ οἶνοc, βούλεται δὲ ἄγριοc πρὸc τοὺc πολεμίουc εἶναι, παραιτεῖται. ἢ ὅτι δίχα τροφῆc βλάπτει, τῶν νεύρων καθαπτόμενοc, ὡc φηcι Λύκοc. ἢ ὅτι μετέωρον ἔχει τὸ πνεῦμα, ὡc δρομαῖοc ἐλθών, cπεύδει δὲ καὶ ἀπελθεῖν δρομαῖοc. ἄλλωc τε cτρατιώταιc μὲν θράcοc πορίζεται, cτρατηγοὺc δὲ τῆc φρονήcεωc ὑπεκλύει, μόνουc δὲ τοὺc ἀποκαμόνταc ὠφελεῖ, ὁ δὲ ἔτι ἰcχύει. ἢ ἐν ὑπερβατῷ ἐcτι· χερcὶ δ' ἀνίπτοιcιν Διὶ λείβειν ἅζομαι, μή μ' ἀπογυιώcῃc μένεοc ἀλκῆc τε λάθωμαι. ἄλλωc τε ὁ μὲν μετὰ πόνουc οἶνοc ὠφέλιμοc, ὁ δὲ πρὸ πόνου ἐπιβλαβήc.

B f. 87ᵃ ad ὀνήcεαι v. 260. Lp. f. 125ᵇ c. l. μελιηδέα οἶνον (v. 258).

266. ἄμφω τὰc προτάcειc Ἑκάβηc παραιτεῖται ὁ Ἕκτωρ. ἠδύνατο

B f. 87ᵃ ad ἀνίπτοιcι. Lp f. 126ᵃ c. l. χερcὶ δ' ἀνίπτοιcιν.

1 οἴνου B 4 πολεμίζει B 5—11 ἔcτι δὲ καὶ — λάβῃ διὰ τοῦτο in uno L exstant 8 ποι L 11 παραιτεῖται L post διὰ τοῦτο L pergit: δυνατῶc καὶ οὕτωc λύειν τὸ προκείμενον ὅτι τὸ μένοc κτλ. λύεται δὲ κτλ. B 13. 14 φύcει τὴν δύναμιν τ. πιόντοc οἶνον αὔξειν λέγει L 15 λύει ὑπὸ τ. οἴν. L 18 καὶ post αἰδῶ om. Lp 20 ὡc τὸ καὶ τὸ B 22—24 ὡc φηcι — δρομαῖοc in B desunt 26 post ἰcχύει Lp ita pergit: ἔπειτα δὲ κ' αὐτὸc ὀνήcεαι. καὶ πῶc φηcι μή μ' ἀπογυιώcῃc; ἀλλ' ἔcτιν ἐν ὑπερβατῷ· χερcὶ δ' ἀνίπτοιc κτλ., ita tamen ut signa, quibus finis scholii notari et ipsa verba scholii a lemmate distingui solent, post ἰcχύει et ὀνήcεαι non exstent 27 μένεοc — λάθωμαι Lp om. 28 μετὰ πόνον Lp 30 sqq. ἐδύνατο ὑπὸ τῆc Ἑκ. ῥᾳδίωc λυθῆναι ἡ πρόφαcιc Ἕκτοροc ὕδωρ αὐτῷ κομιcθῆναι κελευούcῃc, ἵνα πρότερον νίψῃται, ἀλλ' οὐ τοῦτο κτλ. Lp

20. 21 †B f. 87ᵃ ad *μελίφρονα* v. 264 (id. Lp f. 125ᵇ c. l. *μελίφρονα*): *τὸν ἀναγκάζοντα ἡδέα διανοεῖcθαι. ἵλαρωτέρουc γὰρ ποιεῖ ὡc τὰ πολλὰ τοὺc πίνονταc. ὁ δὲ ἐν πολέμῳ οὐ βούλεται ⟨οὐ βούλ. ἐν πολ.* Lp⟩ *πρᾶοc εἶναι.*

μὲν οὖν ῥᾳδίως κομισθῆναι ὕδωρ κελευσάσης, ἵνα πρότερον νίψηται καὶ λυθῇ αὐτοῦ ἡ πρόφασις. ἀλλ' οὐ τοῦτο ἦν ἔθος ἀρχαῖον τὸ τὰς χεῖρας ἀπονίπτεσθαι μόνον, ἀλλὰ τὸ ὅλον ἀπολούεσθαι σῶμα, ὅπερ οὐκ εὐχερὲς Ἕκτορι ἐπειγομένῳ. καὶ πῶς ἐν τοῖς ἑξῆς ἀνίπτοις χερσὶν εὔχεται· Ζεῦ ἄλλοι τε θεοί, δότε δὴ καὶ τόνδε γενέσθαι παῖδ' ἐμόν, ὡς καὶ ἐγώ περ (v. 476. 77); οὐκ ἔστι τοίνυν ἐναντίον· οὐ γὰρ ταὐτόν ἐστιν ἐπισπένδειν καὶ ἁπλῶς διὰ λόγων εὔχεσθαι· τὸ μὲν γὰρ διὰ σώματος, τὸ δὲ διὰ ψιλῶν ῥημάτων γίνεται.

*B f. 87ᵃ ad γούνασιν. *B f. 83ᵃ subiunctum schol. B ad ἐπὶ γουνάσιν v. 92. L f. 134ᵇ (inde a lin. 11 τινὲς) Cf. Phil. XVIII, p. 344, II.

273. πῶς ὀρθοῦ ὄντος τοῦ Παλλαδίου τὸν πέπλον ἐπὶ γούνασι θεῖναι παρακλεύεται· τὸν θὲς Ἀθηναίης ἐπὶ γούνασιν ἠυκόμοιο; καί τινες μὲν οὖν φασιν ὅτι πολλὰ τῶν Παλλαδίων κάθηται· οἱ δὲ ἀπὸ μέρους τὸ ὅλον σῶμα, ὡς ἐπὶ τοῦ εὐκνήμιδες Ἀχαιοί. οἱ δέ, ὅτι γούνατα καὶ τὰς ἱκετείας λέγει· φησὶ γὰρ ἀλλ' ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται (α 267), τουτέστιν ἐν τῇ τῶν θεῶν ἱκετείᾳ καὶ δεήσει. θεῖναι οὖν Ἀθηναίης ἐπὶ γούνασι τουτέστιν ἐπὶ τῇ λιτανείᾳ καὶ δεήσει θεῖναι τὸν πέπλον. οἱ δὲ ὅτι τῇ ἐπί ἀντὶ τῆς παρά εἴωθε χρῆσθαι, ὡς τὸ ποιμαίνων δ' ἐπ' ὄεσσι μίγη φιλότητι (Z 25) ἀντὶ τοῦ παρὰ τοῖς ὄεσσι, καὶ ἡ μὲν ἐπ' ἐσχάρῃ ἧστο (Z 52) ἀντὶ τοῦ παρὰ τῇ ἐσχάρῃ. οὕτω γοῦν καὶ ἐπὶ γούνασιν ἀντὶ τοῦ παρὰ γούνασιν Ἀθηναίης.

Lp f. 126ᵇ c. l. τῶν ἓν' ἀειραμένη.

293. οὐ πρεπόντως, φησίν, ἐκ τῆς Ἀλεξάνδρου ἀδικίας δίδοται τῇ θεῷ τὸ δῶρον. ἀλλ' οὔτε Ἑλένης ὁ πέπλος ἐστὶν οὔτε ἐκ Λακεδαίμονος αἱ γυναῖκες.

---

3 οὐκ om. B οὐκ εὔκαιρον ἔστιν Lp 6 post ἐγώ περ ita Lp: ἢ οὐδὲ τοῦτο ἐναντίον· οὐ γὰρ ταὐτόν ἐστιν ἐπισπεύδειν (sic) κτλ. 8 διὰ ψιλῶν λόγων Lp, om. γίνεται 9 πῶς δὲ ὀρθοῦ ὄντος 𝔅 (= *B ad Z 92) παλαδίου 𝔅 10 τὸν — ἠυκόμοιο om. 𝔅 11 παλαδίων 𝔅 13 φησί, λέγει γὰρ 𝔅 15 τῶν θεῶν λιτανείᾳ 𝔅 θεῶν δεήσει καὶ ἱκετείᾳ L 15—17 θεῖναι τὸν πέπλον ἐπὶ γούνασιν Ἀθην. ἀντὶ τοῦ ἐπὶ λιταν. καὶ δεήσει. καὶ τὸ ἐπί οὖν ἀντὶ τῆς παρά ὡς ἐν τῷ π. 𝔅 16 τῇ ἐπεί L 17 ὡς, ἐν τῷ π. L δεσσιν ἐμίγη φιλότητι 𝔅 18. 19 καὶ — ἐσχάρῃ om. 𝔅 19 τὸ pro ἀντὶ τοῦ L

---

10. 11 *ὅτι τῆς Ἀθηνᾶς τὸ ξόανον* (apud Ilienses) *νῦν μὲν ἑστηκὸς ὁρᾶται, Ὅμηρος δὲ καθήμενον ἐμφαίνει· πέπλον γὰρ κελεύει θεῖναι Ἀθηναίης ἐπὶ γούνασιν, ὡς καὶ μή ποτε γούνασιν οἷσιν ἐφέζεσθαι φίλον υἱόν* (I 455) Strab. XIII, p. 601, Demetrio Scepsio, sive ipso sive intercedente Apollodoro (v. Niese, M. Rhen. XXXII, p. 294), auctore usus. Ex eodem fonte petita esse possunt quae nonnullis interiectis sequuntur maxime ad locum nostrum pertinentia: *πολλὰ δὲ τῶν ἀρχαίων τῆς Ἀθηνᾶς ξοάνων καθήμενα δείκνυται, καθάπερ ἐν Φωκαίᾳ, Μασσαλίᾳ, Ῥώμῃ, Χίῳ καὶ ἄλλαις πλείοσιν.* E Strabone eadem Eust. Z, p. 627, 10, nonnulla etiam schol. B f. 83ᵇ ad Z 92 (id. Lp f. 122ᵃ).

15 Fuisse qui hoc sensu legerent *ἐπὶ γουνάσι* Strab. l. c. docet; Porphyrius aperte a *γούνατα* derivat.

16 Aristarchum *ἐπί* ita accepisse schol. A Z 92 docet. Quem ante oculos habuit Strab l. c.: *βέλτιον γὰρ οὕτως ἢ ὥς τινες δέχονται ἀντὶ τοῦ παρὰ τοῖς γόνασι θεῖναι, παρατιθέντες τὸ ἡ δ' ἥσται κτλ.* Aristarchum sequitur Herodianus (II, 1, p. 53 Lentz, cf. Lehrs, qu. ep. p. 91), Epim. Oxon. I, p.

326. ἀφορμὴν λαμβάνει διὰ τῆς αὐτοῦ ἀργίας — οὐ γὰρ ὡς ἀσθε- B f. 88ᵃ ad
νοῦς ἀλλ' ὡς ῥαθύμου αὐτοῦ κατηγορεῖ — καί φησιν· οὐχ ὑγιῶς ἐν καλά.
ἑαυτῷ τὴν μῆνιν ἔχεις· σοὶ γὰρ οἱ Τρῶες μηνίουσιν, ὡς θελησάντων Lp f. 127ᵃ c. l.
αὐτὸν ἐκδοῦναι Μενελάῳ. ἢ χόλον τὴν ῥαθυμίαν λέγει. ἐβούλετο μὲν οὐ μὲν καλὰ
5 οὖν αὐτοῦ πλειόνως καθάψασθαι, ἀλλ' οὐκ ἔδει αὐτὸν ἐπὶ Ἑλένης λοι- χόλον.
δορεῖσθαι.

ἤτοι οὐ καλῶς νῦν τὴν ὀργὴν κατὰ τῶν Τρώων ἔχεις, ὅτι πρὸς L f. 136ᵃ.
σὲ λυπούμενοι παραδοῦναι τῷ Μενελάῳ ἐβούλοντο ἅπερ ἔλαβες, οὐδὲ
ἐν καιρῷ ταύτην ποιῇ. ἢ οὐ καλῶς νῦν ὀργίζῃ ἡγούμενος τοὺς Τρῶας
10 ἀγανακτεῖν κατὰ σοῦ.

359. *B f. 89ᵃ ad κορυθαιόλος (= Ζητ. Vat. 3) inter quaestiones sub finem operis edendas referetur.

413. διὰ τί διηγεῖται τῷ ἐπισταμένῳ; ὅτι οὐκ ἔστιν ἀναλογισμὸς A f. 88ᵇ.
τοῦ συμφέροντος ταῖς ἀσθενούσαις ψυχαῖς. αὗται δὲ πρὸς τὸ πενθεῖν
15 εἰσι καὶ τὸ δεῖσθαι διὰ τὴν ταραχήν.

420. ad Θ 1 extr.

433—436. οὐ πρέποντα μὲν τὰ τῆς ὑποθήκης γυναικί. ἀλλ' εἰ B f. 90ᵇ ad
καὶ γυναικὶ μὴ πρέπει, ἀλλά γε τῇ Ἀνδρομάχῃ, ἐπεὶ καὶ τὸ ἱπποκομεῖν παρ' ἐρινεόν.
οὐ γυναικός, ἡ δὲ Ἀνδρομάχη καὶ τοῦτο ποιεῖ (Θ 187—190), ὡς καὶ L f. 139ᵇ.
20 φίλανδρος ἐπιμελομένη καὶ τῶν φερόντων αὐτῆς τὸν ἄνδρα. Lp f. 129ᵇ c. l. παρ' ἐρινεόν.

---

1 ἀφορμὴν δίδωσι τῆς ἀργίας αὐτῷ Lp 2. 3 ἐν αὐτῷ Lp 3. 4 ὡς θελ. αὐτῶν ἐκδοῦναι αὐτὸν τῷ Μεν. Lp 5 πλειοτέρως Lp 13 A in lemm.: ἤτοι γὰρ πατέρ' ἁμὸν ἀπέκτεινε (supra ει scrpt. α) δῖος ἀχιλλεύς 17 οὐ προτρέποντα μὲν κτλ. Lp 18 πρέποντα Lp ἐπεὶ in rasura, καὶ extra lineam addito, Lp 19. 20 ὡς φίλανδρος ἐπιμελουμένη L Lp 20 εὐφραινόντων pro φερόντων L

144, cf. Apollon. v. *ἐπί*. Ipsum Porphyrium de notione eius vocis aliter statuere, schol. Z 15 docet.

1 sqq. Inter *ζητήματα* referenda esse scholio Aristoniceo docemur diplen h. l. positam explicante *ὅτι ἄπορον ποῖον χόλον*. Addit *λύοιτο δ' ἂν ἐξ ὑποθέσεως κτλ.*

17 sqq. Duo scholia cohaerere schol. Aristoniceum docet v. 433 adscriptum: *ἀθετοῦνται στίχοι ἑπτὰ ἕως τοῦ ἦ νυ καὶ αὐτῶν θυμός κτλ.*

17—20 L f. 140ᵃ *II* (id. Scor. ap. Dindorf., vol. IV, p. 411, *II*): *ἀπρεπές ἐστι καὶ ἀνάρμοστον γυναικὶ τὸ διοικεῖν πολέμους καὶ λέγειν τὴν Ἀνδρομάχην λαὸν δὲ στῆσον παρ' ἐρινεόν ⟨ἐρήνεον L⟩. ἡ λύσις ἀπὸ τοῦ προσώπου· ὑπόκειται γὰρ ἡ Ἀνδρομάχη τοιαύτη καὶ οὐκ ἀπείρως καὶ τοὺς Ἕκτορος ἵππους τημελοῦσα.*

Quod scholium non ab eo qui scholia Leidensia scripsit excerptum, sed in farragine scholiorum Porphyrianorum, e qua nostrorum codicum scholia fluxerunt, iam exstitisse, ea re apparet, quod verba *τοῦτο ποιεῖ· ὑπόκειται γὰρ ἡ Ἀνδρομάχη κτλ.* in cod. B ab altera manu scholio manus prioris, quod supra edidimus, post *τὸν ἄνδρα* subiuncta sunt, ita ut unum omnia scholium efficere videantur. Omiserat nimirum brevius scholium manus prior; postea qui scholia secunda addidit, e suo codice, quia totum scholium addere noluit, verba adscripsit quae a verbis alterius scholii plurimum discrepare videbantur.

B f. 90b ad v. 436. L f. 140a. Lp f. 129b. *B f. 91a ad μοῖραν. L f. 140b, Π.

.... διὰ τί δὲ, φαcὶν, οὐ cυνεῖδε ταῦτα ὁ Ἕκτωρ; φαμὲν δὲ ὅτι cυνεῖδεν· ἐμοὶ γάρ φηcι τάδε πάντα μέλει, γύναι (Z 441).

488. ἐζήτηcάν τινεc, πῶc ἐνταῦθα ἀπαράβατον λέγει τὴν μοῖραν ὁ ποιητής, ἐν δὲ τῇ Ὀδυccείᾳ παραβατὸν ὑφίcταται, ὅταν λέγῃ (α 35)·

ὡc καὶ νῦν Αἴγιcθοc ὑπὲρ μόρον Ἀτρείδαο γῆμ' ἄλοχον.

λύεται δὲ τοῦτο ἐκ τοῦ δείκνυcθαι ὅτι τριχῶc ἡ μοῖρα παρὰ τῷ ποιητῇ λέγεται· ἡ εἱμαρμένη, ἡ μερὶc καὶ τὸ καθῆκον. ὅταν οὖν λέγῃ (γ 66)

μοίραc δαccάμενοι δαίνυντ' ἐρικυδέα δαῖτα,

τὰc μερίδαc λέγει. ὅταν δὲ λέγῃ (Ε 83)

ἔλλαβε πορφύρεοc θάνατοc καὶ μοῖρα κραταιή,

τὴν εἱμαρμένην cημαίνει. ὅταν δὲ ἐπὶ τῶν Τρώων φευγόντων λέγῃ· οὐ κατὰ μοῖραν τάφρον διεπέρων (Π 367), οὐ κατὰ τὸ καθῆκον διεπέρων τὴν τάφρον λέγει, ἀλλ' αἰcχρῶc. καὶ ἐπὶ τῶν οὖν προκειμένων ἐν μὲν τῷ μοῖραν δ' οὔ τινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν τὴν εἱμαρμένην λέγει, ὅταν δὲ ὡc καὶ νῦν Αἴγιcθοc ὑπὲρ μόρον, οὐ τὸ cημαῖνον τὴν εἱμαρμένην λέγει, ἀλλὰ τὸ ὑπὲρ τὸ καθῆκον· οὐ γάρ ἐcτι νῦν πρέπον οὐδὲ καθῆκον τὰc ἄλλοιc νόμῳ cυνῳκιcμέναc φθείρειν γυναῖκαc. ἄλλωc τε οὐκ ἐκ τοῦ ποιητοῦ οἱ λόγοι, ἐκ προcώπων δὲ διαφόρων εἰc μίμηcιν παραληφθέντων. ποτὲ μὲν γὰρ λέγει πρὸc Ἀνδρομάχην ὁ Ἕκτωρ, ποτὲ δὲ ὁ Ζεύc· διαφωνεῖν δὲ πρὸc ἄλληλα οὐδὲν ἀπεικὸc τὰ διάφορα πρόcωπα. ὡcαύτωc δὲ καὶ ἐπὶ τῶν Ἑλλήνων ὅταν λέγῃ (Β 155)

ἔνθα κεν Ἀργείοιcιν ὑπέρμορα νόcτοc ἐτύχθη,

παρὰ τὸ καθῆκον ἀκουcόμεθα. Ὅμηροc μέντοι ἀπαράβατον τὴν μοῖραν τὴν κατὰ τὴν εἱμαρμένην οἶδεν ἐν οἷc φηcι (Ψ 80. 81)

---

1 φηcὶν L cυνοῖδε (id. lin. 2) Lp δὲ om. Lp 2 μέλλει Lp 4 παραβατὴν L 7 ἐκ τοῦ δείκνυcθαι om. L 8 λέγεται· cημαίνει γὰρ τὴν μερίδα τὸ καθῆκον καὶ τὴν εἱμαρμένην· ὅταν γὰρ λέγῃ κτλ. L 11 ἔλλ, suprascript. α, B 12 λέγει pro cημαίνει L; idem verba ἐπὶ τῶν Τρώων φευγόντων om. 13 sqq. multo breviora L: οὐ κατὰ τὸ καθῆκον δηλοῖ ἀλλ' αἰcχρῶc. οὕτω κἀκεῖcε· οὐ γὰρ καθῆκον τὰc ἄλλοιc νόμῳ κτλ. lin. 18 19 γυναῖκαc φθείρειν L 19. 20 ἄλλωc τε καὶ ἐκ τοῦ ποιητοῦ οἱ λ. ἐκ δὲ προcωπ. διαφ. κτλ. L 20 ὁτὲ pro ποτὲ L 21 διαφωνεῖν γὰρ πρ. ἄλλ. L 22 κατὰ pro τὰ L 22. 23 οὕτωc καὶ ὅταν λέγῃ L 25 τὸ in ras. B

---

7 sqq. Apollon. v. *μοῖραι· ἐπὶ μὲν τῶν μερίδων οἱ δ' ἤδη μοίραc τ' ἔνεμον* (Θ 470)· *ἐπὶ δὲ τῆc εἱμαρμένηc μοῖραν δ' οὔ τινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν* (Z 488)· *ἐπὶ δὲ τοῦ καθήκοντοc καὶ ἁρμόζοντοc ναὶ δὴ ταῦτά γε πάντα, γέρον, κατὰ μοῖραν ἔειπεc* (*Λ* 286). Idem fere Etym. M. *μοῖρα*.

17 Apollon. v. *ὑπέρμορον: ... ὁ δὲ Ἡλιόδωροc ὡc δύο μέρη λόγου ὄντα προφέρεται καί φηcιν· ὑπὲρ τὸ καθῆκον.* Cf. Hesych. h. v.

19 sqq. Cf. Porph. Z 265, p. 100, 4.

25 †Lp f. 67b ad *B* 155: *ὑπέρμορα, ὑπὲρ τὸ προcῆκον, ὑπὲρ τὸ εἱμαρμένον.*

καὶ δὲ coὶ αὐτῷ μοῖρα, θεοῖc ἐπιείκελ' Ἀχιλλεῦ,
τείχει ὕπο Τρώων εὐηγενέων ἀπολέcθαι,
καὶ πάλιν (Ε 613) ἀλλά ἑ μοῖρα
ἦγ' ἐπικουρήcαντα μετὰ Πρίαμόν τε καὶ υἷαc.
5 κρατεῖν δὲ οὐ μόνον ἀνθρώπων ἀλλὰ καὶ θεῶν ἀποφαίνεται, ὥc που καὶ ὁ Ἄρηc φηcὶν (Ο 117. 8)
εἴ πέρ μοι καὶ μοῖρα Διὸc πληγέντι κεραυνῷ
κεῖcθαι ὁμοῦ νεκύεcci,
καὶ ὁ Ποcειδῶν πρὸc τὴν Ἶριν (Ο 208 sqq.)·
10 ἀλλὰ τόδ' αἰνὸν ἄχοc κραδίην καὶ θυμὸν ἱκάνει,
ὁππόταν ἰcόμορον καὶ ὁμῇ πεπρωμένον αἴcῃ
νεικείειν ἐθέλῃcι χολωτοῖcιν ἐπέεccιν.
ἀφ' ὧν δηλοῖ ὡc τὴν πεπρωμένην καὶ αὐτῶν τῶν θεῶν ἐπικρατεῖν γινώcκει, διὸ καὶ ὑπείκειν αὐτῇ καὶ τὸν ὑπέρτατον θεὸν Δία καὶ ἄν-
15 δρα θνητὸν ἐόντα πάλαι πεπρωμένον αἴcῃ αὐτοῦ τε υἱὸν νενομιcμένον μὴ θελῆcαι θανάτοιο δυcηχέοc ἐξαναλῦcαι, ἀλλὰ μᾶλλον αἱματοέccαc ψιάδαc κατέχευεν ἔραζε παῖδα φίλον τιμῶν (Π 441. 459). διὸ καὶ Πάτροκλοc (Π 849)·
ἀλλά με μοῖρ' ὀλοὴ καὶ Λητοῦc ἔκτανεν υἱόc.
20 οὕτω καὶ περὶ Ἡρακλέουc λέγει (C 117)·
οὐδὲ γὰρ οὐδὲ βίη Ἡρακλῆοc φύγε κῆρα,
ὅc περ φίλτατοc ἔcκε Διὶ Κρονίωνι ἄνακτι,
ἀλλὰ ἑ μοῖρ' ἐδάμαccε καὶ ἀργαλέοc χόλοc Ἥρηc,
καὶ ἀλλαχοῦ (C 328. 9)·
25 ἀλλ' οὐ Ζεὺc ἄνδρεccι νοήματα πάντα τελευτᾷ·
ἄμφω γὰρ πέπρωται ὁμοίην γαῖαν ἐρεῦcαι.
ἀλλὰ καὶ Ἥφαιcτοc τὰ μὲν ὅπλα δοῦναι ὑπιcχνεῖται, τὴν δὲ μοῖραν παρατρέψαι ἀρνεῖται·
αἰ γάρ μιν θανάτοιο δυcηχέοc ὧδε δυναίμην
30 νόcφιν ἀποκρύψαι, ὅτε μιν μόροc αἰνὸc ἱκάνοι (C 464. 5).
ἔcτι δὲ γὰρ καὶ ἄλλα μυρία, ἀφ' ὧν δείκνυται Ὅμηροc ἀπαράβατον λέγων τὴν τοῦ θανάτου μοῖραν.

οὐ cύνθετον τὸ ὑπὲρ μόρον (α 34). μόρον δὲ τὴν μοῖραν· ἦ ρα καὶ cὺ κακὸν μόρον ἡγηλάζειc (λ 618). καὶ πῶc ἀλλαχοῦ M Q α 34 Dind.
35 φηcι μοῖραν δ' οὔ τινά φημι (Z 488); ῥητέον ὅτι τῆc μοίραc τὸ

2 τάχα L εὐηγενέτων L 3 καὶ — υἷαc om. L 6 καὶ Ἄρηc ὅτε φηcὶν L 9 ὁ δὲ Ποcειδ. L 11 ὁπόταν L 13 δι' ὧν L καὶ τῶν θεῶν αὐτῶν L 14 αὐτῷ L τῶν θεῶν L 15 ἐόντα (in ras.) πάλιν L 15. 16 αὐτοῦ — νενομιcμένον om. L 16 pro θελῆcαι θέλοντα cj. Kammer p. 48 δυcτυχέοc ἐξαναλῦcαι, reliquis omissis, L 21 φύγε κῆρα om. B 22 ὅc κεν B 29 αἰ γάρ μοι B

33 sqq. Utrumque frustulum cum Porphyrii quaestione nobis servata coniungendum esse veri simillimum est, neque obstat quod ad Z 488 verba ὑπὲρ μόρον aliter explicantur atque ad α 34; neque enim hanc pro illa ratione Por-

μέν ἐστι μονότροπον τὸ δὲ ἀμφίβολον, ὡς ἐν Ἰλιάδι ἀπεδείξαμεν, ὡς ἐν τῷ μήτηρ γάρ τέ μέ φησι διχθαδίας κῆρας φερέμεν (I 410).

B f. 123ᵃ ad φησι I 410. Lp f. 162ᵇ ibid.

..... τὸ ἀμφίβολον δὲ τῆς μοίρας καὶ ἐν ἄλλοις οἶδε, δι' ὧν Τειρεσίας φησὶν Ὀδυσσεῖ τὰς εἰ μέν κ' ⟨κεν BLp⟩ ἀσινέας ἐᾷς· εἰ δέ κε σίνηαι (λ 110. 12).

*B f. 91ᵇ ad ἠλακάτην. L f. 142ᵇ, Π. cf. HPQ η 105 et (δ 122) p. 757 Dind.

491. διαφέρει τὰ ἠλάκατα τῆς ἠλακάτης, καὶ ἡ διαφορὰ ἥδε· ἡ μὲν γὰρ ἠλακάτη δηλοῖ τὸ ξύλον, εἰς ὅπερ εἰλοῦσι τὸ ἔριον αἱ νήθουσαι, ἠλάκατα δὲ αὐτὰ τὰ ἔρια τὰ περιειλούμενα τῇ ἠλακάτῃ. τὴν μὲν οὖν ἠλακάτην διὰ τούτων δεδήλωκεν, ὡς ἐν τῇ Ὀδυσσείᾳ (δ 135)·

ἠλακάτη τετάνυστο ἰοδνεφὲς εἶρος ἔχουσα.

τετανύσθαι δὲ αὐτὴν εἶπε διὰ τὸ εἶναι ἐπιμήκη τε καὶ λείαν. τὰ δὲ ἐπὶ τῆς ἠλακάτης ἔρια·

ἠλάκατα στρωφῶσ' ἁλιπόρφυρα, θαῦμα ἰδέσθαι

(ζ 306), καὶ ἔτι δὲ παρ' ἠλάκατα στροφαλίζετο (c 315). λέγει δὲ καὶ χρυσῆν τὴν ἠλακάτην, ὡς τὸ (δ 130 sqq.)

χωρὶς δ' αὖθ' Ἑλένη ἅλοχος πόρε κάλλιμα δῶρα,
χρυσῆν τ' ἠλακάτην τάλαρόν θ' ὑπόκυκλον ὄπασσε,
τόν ῥά οἱ ἀμφίπολος Φυλὼ παρέθηκε φέρουσα
νήματος ἀσκητοῖο βεβυσμένον.

καὶ ἡ χρυσηλάκατος δὲ Ἄρτεμις ἀπὸ τῆς ὁμοιότητος καὶ τῆς κατασκευῆς τῆς ἠλακάτης εἴρηται χρυσοῦν τόξον ἔχουσα·

Ἥρη δ' ἀντέστη χρυσηλάκατος κελαδεινὴ
Ἄρτεμις ἰοχέαιρα (Υ 70. 71).

*B f. 92ᵇ ad μεθίεις.

523. τί γὰρ μεθίει τε καὶ τί οὐκ ἐθέλει; ἐκ τῶν προρρηθέντων ἔστι λαβεῖν. προεῖπε δέ· δαιμόνι', οὐκ ἄν, τίς τοι ἀνὴρ ὃς ἐναίσιμος εἴη ἔργον ἀτιμήσειε μάχης, ἐπεὶ ἄλκιμός ἐσσι. μεθίεις οὖν τὸ ἔργον τῆς μάχης καὶ οὐκ ἐθέλεις μάχεσθαι, ὥσπερ ἐν ἄλλοις ἐκ πλήρους ἔφη· οὕς τινας αὖ μεθιέντας ἴδοι στυγεροῦ πολέμοιο (Δ 240).

---

7 εἰς om. L 9 ὡς — Ὀδυσσείᾳ om. codd. Odyss. 10 τετάνυτο BL 15 ὡς τὸ om. L 17 ὑπέρκυκλον BL ὤπασε L 20 χρυσηλεκάτη L 22 ἀνέστη L

---

phyrium in difficultate solvenda plane respuisse cum λύσις ἀπὸ τοῦ προσώπου docet ab eo (p. 104, 19) allata tum fragmentum libri περὶ τοῦ ἐφ' ἡμῖν a Stobaeo servatum (ecl. eth. II, 7, 42). Contra ea quaestiones ad Λ 3 et Ω 527 traditas, quia praeter ea quae ad nostrum locum spectant res continent, quarum neque hic neque apud Stobaeum vestigium apparet, ad eos quibus adscriptae leguntur versus edendas existimavimus, quamvis sit cur cum quaestione h. l. edita olim cohaesisse videri possint.

3 Cf. schol. Aristonic. N 663: ὅτι δισσὰς εἱμαρμένας ὑποτίθεται τοῦ Εὐχήνορος καθάπερ καὶ ἐπ' Ἀχιλλέως· διχθαδίας κῆρας φερέμεν. E Porphyrio haud scio an Eust. I, p. 760, 10 sqq., fluxerit.

24 Etsi sublato interrogationis signo post ἐθέλει posito dubitari potest, num recte Quaestionibus scholium sit inserendum, tamen non omittendum esse existimavimus, praesertim cum illa ἐκ τῶν προρρηθέντων ἔστι λαβεῖν cum

H

9. Δοκεῖ μάχεσθαι ἑαυτῷ ὁ ποιητής, ἀεὶ πρεσβύτερον λέγων Νέστορα τῶν ἐπὶ Ἴλιον στρατευσάντων — μετὰ δὲ τριτάτοισιν ἄνασσεν (A 252) —, ἐνταῦθα δὲ Μενέσθιον· δυσὶ γὰρ γενεαῖς παράγεται πρεσβύτερος ὢν τοῦ Νέστορος· Ἀρηιθόου γὰρ λέγει τοῦ ἐπικαλουμένου κορυνήτου παῖδα εἶναι Μενέσθιον, ὑπὸ δὲ Λυκούργου φησὶν ἀνῃρῆσθαι τὸν Ἀρήιθοον, ὃν δὴ καὶ λαβεῖν αὐτοῦ τὰ ὅπλα, γηράσαντα δὲ τοῦτον Ἐρευθαλίωνι παραδοῦναι, τὸν δὲ Ἐρευθαλίωνα ὑπὸ Νέστορος ἀναιρεθῆναι νέου ὄντος· φησὶ γὰρ γενεῇ δὲ νεώτατος ἔσκον ἁπάντων (H 153). ῥητέον δὲ ὅτι ἴσως ἀπέθανεν Ἀρήιθοος ἐνιαυσιαῖον ἐάσας τὸν υἱόν, ἀνεῖλε δὲ τὸν Ἀρήιθοον ὁ Λυκοῦργος ἤδη γηραιὸς ὤν· φησὶ γὰρ πέφνε δόλῳ οὔτι κράτεῖ γε (H 142)· ὀλίγον δὲ ἐπιβιοὺς δύναται Ἐρευθαλίωνι παραχωρεῖν τὴν πανοπλίαν. προκαλούμενος δὲ οὗτος τοὺς Πυλίους οὐκ ἀπεικότως ὑπὸ Νέστορος ἀναιρεῖται νέου ὄντος, ὥστε Νέστορα μὲν εἶναι Μενεσθίου πρεσβύτερον, τῶν δὲ ἄλλων τῶν ἐπὶ Ἴλιον στρατευσάντων μείζονα Μενέσθιον. ἢ τῇ τοῦ ὀνόματος ὁμωνυμίᾳ· ὁ γὰρ τοῦ Μενεσθίου πατὴρ Ἀρήιθους Βοιωτὸς ἦν, ὁ δὲ ὑπὸ Λυκούργου ἀναιρεθεὶς Ἀρκάς.

B f. 93ᵃ ad ναιετάοντα. L f. 144ᵃ. Lp f. 132ᵃ c. l. Ἄρνη.

ἀδύνατον Μενέσθιον τοῦ κορυνήτου υἱὸν ὄντα πολεμεῖν. πρεσβύτερος γὰρ ἂν εἴη Νέστορος, εἴγε τὸν κορυνήτην Λυκοῦργος ἀνεῖλεν, εἰ γηράσας δὲ οὗτος Ἐρευθαλίωνι κατέλιπε τὴν κορύνην, τοῦτον δὲ Νέστωρ νεώτατος ὢν ἀνεῖλεν (H 142—154). ἡ δὲ λύσις ἀπὸ τῆς λέξεως· ὁμώνυμος γὰρ πατὴρ υἱῷ, καὶ ὅταν φησὶν (H 138) ὁ κορυνήτης, οὐ τὸν Μενέσθιον λέγει ἀλλὰ τὸν Ἀρήιθοον τὸν Μενεσθίου πατέρα, ὥστε εἶναι τὸν κορυνήτην πάππον τοῦ Μενεσθίου.

*B ibid. Cf. Phil. XVIII, p. 344, *Π*.

44. . . . . διὰ τί δὲ οὐχ ὁ Ἀπόλλων ὑπέθετο Ἕκτορι προκαλέσασθαι; ὅτι ἡττηθεὶς ἔμελλεν ἀπιέναι.

B f. 93ᵇ ad Ἕλενος. Lp f. 133ᵃ.

93. διὰ τί προκαλουμένου Ἕκτορος εἰς μονομαχίαν οἱ μὲν ἄλλοι ἄριστοι αἴδεσθεν μὲν ἀνήνασθαι, δεῖσαν δ' ὑποδέχθαι (H 93), Μενέλαος δὲ πρῶτος ἀνίσταται καὶ μεμψάμενος τοὺς ἄλλους κατεδύσατο

*B f. 94ᵇ ad αἴδεσθεν μὲν.

---

1 ὁ ποιητὴς ἑαυτῷ L πρεσβύτατον L λέγω Lp 2 post στρατευσάντων rasura unius litterae vel signi B 3 παράγεται, αγ in ras. (α fuit αι), B 4 γὰρ om. Lp 5 ἀναιρεῖσθαι Lp 6 ἀρηιθόου e corr. L σαντα δὲ τοῦτον in ras. B γηραν, supra α script. τα, Lp 7 ἐρευθελίωνι (ι in ras.) B, ἐρευθαλίων L ἐρευθελίωνα B 8 γενεαῖς L ἔσκων, sprscrpt. ο, L 9 ἀρηίθεος L 10 δὲ codd. om., add. Bkk. 11 κράτα γε L 12 ἐρευθελίωνι B παρέχειν L 14 μενέσθον, supra ο scrpt. ϊ, L 18 schol. *B uno signo :— interiecto scholium manus primae excipit 22 ὁμώνυμος Vill.; ὁμώνυμοι cod.

---

eo congruant, quod Porphyrium aliis locis recte premere videmus, *ὡς αὐτὸς ὁ ποιητὴς ἑαυτὸν ἐξηγεῖται.*

9 sqq. Cf. Eust. *H*, p. 671, 52, *τοὺς παλαιούς* referens.

15 Aristarchi sententia, v. Ariston. h. v. — In numero homonymorum quae Porphyrius contulit (ad *E* 576) non exstant.

τεύχεα καλὰ (v. 103) μάχεσθαι προθυμούμενος, ὅτε δὲ προτραπέντες οἱ ἐννέα ἀνίσταντο, οὐδαμοῦ οὗτος ἐν τούτοις εὑρίσκεται, ἀλλ' Ἀγαμέμνων καὶ Διομήδης καὶ οἱ Αἴαντες καὶ Ἰδομενεὺς καὶ Μηριόνης καὶ Εὐρύπυλος καὶ Θόας καὶ Ὀδυσσεύς (v. 161 sqq); φησὶ δὲ ὁ Ἀριστοτέλης, ὅτι ἅπαξ ἀκούσας μηδ' ἔθελ' ἐξ ἔριδος σεῦ ἀμείνονι φωτὶ μάχεσθαι Ἕκτορι (v. 111) οὐκ ἔμελλεν αὖθις ἀνίστασθαι, καὶ ὅτι τὸ πρότερον ἐκ φιλονεικίας ἡ ἀνάστασις, καὶ ὅτι ἤδη μονομαχήσας ἐτύγχανεν Ἀλεξάνδρῳ καὶ οὐ καλῶς ἀπαλλάξας, καὶ νεωστὶ ἐτέτρωτο ὑπὸ Πανδάρου, καὶ ὅτι ἀποκινδυνεύειν τοῦτον οὐκ ἐχρῆν ἐν ᾧ τὸ τέλος ἤρτητο τοῦ πολέμου· ἐπὶ γὰρ Ἀλεξάνδρου ἴσον ἦν τὸ τοῦ κινδύνου.

B f. 91ᵇ ad θωρήξομαι. Lp f. 134ᵇ c. l. αὐτὸς θωρήξομαι.

101. πῶς ἐν πολέμῳ ὢν οὐκ ἦν ὡπλισμένος; φαμὲν ὅτι ἀσφαλέστερα ὅπλα ἀναλαβεῖν θέλει μέλλων εἰσιέναι εἰς μονομάχιον ⟨μονομαχίαν Lp⟩.

B f. 95ᵃ ad Ἀτρειδης. L f. 147ᵇ. Lp f. 134ᵇ c. l. αὐτός τ' Ἀτρείδης.

107. διὰ τί τὸν μὲν Ἀλέξανδρον κελεύει μονομαχεῖν Ἕκτωρ (Γ 39 sqq.), τὸν δὲ Μενέλαον κωλύει κινδυνεύειν Ἀγαμέμνων καὶ οἱ ἄλλοι βασιλεῖς; ὅτι τοῦ μὲν Ἀλεξάνδρου ἀδικοῦντος ἡδέως οἱ Τρῶες εἶχον, τὸν δὲ ὡς ἀδικούμενον ἐλεοῦσιν.

B f. 95ᵃ ad γέρων. L f. 147ᵇ. Lp f. 135ᵃ c. l. γέρων ἱππηλάτα.

125. ..... ἀνόητον δέ φασι τὸ μὴ τοὺς γονεῖς αὐτῶν παραλαβεῖν ἀχθομένους, ἀλλὰ τὸν Πηλέα, ὃν ἔδει χαίρειν δυστυχούντων Ἑλλήνων διὰ τὴν Ἀχιλλέως ὕβριν. ἔστι δὲ ἔντεχνον· εἰ γὰρ ὁ τοῦ πολεμίου πατὴρ ἀθυμεῖ, πόσῳ μᾶλλον οἱ ὑμῶν; ἅμα δὲ καὶ ὑπομιμνήσκει Ἀγαμέμνονα Ἀχιλλέως, ὅτι ὁ νῦν προκαλούμενος πάντας, ὄφρ' Ἀχιλλεὺς μετ' Ἀχαιοῖσιν πολέμιζεν, οὐκ ἐθέλεσκε μάχην ἀπὸ τείχεος ὀρνύμεν Ἕκτωρ (I 352)· ἐπαχθὲς γὰρ ἦν οὕτω σαφῶς ὀνειδίσαι. προμνηστεύει οὖν τὰς λιτάς, καὶ τοῖς βαρβάροις δὲ ἐμφαίνει ὅτι οὐκ ἔσται ἡ Ἀχιλλέως ὀργὴ πολυχρόνιος, τοῦ Πηλέως οὕτως πρὸς τοὺς Ἕλληνας διακειμένου. ὑποθωπεύει δὲ λεληθότως τὸν Ἀχιλλέα.

B f. 96ᵃ ad πεπάλασθε. L f. 149ᵇ. Lp f. 136ᵃ.

171. ..... ἀνοήτως δὲ, φασὶν, ἐπὶ κλῆρον ἔρχεται· δέον γὰρ ἑλέσθαι τὸν ἄριστον πάντων, ὅπου τοιοῦτος ὁ κίνδυνος ἦν, τὸν δὲ φαυλότατον ἐᾶσαι. τοῦτο δὲ ποιεῖ ὁ Νέστωρ, ἵνα μὴ ἑνὸς προκριθέντος ὑβρισθῶσιν οἱ λοιποί. τῷ τε πολεμίῳ ἐνδείκνυται, ὅτι οὐχ ἕνα μόνον οἴεται ἀξιόχρεων εἰς τὴν πρὸς αὐτὸν μάχην. καὶ ἵνα μήτε νικήσας τὸν ἄριστον δοκῇ νενικηκέναι ἀλλὰ τὸν ὑπὸ κλήρου δεδομένον,

---

4 καὶ ante Θόας om. cod.; add. Bkk. margini codicis interiori adscript. Ἀριστοτλ. 8 οὐκ ἄλλως cod.; corr. Bkk. 14 καὶ διὰ τί L 15 τὸν Μεν. δὲ L 18 praemittuntur in codd. verba a quaestione aliena: διδάσκει ὅτι τοὺς γέροντας δεῖ καὶ ἀπόντας τιμᾶν, ὡς Πηλεῖ μέλει ⟨μέλλει BLp⟩ Ἑλλήνων καὶ μὴ παρόντι 23 μάχης Lp 26 ἡ ὀργὴ Ἀχ. L 29 praecedunt nonnulla ad Nicanorem referenda φησὶν Lp 31 ἐάσαι B 31 μηδενὸς codd.; rectum Eust. suppeditat 33 ἀξιόχρεων, ο ex ω corr., Lp

---

29 sqq. †Eust. *H*, p. 674, 4 sqq.

μήτε λειφθεὶς ὑπὸ τοῦ ἀρίστου λελεῖφθαι ἀλλ' ὑπὸ τοῦ λαχόντος τὸν κλῆρον. ἅμα δὲ καὶ ἀγωνιᾷ ἐπὶ τῷ κλήρῳ ὁ ἀκροατής.

175. Z 168.

185. v. ad Z 168.

229. διὰ τί ὁ Αἴας τῷ Ἕκτορι δεδήλωκε τὴν τοῦ Ἀχιλλέως μῆνιν; *B f. 97ᵇ ad Ἀχιλλῆα. L f. 152ᵃ, H. οὐδεμία γὰρ ἀνάγκη ἦν οὐδὲ φρονίμου ἀνδρὸς τὰ παρ' αὐτοῦ κακὰ τοῖς πολεμίοις ἐξαγγέλλειν, ἢ ὅτι ἐγίνωσκον οἱ Τρῶες τὴν μῆνιν Ἀχιλλέως ὑποδεῖξαι πάντως· ὁ γὰρ Ἀπόλλων ἐδήλωσεν αὐτοῖς ἐν οἷς φησιν (Δ 512. 13)·

οὐ μὰν οὐδ' Ἀχιλεὺς Θέτιδος παῖς ἠυκόμοιο
μάρναται, ἀλλ' ἐπὶ νηυσὶ χόλον θυμαλγέα πέσσει.

εἰ δ' ἀγνοοῦσι τὴν ὀργὴν οἱ Τρῶες, καὶ οὕτως τὸ τῆς δηλώσεως ἀναγκαῖον, μὴ ἐν τῷ λοιμῷ τεθνηκέναι νομίσωσιν αὐτόν. λύσις. Ἀριστοτέλης δέ, ἵνα μὴ οἴηται τὸν Ἀχιλλέα ἀποδεδειλιακέναι, ἀλλὰ κἀκεῖνον καὶ ἄλλους αὐτοῦ εἶναι κρείττους. εἶτα εἰπὼν

νῦν δὴ σάφα εἴσεαι οἰόθεν οἶος,
οἷοι καὶ Δαναοῖσιν ἀριστῆες μετέασι,
καὶ μετ' Ἀχιλλῆα ῥηξήνορα θυμολέοντα (H 266 sqq.),

ἵνα καταπλήξῃ τῆς Ἀχιλλέως ἀρετῆς ἀναμνήσας, ὃν ἐδόκει πεφοβῆσθαι, εἰκότως * * πέπονθεν Ἀχιλλεύς. τὸ γὰρ μετ' Ἀχιλλῆα ἀμφίβολον, πότερον μετὰ τὴν ἐκείνου τελευτὴν ἢ μετὰ τὴν ἐκείνου ἀρετὴν ἢ καθάπερ ἐκεῖνος ἦν καὶ ἄλλοι εἰσίν. ἀναγκαῖον οὖν δηλῶσαι τί πέπονθεν Ἀχιλλεύς, καὶ ὅτι μηνίων οὐ πάρεστιν ἀλλ' οὐχὶ τεθνηκὼς ἢ ἀποπλεύσας, ἀλλ' ὅτι ἐν νηυσὶ κορωνίσι μηνίων. ὀργὴ δ' ἐν ἀγαθοῖς ἀνδράσιν εὐδιάλυτον.

276. ὁ μὲν Ἰδαῖος εἰκότως προσέρχεται, τὸν Ἕκτορα σώσων κινδυνεύοντα· ὁ δὲ Ταλθύβιος οὐκέτι, τὴν νίκην Αἴαντος ἀφαιρούμενος. φαμὲν δὲ ὅτι οὐδέπω ἀκριβὴς ἦν ἡ νίκη περὶ τὸν Αἴαντα· ἐπὶ ξίφη γὰρ αὐτοὺς ὡρμῆσθαι λέγει, ἔνθα μάλιστα τύχης, οὐ τέχνης καὶ ἰσχύος, κρίσις τὸ πλεῖστον ἔχει· ἀπὸ ἴσου γὰρ ὁρμῶνται. ἔτι τε καὶ τὸν Ἕκτορα B f. 98ᵇ ad Ταλθύβιός τε. L f. 153ᵃ. Lp f. 138ᵃ c. l. Ταλθύβιός τε καὶ Ἰδαῖος. Cf. A h. v.

5 ἕκτορι, ε in ras., L 6 αὐτοῦ L αὐτῷ ci. Kamm. p. 48 7 ἐγίγνωσκον L Kamm. εἰ ante ἐγίν., ἀδιάφορον post πάντως (lin. 8) e coni. inseruit 10 ἀχιλλεὺς BL πάϊς om. codd.; add. Vill. 13 λύσις om. L in marg. exter. B script. Ἀριστοτελ. 15 αὐτοῦ codd. 19 πεφοβεῖσθαι L 20 lacunam indicavi inter εἰκότως et πέπονθε, cuius loco fuisse cum Kammero dicas verba λέγει τί. Roemer, Fleckeis. Ann. 1878, p. 539, pro εἰκότως coni. λεκτέον ἃ vel τί 22 ἦν καὶ ἄλλοι om. L 23 sqq. καὶ ὅτι οὐχὶ τεθν. ἢ ἀποπλ., ἀλλ' ὅτι ἐν νήεσσι κορ. μηνίων οὐ πάρεστιν ci. Kamm. 26 σώζων Lp 28 φαμὲν οὖν ὅτι Lp 29 αὐτοῦ ὡρμεῖσθαι Lp 29. 30 ἔνθα — ὁρμῶνται post τὸ τῆς νυκτὸς κατάστημα (p. 110, 1) collocanda esse non solum e schol. A (v. Dind. I, p. 261, 13 not.) et Vict. (Roem. l. c.), sed etiam ex Eust. p. 681, 12 sequitur 30 ἔτι δὲ καὶ Lp

19—25 † B f. 97ᵇ ad Ἀχιλλῆα v. 228: *ἐπίτηδες καταπλήττει τὸν πολέμιον τῇ τοῦ κρείττονος προσδοκίᾳ, ὅπως μὴ εὔελπις ᾖ οἰόμενος τεθνάναι ἢ ἀποπεπλευκέναι* ⟨cod. *ἀποπλευκέναι*⟩ *τὸν πολέμιον.*

ὁρᾷ ὑπὸ θεῶν βοηθούμενον. ἀλλὰ καὶ διὰ τὸ τῆς νυκτὸς κατάστημα. κατὰ τὸ σιωπώμενον δὲ οἱ ἡγεμόνες αὐτοὺς πέμπουσιν.

Vat. ζητ. κβ'. 298. αἵ τέ μοι εὐχόμεναι θεῖον δύσονται ἀγῶνα. ἀγῶνα λέγει καὶ τὸν τόπον· λείηναν δὲ χορὸν ⟨χῶρον cod.⟩ καλὸν δ' εὔρυναν ἀγῶνα (θ 260) καὶ Ἀργεῖοι δ' ἐν ἀγῶνι καθήμενοι (Ψ 448), καὶ τὸ ἄθροισμα δέ· Ἥρη ⟨ηρη cod.⟩ μὲν μετ' ἀγῶνα νεῶν (Υ 33), καὶ τὸ πλῆθος· λῦτο δ' ἀγών (Ω 1), καὶ τὸ ἆθλον. θεῖον οὖν ἀγῶνα νῦν τὸ ἱερὸν εἶπε καὶ τὸν νεῶν ⟨νέων cod.⟩, ἤτοι θεῖον τόπον ὄντα καὶ θεῖον ἄθροισμα περιέχοντα, διὰ τὸ πολλῶν θεῶν ἀνατίθεσθαι ἐν αὐτῷ ἀγάλματα. εὐχόμεναι δὲ ἐμοί, οὐχ ὑπὲρ ἐμοῦ, ὅτι περὶ χειρόνων ἦν ἡ εὐχὴ ἀλλ' οὐχ ὑπὲρ τοῦ χείρονος ⟨ὑπὲρ αὐτοῦ ὡς χείρονος ?⟩

**B f. 255ᵃ ad ἀγῶνα C 376. νῦν (C 376) τὸν ναὸν λέγει. ἀγὼν δὲ σημαίνει ε'· τὸν τόπον, ὡς τὸ λείηναν δὲ χορὸν ⟨Vill.; cod. χῶρον⟩ καλὸν δ' εὔρυναν ἀγῶνα, τὸ ἄθροισμα· ἦλθε μετ' ἀγῶνα νεῶν ⟨Bkk.; cod. νέων⟩ καὶ Παλλὰς Ἀθήνη, τὸ πλῆθος, ὡς τὸ λῦτο ⟨λύτο cod.⟩ δ' ἀγών, τὸ ἆθλον, ἀγῶνος ἆθλα. τὸν ναόν, ὡς ἐνταῦθα καὶ αἵ τέ μοι εὐχόμεναι θεῖον δύσονται ἀγῶνα.

336. Z 252.

433. v. in fine operis.

436. v. ad Z 252.

Θ

schol. β 1 Dind. Ἠώς διάφορα σημαίνει· τήν τε σωματοειδῆ θεὸν διὰ τὸ φάναι τὸν ποιητὴν

2 κατὰ σιωπ. Lp

3 sqq. Difficillimum dictu est, quaenam Porphyrio causa exstiterit quaestionis nunc praeter pauca quae edidimus frustula deperditae. Dixeris eum de Σ 376 agentem lectionem Aristarcheam comparasse cum iis quae deteriores libri exhibuerant verbis *θεῖον κατὰ δῶμα νέοιντο* (v. Ariston.). Sed cum aequo iure contendi possit, eum de *Π* 500 disputantem utrum *νεῶν* an *νέων ἐν ἀγῶνι* (v. schol. A et B) legendum sit quaesivisse, ut in re incerta cod. Vaticani auctoritatem sequi maluimus.

5 *ἀγῶνα* significare *ἄγυριν*, *συναγωγήν* Aristarchus docuit (v. Lehrs, p. 149).

9 Ariston. *Π* 293: *ὅτι οὕτως τὴν ἄγυριν καὶ συναγωγὴν τῶν θεῶν, διὰ τὸ πολλῶν θεῶν ἐν ταὐτῷ εἶναι ἀγάλματα.*

13—18 Transierunt in Etym. M. v. *ἀγών*, p. 37, additis verbis: *οὕτως εὗρον σχόλια ἐν ὑπομνήμασιν Ἰλιάδος.* Cf. Eust. *Π*, p. 682, 9: *ὅτι δὲ πενταχῶς λέγεται ὁ ἀγὼν ἀριθμοῦσιν οἱ παλαιοί.*

22 sqq. Cum fragmento ad Θ 1 servato coniungenda et ad Porphyrium referenda esse quae e schol. Odyss. huc transtulimus, vel inde efficitur, quod in codd. EQ (Dind.) iis eadem fere subiciuntur quae multis praeterea additis aucta in codd. nostris BL leguntur. Ubi qui factum sit ut prior pars non adscriberetur, v. ad p. 112, 1 (ann. crit.).

Ipse Porphyr. in quaest. Vat. *ια'* (= schol. Z 201 v. in extr. op.) quattuor

Ἠὼς δ' ἐκ λεχέων παρ' ἀγαυοῦ Τιθωνοῖο
ὤρνυθ', ἵν' ἀθανάτοισι φόως φέροι ἠδὲ βροτοῖσι,

(Λ 1. 2), καὶ τὸν ὄρθρον φερωνύμως κληθέντα ἀπὸ τοῦ ὀρθοῦσθαι ἡμᾶς ἀπὸ τῆς κοίτης καὶ περὶ τὰ οἰκεῖα τρέπεσθαι ἔργα, ὡς ὅταν φησὶν

ἠὼς μὲν κροκόπεπλος ἐκίδνατο πᾶσαν ἐπ' αἶαν

(Θ 1), καὶ τὸ ἀπὸ πρωΐας μέχρις ὥρας ἕκτης διάστημα, ὡς τὸ

ὄφρα μὲν ἠὼς ἦν καὶ ἀέξετο ἱερὸν ἦμαρ (Θ 66),

καὶ τὴν ὅλην ἡμέραν, καθ' ὃ σημαινόμενον ἡμέρα νοεῖται ὁ ἀπὸ ἀνατολῆς τοῦ ἡλίου δρόμος μέχρι δύσεως, ὁπότε τὴν ὑπὲρ ἡμᾶς ποιεῖται φορὰν ὁ θεὸς οὗτος, τὸ παρ' ἡμᾶς διεξιὼν ἡμισφαίριον, ὡς τὸ

οἵ ῥ' ἐξ Ἀσκανίης ἐριβώλακος ἦλθον ἀμοιβοὶ
ἠοῖ τῇ προτέρῃ, τότε δὲ Ζεὺς ὦρσε μάχεσθαι

(N 793), καὶ

ἤματι τῷ προτέρῳ, ὅτ' ἐμαίνετο φαίδιμος Ἕκτωρ (Φ 5),

καὶ τὸ συναμφότερον ἡμέραν τε καὶ νύκτα, καθ' ὃ σημαινόμενον καὶ παρὰ τοῖς μαθηματικοῖς νοεῖται, ὡς τὸ

ἠὼς δέ μοί ἐστιν
ἥδε δυωδεκάτη, ὅτ' ἐς Ἴλιον εἰλήλουθα (Φ 80),

καὶ τὴν ἡλίου πάροδον καὶ τὸν τόπον ὅθεν ἀνατέλλει ὁ ἥλιος κατὰ Ἀρίσταρχον·

ὦ φίλοι, οὐ γὰρ ἴδμεν ὅπῃ ζόφος [οὐδ' ὅπῃ ἠὼς]
οὐδ' ὅπῃ ἠέλιος φαεσίμβροτος εἶσ' ὑπὸ γαῖαν,
οὐδ' ὅπῃ ἀννεῖται (κ 190 sqq.)·

νῦν γὰρ, καθά φησιν ὁ Κράτης, τῶν τεσσάρων τοῦ κόσμου μέμνηται μερῶν, ἄρκτου, μεσημβρίας, ἀνατολῆς καὶ δύσεως, ἅπερ ἀλλήλοις ἐξ ἀντιθέτου ἀντίκειται, ἡ μὲν ἄρκτος τῇ μεσημβρίᾳ, ἡ δὲ ἀνατολὴ τῇ δύσει.

---

26 Quae post δύσει in codd. Od. EQ leguntur deterioris notae sunt quam quae codd. Iliad. BL praebent, v. infra ad p. 112 lin. 4

tantum v. ἠώς notiones attulit. E nostro loco Eust. β, p. 1430, 10 sqq., et cod. Sorbon. ap. Gaisf. ad Et. M. p. 440, 38 hauserunt, ex altero schol. A Θ 1 (melius L f. 161ᵃ, Lp f. 142ᵇ) et Et. M. v. ἠώς; de origine schol. B f. 20ᵃ ad B 48 (id. L f. 25ᵇ, Lp f. 66ᵃ) non liquet; cf. etiam ad lin. 6. Ceterum iam Aristarchus in varias h. v. notiones inquisivit, v. lin. 20 et Ariston. Θ 66: *ὅτι νῦν τὴν πρὸ μεσημβρίας ὥραν ἠῶ λέγει.*

6 sqq. Veri simile est h. l. in integra Porphyrii quaestione olim lecta fuisse, quae nunc versui Θ 66 apposita sunt (B f. 104ᵃ ad ἠώς, Lp f. 144ᵃ c. l. ὄφρα μὲν ἠὼς ἦν): *τὸ μέχρι μεσημβρίας λέγει αὔξησιν, ὡς σφαιροειδῶς τῷ οὐρανῷ προσαναβαίνοντος τοῦ ἡλίου. ἱερὸν δὲ διὰ τὸ ἐν τούτῳ τοῖς θεοῖς θύειν· τὸ γὰρ μεσημβρινὸν τοῖς κατοιχομένοις ἐνέμετο. πρὸς πίστιν δὲ καὶ* ⟨om. Lp⟩ *τὸν καιρὸν ἔλαβεν. ἠώς δὲ σημαίνει τὸν ὄρθρον καὶ τὴν ἕως ἕκτης καὶ τὴν ἡμέραν. εἰς τρία δὲ διαιρεῖ τὴν ὅλην περίοδον τῆς ἡμέρας· ἢ ἠὼς ἢ δείλη ἢ μέσον ἦμαρ* (Φ 111). Cf. Eust. Λ 84, p. 832, 47: *ἱερὸν δὲ ἦμαρ κατὰ μὲν Πορφύριον τὸ μέχρι μεσημβρίας διὰ τὰς καὶ ἑτέρωθι δηλωθείσας τηνικαῦτα θυσίας* (sim. sed omisso auctore id. Θ, p. 698, 34), quae verisimile reddunt huc referendum esse etiam.

*B f. 102ᵇ ad ἠώς Θ 1. L f. 160ᵇ, *H*. Cf. D β 1 (Dindorf. p. XXXIX), *H*.

..... καὶ ποσαχῶς μὲν ἠώς παρ' αὐτῷ λέγεται εἴρηται· ὅτι δὲ ἡ κροκόπεπλος καὶ ἡ ῥοδοδάκτυλος ἐπὶ τῆς δαίμονος λέγεται δῆλον. ἐπεὶ δὲ τὰ ἐπίθετα ἐκ τοῦ περὶ τὸ ὁρώμενον τῆς ἡμέρας καταστήματος εἴληπται, ἐξηγεῖται τὸ ἐκ ποίας μὲν καταλήψεως ἡ κροκόπεπλος, ἐκ ποίας δὲ ἡ ῥοδοδάκτυλος. φημὶ τοίνυν, ὡς διὰ μὲν τῆς τοῦ κρόκου χρόας δηλοῖ ὀλίγον τῆς ἡμέρας φῶς πολλῷ τῷ τῆς νυκτὸς μέλανι κιρνώμενον, ὅταν δὲ λέγῃ ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς (e. c. A 477), διὰ τῆς τοῦ ῥόδου χροιᾶς δηλοῦν αὐτὸν ὀλίγον τὸ τῆς νυκτὸς μέλαν πολλῷ τῷ τῆς ἡμέρας φωτὶ κεχρωσμένον. καὶ ὅτι τοῦτο νοεῖ, δῆλον ἔστω ἐκεῖθεν· μνησθεὶς γὰρ ἑωσφόρου, ὡς νυκτὸς ἔτ' οὔσης ἀνατέλλει, ἐπάγει αὐτῷ τὴν κροκόπεπλον ἠῶ·

ἦμος ἑωσφόρος εἶσι φόως ἐρέων ἐπὶ γαῖαν,
ὅν τε μέτα κροκόπεπλος ὑπεὶρ ἅλα κίδναται ἠώς (Ψ 226. 7).

---

1 in schol. BL ante καὶ ποσαχῶς verba nonnulla leguntur, quae eandem quam illa rem continent, sed in formam redactam multo breviorem, quam ob rem infra inter scholia secundi ordinis relegavimus. Apparet eum, qui archetypo codicum nostrorum Porphyriana adscripserit, h. l., ut alibi, duo scholia ex eadem quaestione petita et de eadem re agentia incuria conglutinasse. Priorem quaestionis partem (p. 110, 22—111, 26) in codicibus Iliadis excidisse non est quod mireris; simillima enim eaque et ipsa Porphyriana iam ad H 433 adscripta erant καὶ ante ποσαχῶς om. L 4 post μὲν una vel duae litt. eras. B 5 τοῦτο post τοίνυν ins. L 9 χρώμενον BL (id. D β 1), κιρνώμενον coni. Kamm. p. 50 12 ἦμος δ' L; una litt. post ἦμος eras. B ἑωσφόρος, ἑ in ras., B 13 ἤπειρον ἅλα κίδνατο L

B f. 143ᵃ ad ἱερὸν *A* 84 (id. Lp f. 185ᵃ c. l. ἱερὸν ἦμαρ): *ἱερὸν καλεῖται τὸ ἕως μεσημβρίας, ἡνίκα αἱ θυσίαι γίνονται καὶ τὰ πρακτικὰ πάντα.*

1 sqq. (usque ad fin. schol.) †*B et L ad v. 1 (v. in var. lect. lin. 1): *ποσαχῶς μὲν τῷ τῆς ἠοῦς ὀνόματι κέχρηται Ὅμηρος εἴρηται. καὶ ὅτι οὐχ ἁπλῶς οἶδε τὰ στοιχεῖα, ὡς οἱ πολλοί, ἀπροστάτευτα καὶ ἄνευ οἰκείου θεοῦ. ἀλλ' ὥσπερ οἱ θεολόγοι ἴσασι μὲν καὶ ποταμὸν καὶ τὸ ῥέον ὕδωρ καὶ θεὸν πάλιν τὸν* ⟨om. L⟩ *τοῦ ῥείθρου προστάτην, ᾧ δὴ καὶ εὔχονται καὶ θύουσιν, οὐ τῷ ὕδατι δήπου, ἀλλὰ τῷ προεστηκότι δαίμονι τοῦ ποταμοῦ, οὕτω καὶ Ὅμηρος, ὅπου γε* ⟨om. L⟩ *οὐδὲ τὸ μεθημερινὸν φῶς τῆς ἡμέρας εἴασεν ἀπροστάτευτον, ἀλλὰ καὶ τοῦ μεθημερινοῦ φωτὸς εἰσήγαγε τὴν Ἠώ, ὥσπερ καὶ τοῦ νυκτερινοῦ σκότους τὴν Νύκτα, τὴν δ' ἤδη καὶ ὁ Ζεὺς ἄζετο* ⟨*ἄζεται* B⟩ *μὴ ἀποθύμια ἔρδοι* ⟨*ἔρδῃ* L⟩. *καὶ ποσαχῶς κτλ.* (supra lin. 1 edita).

4 sqq. praeter schol. EQ β 1 verbo *ἀποτελοῦν* p. 113 desinentia, quae initio nostris multo breviora sunt, deinde iis fere respondent, huc referenda:

†B f. 103ᵃ ad *ἠὼς μὲν* v. 1 (id. Lp f. 142ᵇ; in utroque praemittitur: *ταύτην τὴν ῥαψῳδίαν κολοβομάχην καλοῦσι· συντέμνει γὰρ τὴν διήγησιν, συναχθόμενος τοῖς Ἀχαιοῖς*): *κροκόπεπλος δὲ ἡ Ἠὼς λέγεται, ὅταν πολὺ σκότους ἔχῃ ὀλίγον δὲ φωτός. τὸ δὲ ῥοδοδάκτυλος ἐναντίον. ποιητικὴ δέ ἐστιν ἡ περίφρασις, ὡς εἰ εἶπεν ἡμέρα μὲν γέγονε. τὸ δὲ ἐκίδνατο ἐν παρατάσει· σφαιροειδὴς γὰρ οὖσα ἡ γῆ οὐ πᾶσα ὑφ' ἓν φωτίζεται.* Eadem fere A, postrema etiam Par. 2681 ap. Cramer., An. Par. III, p. 29, 18.

†B f. 15ᵇ ad *ἠριγένεια A* 477: ... *τὸ δὲ ῥοδοδάκτυλος συνεκδοχή ἐστιν·*

(Ψ 226. 27). γεννήcac δὲ ἐκ τῆc κροκοπέπλου τὸν ὄρθρον ἐπάγει τὴν ῥοδοδάκτυλον·

ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς.

ἐν δὲ τῷ ἠὼς μὲν κροκόπεπλος ἐκίδνατο πᾶcαν ἐπ' αἶαν (Θ 1) τοῦ κίδνacθαι δηλοῦντος τὸ cκορπίζεcθαι ὡς ἐν τῷ cκίδναται κατὰ cτρατόν (Α 487?), δύο ταῦτα τηρήcεως ἄξια ὑπεδείκνυεν· ἓν μὲν ὅτι ἐκίδνατο ἔφη πᾶcαν ἐπ' αἶαν, ὅπερ παράταcιν ἔχει, οὐ cυντέλειαν, οἷον τὸ ἐcκεδάcθη· ἐπεὶ δὲ cφαιροειδοῦc ὄντος τοῦ κόcμου καὶ τῆc γῆc οὐχ ἅμα παρὰ πᾶcι κατὰ τὸ αὐτὸ ὁ ἥλιος ἀνατέλλει οὐδὲ κατὰ τὴν αὐτὴν ὥραν ἡ ἡμέρα ἀνίcταται, εἰκότωc ἐκίδνατο ἔφη, τὴν ἐν παρατάcει ἄλλοτε πρὸc ἄλλουc ἐπιβολὴν παριcτὰc τῆc ἡμέραc καὶ πορείαν. ἕτερον δὲ πάλιν ἐcημειούμην, ὅτι cὺν τῷ ἀποτελέcματι καὶ τὸν κύριον τοῦ ἀποτελουμένου εἶναι βούλεται· ἡ μὲν γὰρ θεὸc κροκόπεπλοc ὡc ἂν οὐcία ἔννουc τε καὶ ἔμψυχοc καὶ ἐνcώματοc, τὸ δὲ ἀπ' αὐτῆc cκεδάννυται περὶ τὴν γῆν. ὁ δὲ λαβὼν τὴν cωματοειδῆ θεὸν ἐν τῷ κροκόπεπλοc cυνήρτηcεν αὐτὴν τῷ cκεδαννυμένῳ ἀπ' αὐτῆc φωτί, εἰπὼν αὐτὴν ἀλλ' οὐχὶ τὸ ἀπ' αὐτῆc φῶc cκεδάννυcθαι· Ἠὼc μὲν κροκόπεπλοc ἐκίδνατο πᾶcαν ἐπ' αἶαν· οὐ γὰρ δήποτε ἡ cωματοειδὴc ἐπεπόρευτο, ἀλλὰ τὸ ἀπ' αὐτῆc ἡμερινὸν φῶc. ἀλλ' οἶδεν, ὅπου τὸ ἀποτέλεcμα, ἐκεῖ καὶ τὸ ἀποτελοῦν.

ὅτι δὲ καὶ ἐπὶ τῶν ἄλλων οἶδε τὸ ποιοῦν καὶ τὸ ἀποτελούμενον, λάμβανε πρῶτον ἐπὶ τῆc νυκτόc· τὸ μὲν ἀποτέλεcμα·

νὺξ δ' ἤδη τελέθει, ἀγαθὸν καὶ νυκτὶ πιθέcθαι (Η 282),
αἱ δέ τε νύκτεc ἀθέcφατοι (ο 392),
ἐκ νυκτὸc δ' ἄνεμοι χαλεποί (μ 286),

τὴν δὲ δεcπότιν·

εἰ μὴ Νὺξ δμήτειρα θεῶν ἐcάωcε καὶ ἀνδρῶν·
τὴν ἱκόμην φεύγων καὶ
ἄζετο γὰρ μὴ Νυκτὶ θοῇ ἀποθύμια ἔρδοι (Ξ 259—61).

οὕτω καὶ ἥβη ἀποτέλεcμα καὶ θεὸc ταύτηc προcτάτιc·

οἳ νῶϊν ἀγάcαντο παρ' ἀλλήλοιcι μένοντεc
ἥβηc ταρφθῆναι καὶ γήραοc οὐδὸν ἱκέcθαι (ψ 211),

τῆc νεότητοc καὶ ἀκμῆc τῆc ἐν νεότητι cφριγώcηc· ὄφρ' ἥβῃ τε πεποίθεα χερcί τ' ἐμῇcιν (θ 181), οὐδέ τι ἥβηc δεύεται (θ 136)·

---

1 γενήcac B 2 ῥοδοδάκτυλον, δα in ras., B 5 ante κίδνacθαι litt. c eras. B τοῦ cκορπ. L 7 ἐcκίδνατο L 8 καὶ cυντ. L 10 ἐcκίδνατο L 14. 15 ἐν cώματι L 20 τὸ ἀποτέλεcμα, τὸ ά in ras., B ἐκεῖ καὶ in ras. L καὶ τὸ ἀποτελούμενον BL, quod errori deberi apparet, corr. e schol. Od.; Kamm. coni. ἐκεῖ καὶ ἡ κυρία τοῦ ἀποτελουμένου 21 ἔτι δὲ καὶ L 24 αἱ δέ τοι B 27 δημήτερα B, δημήτειρα τε θεῶν L ἀνδρῶν, ω in ras., L 30 τούτου L

ἀπὸ γὰρ τοῦ μέρους τὸ ὅλον καλεῖ. λέγει δὲ τὴν πολύφωτον, τὴν δὲ πολύcκοτον κροκόπεπλον. Cf. simil. schol. A et Lp (f. 62ᵇ) ibid.

12sqq. Cf. Porph. *B* 447, p. 42, 24; *I* 1sqq., p. 127, 27.

ἐπὶ γὰρ πάντων τὰ ἀποτελέcματα λέγεται. ἐπὶ δὲ τῆc θεοῦ· μετὰ δέ cφιcι πότνια Ἥβη νέκταρ ἐῳνοχόει (Δ 2), τὸν δ' Ἥβη λοῦcεν (Ε 905)· ἐν γὰρ τοῖc ἀγηράτοιc θεοῖc καὶ ἀεὶ ἡβῶcιν οἰνοχόον τὴν Ἥβην καὶ ὑπηρέτιν ἐποίηcεν. ἐκ τούτων λύcειc, πῶc ἀγάcτονόν τε λέγει τὴν Ἀμφιτρίτην, ὅταν εἴπῃ (μ 96)· 5

καὶ εἴ ποθι μεῖζον ἔνεcτι
κῆτοc, ἃ μυρία βόcκει ἀγάcτονοc ἀμφιτρίτη,

καὶ πάλιν κλυτὸν ἐν οἷc φηcιν (ε 421)·

ἢ ἔτι μοι καὶ κῆτοc ἐπιccεύῃ μέγα δαίμων
ἐξ ἁλόc, οἷά τε πολλὰ τρέφει κλυτὸc Ἀμφιτρίτη· 10

κλυτὸc μὲν γὰρ ἡ θεόc, ἡ μεγάλη δαίμων, ἀγάcτονοc δὲ ἡ θάλαcca. οὕτωc καὶ γῇ μὲν τὸ cτοιχεῖον· ἕλε γαῖαν ἀγοcτῷ (Λ 425) καὶ κάππεcεν ἐν γαίῃ, ἡ δὲ θεόc· ἴcτω νῦν τόδε Γαῖα καὶ Οὐρανὸc εὐρὺc ὕπερθεν (Ο 36) καὶ Γῆ τε καὶ Ἠέλιοc καὶ Ἐρινύεc (Τ 259). οὕτω καὶ Cτυγὸc ὕδωρ λέγει, τῆc δαίμονοc, τὸ Cτύγιον ἀπ' αὐτῆc καλούμενον· καὶ τὸ κατειβόμενον Cτυγὸc ὕδωρ (Ο 37), ὥcπερ καὶ ποταμὸν λέγει δαίμονα Ἀλφειὸν καὶ Ἀξιὸν καὶ Cπερχειόν, ὧν εἶναι καὶ γένοc, καὶ Ξάνθον διν ήεντα. καὶ ὅταν μὴ εἴπῃ τὸ ὄνομα τοῦ θεοῦ, τὸν εὐχόμενον ποιεῖ λέγοντα· κλῦθι ἄναξ, ὅτιc ἐccί (ε 445)· εὔχεται δὲ τῷ ποταμῷ, ὡc ἂν ἑκάcτου ἔχοντοc δαίμονα. ὁ δὲ καὶ ἐν ταῖc κρήναιc οἷδε θεάc, ἃc Νύμφαc καλεῖ· Νύμφαι κρηναῖαι, κοῦραι Διόc (ρ 240), καὶ ἄλλαι Νύμφαι ὀρεcτιάδεc, κοῦραι Διόc (Ζ 420). οὕτω πεπληρῶcθαι θείων δυνάμεων Ὅμηροc ἡγεῖτο ἅπαντα.

2. ad v. 5.

*B f. 103ᵃ ad κέκλυτέ μευ. 5 sqq. ἐν τῇ Διὸc δημηγορίᾳ τῇ οὕτωc ἐχούcῃ· 25

κέκλυτέ μευ, πάντεc τε θεοὶ πᾶcαί τε θέαιναι,

---

6 ἔνεcτι in ras. (etiam spir.) B ἕληcι L 8 κλυτὸc L 9 post μέγα B ras. 4 vel 5 litterarum; μέγα bis L 10 κλυτὸc Ἀμφ. om. codd.; adiecit Kamm. 13 γαῖαν L 14 ἥλιοc BL ἐριννύεc L 17 ἀξίον B, ἄξιον L 18 εἴποι L 19 ὅcτῖ (ῖ supra τ scrpt.) B, corr. Dind. 23 post θείων tres fere litt. eras. B 26 post θέαιναι in ima pagina B (quae sequuntur f. 103ᵇ leguntur) paucae litterae detritae; conieci πῶc

---

3. 4 cf. Porph. Δ 2, p. 68, 19.

5 sqq. † schol. ε 421 Dind.: *κλυτὸς Ἀμφιτρίτη] πῶς οὖν ἀλλαχοῦ φησι κῆτος ἃ μυρία βόσκει ⟨τρέφει* Hamb. f. 84⟩ *ἀγάστονος Ἀμφιτρίτη; ἀλλὰ τὸ μὲν ἐπὶ τοῦ ὕδατος, τὸ δὲ ἐπὶ τοῦ στοιχείου.*

20 sqq. †*B f. 90ᵃ ad *Νύμφαι ὀρεστιάδες* Z 420 (id. L f. 139ᵃ): *σημειωτέον* ⟨om. L⟩ *ὅτι καὶ ἐν τοῖς ὄρεσι καὶ ἐν ταῖς πηγαῖς* ⟨*σπιλαῖς* L⟩ *οἶδε θεὰς ἃς Νύμφας καλεῖ· Νύμφαι κρηναῖαι καὶ Νύμφαι ὀρεστιάδες, κοῦραι Διός. οὕτως πεπληρῶσθαι θείων δυνάμεων Ὅμηρος ἡγεῖτο* ⟨*ἡγεῖται* L⟩ *πάντα.* cf. schol. ε 445.

23 Porph. de Styge, ap. Stob. ecl. phys. I, 41, 53: *πληρώσας* ⟨Mein. e cod. A *κληρώσας*⟩ *γὰρ δὴ πάντα θεῶν καὶ τοῖς τόποις ἀφορίσας τὰς βασιλείας κτλ.*

25 sqq. Collato schol. Λ 524 Porphyriano ad eundem auctorem referenda vi-

πῶς ἄξιον διὰ τὴν τῶν Ἀχαιῶν ἀρετὴν ἐκκλησίας δεῆσαι ὑπελήφθη τῷ Διί, ἐν δὲ τοῖς ἑξῆς (v. 133) καὶ ὄμβρων καὶ κεραυνῶν ἵνα ἡττηθῶσι, καλῶς εἴρηται καὶ ἐν ἄλλοις καὶ ὅτι βούλεται μὲν εἴργειν τῆς συμμαχίας τὴν Ἥραν καὶ τὴν Ἀθηνᾶν, ἃς οἶδε μάλιστα τῇ γνώμῃ αὐτοῦ ἐναντιωθη-
5 σομένας, κοινὸν δὲ ποιεῖται περὶ πάντων τῶν θεῶν τὸν λόγον καὶ τῶν Τρωσὶν ἐπαμυνόντων, ἵνα μὴ ταύταις ἀντιπράττειν μόναις δοκῇ. διὸ καὶ μάλιστ' ἀποτείνεται τὸν λόγον πρὸς τὰς θηλείας· κέκλυτέ μευ πάντες τε θεοὶ πᾶσαί τε θέαιναι, καὶ ἀπὸ τῶν θηλειῶν ἄρχεται· μήτε τις οὖν θήλεια θεὸς τόγε μήτε τις ἄρσην.

10 καὶ μὴν κἀκεῖνο λύεται καλῶς· πῶς γὰρ ὑπεσχημένος ὁ Ζεὺς τῶν Τρώων ἐπικουρίαν οὐκ εὐθὺς ἐποίησε νικῶντας αὐτοὺς κατὰ τὴν πρώτην τῆς Ἰλιάδος ἀρχήν, ἀλλὰ νῦν μετὰ ἧτταν καὶ τοσοῦτον τῶν Τρώων φόνον; ἔδει γὰρ αὐτοὺς πρότερον, φασίν, ἀντὶ τῆς τῶν ὅρκων παραβάσεως δοῦναι δίκην. ἃ γὰρ ὁ ποιητὴς ἐφρόνει, ταῦτα ποιεῖ τινα
15 λέγοντα· λέγει γὰρ ὁ Ἀγαμέμνων·

Ζεὺς δέ σφιν Κρονίδης ὑψίζυγος αἰθέρι ναίων
αὐτὸς ἐπισσείησιν ἐρεμνὴν αἰγίδα πᾶσιν,
τῆσδ' ἀπάτης κοτέων (Δ 166—8).

ἅμα δὲ καὶ ἠθέλησεν ἀλκιμωτέρους Ἕλληνας ἐπιδείξας τότε τοῖς Τρωσὶ
20 τὴν παρὰ τοῦ Διὸς βοήθειαν ἐπαγαγεῖν. καὶ τὸ ὁμοειδὲς δὲ ἐφυλάξατο· ἦν γὰρ ὁμοειδὲς Τρωσὶ μάχῃ παράγειν τοὺς Ἕλληνας ἡττωμένους· ποικίλλειν γὰρ θέλει. ὅθεν ἐν μὲν τῇ προτέρᾳ μάχῃ ἀμφοτέροις βοηθοῦντας ἐποίησε τοὺς θεούς, ἐν αὐτῇ δὲ μόνον τὸν Δία τοῖς βαρβάροις (Θ 130 sqq.), εἶτα πάλιν ἐρεῖ ἀμφοτέροισι δ' ἀρήγεθ', ὅπη νόος
25 ἐστὶν ἑκάστου (Υ 25). οὕτως ἐθηρᾶτο τὸ ποικίλον.

ταῦτα μὲν οὖν εἴρηται. τί δὲ δηλοῦν ἐθέλει ἀλλ' ἅμα πάντες αἰνεῖτ', ὄφρα τάχιστα τελευτήσω τάδε ἔργα (Θ 8. 9), οὐ πάντως παρέστησε. ποῖα γὰρ ἔργα τελευτήσει, οὐ παρέστησεν ὁ Ζεύς, ἀλλ' ἐν ἀσαφεῖ εἴασεν. λέγει δέ· ἃ ἐγὼ ἐργάζεσθαι μόνος βούλο-
30 μαι, πρὸς ἃ καὶ παρακελεύεται μηδένα ἀντιπρᾶξαι τῶν θεῶν. ἐργάζεσθαι δὲ ἠβούλετο εἰς τέλος ὡς Ἀχιλῆα τιμήσῃ, ὀλέσῃ δὲ πολλέας ἐπὶ νηυσὶν Ἀχαιῶν (Β 3. 4)· ἔφη γὰρ οὐ γὰρ ἐμὸν πα-

---

3 εἴργειν Vill.; cod. εἴργειν 5 δὲ add. Bkk.; cod. om. 12 pro ἀρχὴν Roem. ap. Fleckeis. 1878, p. 539, coni. μάχην 17 ἐπισείησιν cod. 21 pro Τρωσὶ Kamm., p. 53, coni. πρώτῃ 32 γὰρ om. cod.; add. Bkk.

---

detur prior pars schol. B f. 103ᵃ ad Ζεὺς Θ 2 (id. Lp f. 142ᵇ c. l. Ζεὺς δὲ θεῶν), qua ad nostrum locum corrigendum Kammer usus est:

εἰκότως νῦν ἄρχεται συμμαχεῖν Τρωσὶν ὁ Ζεύς, ὁπότε τῆς παραβάσεως δίκην ⟨δίκας Lp⟩ ἀπέτισαν Διομήδει καὶ Πάνδαρος ἀνῃρέθη ⟨ἀνῃρήθη Lp⟩ καὶ Τρῶες ὡμολόγησαν τὴν παράβασιν, δι' ὧν πέμπουσιν Ἰδαῖον ἀπολογούμενοι τοῖς Ἕλλησιν. αὔξει δὲ τὰ Ἑλλήνων ὁ ποιητής, εἴ γε καὶ ἐκκλησίας ἐδέησε τῷ Διί, ἐν δὲ τοῖς ἑξῆς καὶ κεραυνῶν δεῖται πρὸς τὴν ἧτταν αὐτῶν. καὶ ἐν ἄλλοις κτλ., quae huc non pertinent.

λινάγρετον οὐδ' ἀπατηλὸν οὐδ' ἀτελεύτητον, ὅ τι κεν κεφαλῇ κατανεύσω (A 526. 27)· ταῦτα οὖν ἔφη ὄφρα τάχιστα τελευτήσω τάδε ἔργα, εἰς τέλος ἀγάγω. καὶ ἡ παροιμία· μήπω μέγ' εἴπῃς, πρὶν τελευτήσαντ' ἴδῃς (Soph. fr. Tyr., 583[b] Dind.), ἤγουν μὴ θαυμάσῃς τὸν μέγα ἐπαγγελλόμενον. ἀσαφῆ δὲ ἐάσας ὅσα ἐξεπίτηδες ἔφη τάχιστα ἐκτελέσειν, ὡς σαφῶς εἰπὼν ἐπάγει ὃν δ' ἂν ἐγὼν ἀπάνευθε θεῶν ἐθέλοντα νοήσω καὶ τὰ ἑξῆς (Θ 10 sqq.). ὅθεν οὐκ ἔστι περισσὸν τὸ ὃν δ' ἂν ἐγών, οὐδ' ἐντεῦθεν ἄρχεται τοῦ λόγου, ἀλλ' ἐκ τοῦ αἰνεῖτ', ὄφρα τάχιστα τελευτήσω τάδε ἔργα, ᾧ ἀκόλουθον ὡς δηλώσαντος τὸ βούλημα τὸ ὃν δ' ἂν ἐγὼν ἀπάνευθε θεῶν ἐθέλοντα νοήσω. λέγουσι δὲ κἀν τούτῳ περιττεύειν τὸ ἐθέλοντα· ἔδει γὰρ ὃν δ' ἂν ἐγὼ νοήσω ἐλθόντα Τρώεσσιν ἀρηγέμεν. οὐκ ἔστι δὲ περισσόν, ἀλλ' ἔστιν ἡ διάνοια· ὃν δ' ἂν ἐγὼ νοήσω ἢ Τρώεσσι θέλοντα ἀρηγέμεν ἢ Δαναοῖσιν ἐλθόντα.

B f. 103[a]. L f. 161[b]. Lp f. 143[a]. 14. .... πῶς δὲ δύναταί τις ἐκεῖσε κατελθεῖν; φαμὲν δὲ ὅτι οἱ ἀπειλοῦντες τὰ ἀδύνατα σχεδὸν ἀπειλοῦσι πρὸς κατάπληξιν.

A c. l. σειρὴν μέν κεν. 25. 26. ..... οἱ δὲ ζητοῦσι, πῶς πάντων περιγίνεται ὁ Ζεὺς ὁ ὑπὸ τριῶν μόνων δεθείς, καθά φησιν ἐν τῇ A (400)· ῥητέον οὖν ὅτι ἐκεῖ μὲν ἐξ ἐπιβουλῆς ἡ ἰσχύς, ἐνταῦθα δὲ ἐκ τοῦ φανερῶς κρατεῖν.

*B f. 296[a] ad πρόφρονι X 183. L f. 457[b], *H*. 39. 40. ὁ νοῦς ἀσαφής, ὄντινα ἀγνοήσαντες ἠθέτησαν τὰ ἔπη. ἡ δὲ ἀσάφεια ἐκ τοῦ πρόφρονι· ἀπέδοσαν γὰρ ὡς δηλοῦντος τοῦ ποιητοῦ διὰ τοῦ πρόφρονι· οὐ κατὰ σπουδὴν ταῦτα ἀγορεύω. ἔστι δὲ οὐ τοῦτο, ἀλλὰ τῇ πρό κέχρηται ἀντὶ τῆς ὑπέρ συνήθως, ὡς ἐν τῷ ἀεθλεύων πρὸ ἄνακτος ἀμειλίκτου (Ω 734) ἀντὶ τοῦ ὑπὲρ ἄνακτος, καὶ ἐν τῷ χρείῃ ἀναγκαίῃ πρό τε παίδων καὶ γυναικῶν (Θ 57) ἀντὶ τοῦ ὑπὲρ παίδων καὶ γυναικῶν βούλεται λέγειν. φησὶν οὖν καὶ ἐνταῦθα· οὐ καθ' ὑπερφροσύνην οὐδ' ὡς τύραννος λέγω ταῦτα· βούλομαι γὰρ ἥπιος εἶναι καὶ πρᾶος. καὶ ὁ τοί οὖν παραπληρωματικὸς καὶ οὐκ ἀντὶ τοῦ σοί παρείληπται. πρέπουσα τοίνυν ἡ διάνοια ἄρχοντι

---

1 ὅτι, fuit ὅττι, alter. τ eras., B βάραθρον αὐτό φασιν ἐκεῖ L 15 in codd. haec antecedunt: οἱ Ἀττικοὶ Τριτογένεια φίλον τέκος· οὔ νύ τι θυμῷ πρόφρονι μυθέομαι, ἐθέλω δέ τοι ἥπιος εἶναι, tum ὁποῖον ἀσαφὴς κτλ. 20 L lemmatis instar versus habet θάρσει 25. 26 γυναικῶν ἀντὶ τοῦ — καὶ γυναικῶν om. L 26 καὶ post οὖν om. L

---

20 sqq. Scholium in codicibus per errorem ad *X* 183 adscriptum esse, ex Ariston. Θ 39. 40 apparet docente non illo sed nostro loco versus spurios habitos esse (cf. Ariston. *X* 183. 84).

22 sqq. † B f. 103[b] ad *πρόφρονι* v. 40 (Lp f. 143[b]): *ἀντὶ τοῦ ὑπέρφρονι, ὡς πρὸ παίδων καὶ πρὸ γυναικῶν. ὁ λόγος οὖν οὕτως· οὐ βούλομαί σοι* ⟨om. Lp⟩ *τυραννικὴν ἀπήνειαν ἀλλὰ βασιλικὴν ἐνδείκνυσθαι προσήνειαν. δείκνυσι δὲ ὅσον δύνανται λόγοι εὐμενεῖς, καίτοι παιδὸς πρὸς πατέρα.*

† Eust. Θ, p. 696, 45: *πρόφρονα δὲ θυμόν — ἢ κατὰ Πορφύριον τὸν ὑπέρφρονα ἤτοι καταφρονητικόν.* Cf. id p. 698, 13; Paris. 2681 ap. Cram. An. P. III, p. 30, 26.

βουλομένῳ ἐνδείκνυcθαι βαcιλικὴν ἠπιότητα καὶ οὐ τυραννικὴν ἀγριότητα· οἱ γὰρ ῥηθέντες μετ' ἀπειλῆς λόγοι ὑπέρφρονα θυμόν, καὶ ὃν ἐν ἄλλοις ἀγήνορα ἔφη, ἐνεδείκνυντο.

53. 54. δεῖπνον λέγεται καὶ τὸ ἐξ ἑωθινοῦ ἀκράτιcμα, ὡς νῦν ἐν τοῖς προκειμένοις, καὶ τὸ ὑφ' ἡμῶν λεγόμενον ἄριcτον, ὡς ἐν τῷ *B f. 104ᵃ ad δεῖπνον.

ἦμος δὲ δρυτόμος περ ἀνὴρ ὠπλίccατο ⟨ὠπλίcατο cod.⟩ δεῖπνον (Λ 86).

καὶ πάλιν ἄριcτον τὸ ἀκράτιcμα·

ἐντύναντο ἄριcτον ἅμ' ἠοῖ κειαμένω ⟨κειμένω cod.⟩ πῦρ (π 2).

τὸ δὲ ἐν τοῖς προκειμένοις ἀπὸ δ' αὐτοῦ θωρήccοντο οὐκ ἔcτιν ὑπερβατόν, ὥς τινεc· ἀπεθωρήccοντο δὲ αὐτοῦ, ἀλλά φηcιν ἀπὸ τοῦ δείπνου ἐθωρήccοντο. καὶ ἔcτι πεζοτέρα ἡ φράcιc, καὶ διὰ τοῦτο λανθάνει τὸ νόημα.

56. καὶ πῶc φηcι πολλέων ⟨alt. λ eras. B; πολέων Lp⟩ ἐκ πολίων (B 131); νῦν οὖν τοὺc ἰθαγενεῖc φηcι· διὸ καὶ τὸ πρό τε παίδων καὶ πρὸ γυναικῶν (Θ 57). ἢ ἑαυτῶν ἥττους γενόμενοι διὰ τὸν θάνατον. ἀναγκαίωc δὲ καὶ τὸ μέμαcαν ἐπιφέρει, ἵνα μὴ νομίcωμεν ⟨ι in ras. B⟩ αὐτοὺc ἐπτηχότας ἐξιέναι διὰ τὴν προγενομένην ἧτταν. B f. 104ᵃ ad παυρότεροι. Lp f. 144ᵃ c. l. παυρότεροι.

58. πᾶcαι δ' ὠίγνυντο πύλαι, ἐκ δ' ἔccυτο λαόc. οὐ λέγει περὶ τῶν ἐν Ἰλίῳ πυλῶν μόνον ἀλλὰ καὶ περὶ τῶν ἐν τῷ ναυcτάθμῳ τῶν Ἑλλήνων, οὐδὲ λαὸν τὸν Τρωικὸν μόνον, ἀλλὰ καὶ τὸν Ἑλληνικόν· τούτῳ γὰρ ἀκόλουθον καὶ τὸ οἱ δ' ὅτε δή ῥ' ἐc χῶρον ἕνα ξυνιόντεc ἵκοντο (Θ 60). εἶτα ἐπάγει ὅτι cυνέβαλλον παντάπαcι τὰc ἀcπίδαc ἀcπίcι, τὰ ἔγχη τοῖc ἔγχεcι, τὰc δυνάμειc ταῖc δυνάμεcι. καὶ ἀναλαμβάνει αὐτά· ἀcπίδεc ὀμφαλόεccαι ἔπληντ' ἀλλήληcιν (Θ 62)· ἔψαυον γὰρ ἀλλήλων, τουτέcτιν αἱ μὲν τῶν Τρώων ταῖc τῶν Ἑλλήνων. *B f. 104ᵃ ad πᾶcαι. L f. 164ᵃ.

70. ἐν δ' ἐτίθει δύο κῆρε. πρὸc Αἰcχύλον ψυχοcτατίαν γράψαντα καὶ τὸ κήρ ἀκούcαντα οὐκ ἐπὶ τῆc μοίραc λεγόμενον ἀλλ' ἐπὶ *B f. 104ᵃ ad κῆρε. L f. 164ᵃ.

---

1 ἡμότητα B 29 ἐν — κῆρε om. L 30 inter κήρ et ἀκούcαντα in B rasura octo fere litterarum, in qua α script.

4—13 †L h. v. f. 163ᵃ, *Π*, *εἰς τὸ οἱ δ' ἄρα δεῖπνον ἕλοντο καρηκομόωντες Ἀχαιοὶ ῥίμφα κατὰ κλιcίας, ἀπ' αὐτοῦ δὲ θωρήccοντο· ὅτι δεῖπνον λέγει τὸ* ⟨om. cod.⟩ *κατὰ τὸ ἑωθινὸν ἀκράτιcμα· ἐντύνοντο ἄριcτον ἅμ' ἠοῖ κειαμένω* ⟨*κειμένω* cod.⟩ *πῦρ. τὸ δ' ἐν τοῖς προκειμένοις* cet., quae cum iis quae supra e cod. B edidimus congruunt.

Aristarchum auctorem hac in re Porphyrium sequi, ex iis apparet quae Lehrs, Ar., p. 127, congessit.

20 sqq. Scholium, quod uno Dindorfio, Phil. XVIII, p. 345, auctore inter Porphyriana retuli, insistere videtur iis at prave, vereor, intellectis, quae de notione verb. *πᾶcαι πύλαι* Aristarchus (Lehrs, p. 126) disputaverat. Cf. Porph. *M* 175.

29 sqq. Scholium, quod Dindorfius nescio quem codicem secutus Porphyrii nomine insignivit, recte ad eum auctorem referri, cum ratio docet totiens a Por-

τῆς ψυχῆς, ὅτι θηλυκῶς μὲν ἡ κήρ τὴν μοῖραν δηλοῖ, οὐδετέρως δὲ τὸ κῆρ καὶ περισπωμένως τὴν ψυχήν, ὃ διαιρεῖται εἰς κέαρ. εἰ δὲ ἔλεγε τὴν ψυχήν, οὐκ ἂν ἔφησε δύο κῆρε διὰ τοῦ ῑ ἀλλὰ δύο κῆρα διὰ τοῦ ᾱ. καὶ αὐτὸς δὲ ἐξηγήσατο τίς ἡ κήρ, εἰπὼν ῥέπε δ' αἴσιμον ἦμαρ Ἀχαιῶν· ἀντὶ γὰρ τοῦ φάναι ῥέπε δὲ ἡ κὴρ τῶν Ἀχαιῶν μεταλαβὼν ἔφη ῥέπε δ' αἴσιμον ἦμαρ Ἀχαιῶν. ἡ κὴρ δὲ εἴληπται οὐχ ἑνὸς τῶν Ἑλλήνων μία ἀλλὰ πάντων, οὐδὲ Τρώων ἑνὸς μία ἀλλὰ πάντων, διὸ καὶ ἐπάγει αἱ μὲν Ἀχαιῶν κῆρες (v. 73). ὡς ἡ ἵππος τῶν πολεμίων σημαίνει τὸ πλῆθος, οὕτως ἡ κὴρ τῶν Ἑλλήνων αἱ κῆρες ἦσαν. καὶ τὸ ἐπὶ χθονὶ ἕζεσθαι (v. 73) τὸ πρὸς γῆν ῥέψαι δηλοῖ, τὸ δ' ἐς οὐρανὸν ἀρθῆναι τὸ ὑπερτέραν γενέσθαι. συμβολικῶς δὲ λαμβάνει τὰ μὲν ῥέποντα πρὸς τὰ χθόνια θανατικά, τὰ δὲ πρὸς τὸν οὐρανὸν ζωτικά· ζωηφόρα γὰρ τὰ οὐράνια, θανατηφόρα δὲ τὰ χθόνια. ὅπερ ἀγνοήσαντές τινες ἠθέτησαν τὰ ἔπη, ἐν οἷς φησιν αἱ μὲν Ἀχαιῶν κῆρες ἐπὶ χθονὶ πουλυβοτείρῃ ἑζέσθην· Τρώων δὲ πρὸς οὐρανὸν εὐρὺν ἄερθεν, νομίσαντες ὅτι τὸ ἑζέσθην δυϊκόν ἐστιν, ὡς ἀποδεξαμένων τινῶν, ὅτι ἀνὰ δύο τίθησι κῆρας εἰς τὸν ζυγόν. οὐ σημαίνει δὲ τὸ ἑζέσθην, ἀλλ' ἀντὶ τοῦ ἕζοντο, ὡς μιάνθην αἵματι μηροί (Δ 146)· ἀντὶ γὰρ τοῦ ἐμιάνθησαν ἐπὶ πληθυντικοῦ κεῖται· εἰ γὰρ ἦν ἐπὶ δυϊκοῦ, ἔφη ἂν μιανθήτην ὡς κλινθήτην καὶ ἡσθήτην. ἑζέσθην οὖν ἀντὶ τοῦ ἑζέσθησαν, ὡς τὸ ἐκόσμηθεν ἀντὶ τοῦ ἐκοσμήθησαν.

B f. 104ᵃ ad δύο κῆρε. Lp f. 144ᵃ c. l. δύο κῆρε.

πῶς δύο κῆρες ἐντίθησιν ὁ Ζεύς, ὥσπερ ἀνὰ μίαν ἑκατέρου στρατοῦ, ἐν δὲ τοῖς ἑξῆς πλείους αὐτάς φησιν· αἱ μὲν Ἀχαιῶν κῆρες; ὅτι αἱ δύο καὶ πολλαὶ ἂν εἶεν· λέγομεν γοῦν ⟨οὖν Lp⟩ διττὰ πράγματα. πλειόνων δὲ ἔμφασιν διδόντος τοῦ ὀνόματος, εἰκότως ἐν τῇ μεταλήψει πλέονας εἶπεν. ἔστι δὲ σχῆμα συνεκδοχικῶν σχημάτων ἕν. ⟨quae sequuntur de origine v. κήρ ad Porphyrium referre non audemus⟩.

---

4 τίς ἡ om. L 12 τὸν om. L 15. 16 Τρώων — ἑζέσθην om L 20 ἔφην L

---

phyrio repetita *ὅτι αὐτὸς ἑαυτὸν ὁ ποιητὴς ἐξηγεῖται* (lin. 4), tum scholium quod huic subiunximus, multo quidem brevius at servata quaestionis forma ad nos propagatum. Cf. etiam schol. Porph. versui Ψ 259 adscriptum.

1. 2 †B f. 296ᵇ ad *κῆρε* X 210: *κῆρας τὰς μοίρας λέγει, οὐ τὰς ψυχάς, ὡς ἐξεδέξατο φανλως Αἰσχύλος· ἐπάγει γὰρ τὴν μέν, τὸ κέαρ δὲ λέγεται οὐδετέρως ἐπὶ τῆς ψυχῆς* ..... Cf. Ariston. Θ 70. X 210. — Quae supra usque ad lin. 5 edidimus exscripsit Paris. 2679 ap. Cramer., A. P. III, p. 11, 24. Idem ap. Apollon. et Hesych. v. *κῆρ*.

13 Cf. Ariston. Θ 73. 74.

17—20 †B f. 104ᵇ ad *αἱ μὲν* v. 73 (id. Lp f. 144ᵃ c. l. *αἱ μὲν Ἀχαιῶν*): ... .. *τὸ δὲ ἑζέσθην ἀντὶ τοῦ ἕζεσθεν, ὡς ἄερθεν· ὅμοιον δέ ἐστι τῷ μιάνθην αἵματι μηροί ἀντὶ τοῦ ἐμιάνθησαν.*

18. 19 Aliter B f. 54ᵃ ad *τοῖοι τοι* Δ 146 (id. Lp f. 94ᵃ c. l. *τοῖοι τοι*): ..... *τὸ δὲ μιάνθην ἀντὶ τοῦ μιανθήτην· ἔστι δὲ δυϊκὸν ἐκ συγκοπῆς.*

72. οὐκ ἄρα, φαcὶν, ἐχαρίcατο τῇ Θέτιδι, εἰ μοιρίδιον ἦν. φαμὲν δὲ ὅτι εἰc ἐπίταcιν τῆc Μοίραc καὶ αὐτὸc ὁπλίζεται (v. 43) κατ' αὐτῶν ⟨αὐτὴν Lp⟩, ὅπερ ἦν τῆc χάριτοc. B f. 104ᵇ ad ἦμαρ. Lp f. 144ᵃ c. l. αἴcιμον ἦμαρ.

75. πῶc ἔφη τὸν κεραυνὸν cέλαc δαιόμενον; cέλαc μὲν γὰρ ἡ φωτὸc ἔλλαμψιc, καυθεῖcα δὲ καὶ ἐκπυρωθεῖcα κεραυνὸc γίνεται καὶ οὐκ ἀcτραπὴ μόνον. [προειπὼν αὐτὸc δ' ἐξ Ἴδηc μεγάλ' ἔκτυπε καὶ ἐπάγων τὸ κεραυνοῦ ὄνομα ἐcήμανεν, ὡc προηγεῖται ἡ βροντὴ τῆc ἀcτραπῆc, δι' ἧc καὶ τὸ cέλαc ἐκλάμπει]. *B f. 104ᵇ ad δαιόμενον. Cf. Phil. XVIII, p. 345, Π.

τὸ cέλαc δηλοῖ τὴν ἔλλαμψιν. βουλόμενοc οὖν εἰπεῖν ὡc οὐκ ἦν ἀcτραπὴ τὸ γενόμενον ἀλλὰ κεραυνόc, μετὰ τὴν βροντὴν προcέθηκε τὸ δαιόμενον· ἡ γὰρ πρὸ βροντῆc ἀcτραπὴ οὐ κεραυνόc, μετὰ γὰρ τὴν βροντὴν ὁ κεραυνόc, ὅc ἐcτι καυcτικόc. B f. 104ᵇ ad cέλαc. Lp f. 144ᵇ c. l. ἦκε cέλαc.

97. ἐζήτηται δὲ πότερον ἄρα οὐδ' ὅλωc ἤκουcεν ὁ Ὀδυccεὺc ἢ οὐκ ἐπείcθη. ῥητέον ὅτι οἱ λέγοντεc ὅτι ἀκούcαc οὐκ ἐπείcθη δειλίαν τοῦ ἥρωοc κατηγοροῦcιν, ἀγνοοῦντεc τὸ οὐδ' ἐcάκουcεν. οὐ γὰρ τὸ παρακοῦcαι ἀλλὰ τὸ μὴ αἰcθέcθαι τελείωc δηλοῖ· καὶ γὰρ οὐκ ἦν δειλὸc τῶν ἄλλων ἔcχατοc φεύγων καὶ τῇ βραδυτῆτι τὸ φιλοκίνδυνον ἐπιδεικνύμενοc. A.

οὐκ ἤcθετο ὑπὸ τοῦ θορύβου ἢ οὐκ ἐπείcθη διὰ τὸν καιρόν· φεύγει γὰρ cὺν Αἴαντι καὶ θεομαχεῖν οὐ θέλει. πῶc γὰρ δειλὸc ὁ μετὰ πάνταc φεύγων; οὐ γὰρ ἂν Διομήδηc τοῦτον μόνον ἐκάλει. B f. 105ᵃ ad ἐcάκουcε. Lp f. 145ᵃ c. l. οὐδ' ἐcάκουcεν.

117. εἰ τοcοῦτον ⟨τοῦτο Lp⟩ ἀπῆν, διὰ τί μὴ φεύγει; τὸ ὅλον πραγματεύεται πρὸc τὸ μὴ ἀθρόωc καὶ ἄνευ πόνου ⟨πόνων L⟩ νικᾶν τοὺc Τρῶαc, ἀλλὰ τοὺc φεύγονταc ἀνακωχὴν ⟨ἀνακοχὴν L⟩ λαβεῖν. ἄλλωc τε ἢ ⟨καὶ pro ἢ L⟩ νικήcειν οἴεται ἢ νικώμενοc ῥᾳδίωc φεύξεcθαι. B f. 105ᵃ ad ἵππουc. L f. 165ᵃ. Lp f. 145ᵃ c. l. μάcτιξεν δ' ἵππουc.

133. cf. ad v. 5, p. 115.

167. πῶc δύο εἰπὼν τὸν Διομήδην μεριμνῆcαι ⟨τὸν Δ. post μεριμν. L⟩ ἓν ἐπάγει; φαμὲν δὲ ὡc δύο βουλὰc ἐμερίμνηcεν εἰc ἓν νευούcαc, ἵππουc τε cτρέψαι καὶ ἐναντίβιον πολεμῆcαι ⟨μαχέcαcθαι L⟩, ἢ ὡc ὡμολογημένον ἀφίηcι τὸ ἕν, ἤτοι τὸ ἢ cτραφῆναι ⟨μεταcτραφῆναι L⟩ ἢ μὴ cτραφῆναι, ὃ κατέλιπεν. B f. 106ᵃ ad διάνδιχα. L f. 167ᵃ. Lp f. 146ᵃ c. l. διάνδιχα.

185. ἀθετεῖται ὁ cτίχοc, πρῶτόν γε καὶ διὰ τὸ cύ, εἶτα διὰ τὰ Ξάνθε τέ. B f. 106ᵇ ad

6—8 προειπὼν — ἐκλάμπει in cod. B non exstant; ex alio codice, cuius notitiam nobis invidit, Dindorfius (Phil. l. c.) edidit 9 τὴν ἔλλαψιν δηλοῖ Lp 13 ἐξηγεῖται pro ἐζήτηται cod. (Dind.) 14 ῥητέον — ἐπείcθη om. cod. (Dind.); add. Bekk. 33 καὶ om. Lp

---

4—12 De fulminibus etiam ad *B* 370 sqq. (p. 39) Porphyrius egit, Hermone Delio auctore usus.

14. 15 *οἱ λέγοντες ὅτι ἀκούσας οὐκ ἐπείσθη*, velut Aristarchus, v. alter. schol. A.

30 Ariston. *Θ* 168: .... *τὸ γὰρ διάνδιχα οὐκ ἔστι δύο ἐμερίμνησεν ἐναντία, ἀλλ' ἐπὶ τὸ αὐτὸ φερόμενα, στρέψαι τοὺς ἵππους καὶ μάχεσθαι.*

33 sqq. Versus Aristarcho obelo notatus, *ὅτι οὐδαμοῦ Ὅμηρος τεθρίππου*

L f. 166ᵇ. Lp f. 146ᵇ c. l. Ξάνθέ τε.

ὀνόματα· Λάμπος γὰρ τῆς Ἠοῦς ἐστιν ἵππος (ψ 246), Ξάνθος Ἀχιλλέως (Τ 400), Πόδαργος Μενελάου (Ψ 295), Αἴθη Ἀγαμέμνονος (Ψ 295), ἣν Αἴθωνα νῦν εἶπε μετατιθεὶς τὸ γένος. οὐδαμοῦ δὲ τεθρίππῳ κέχρηνται ἥρωες, εἰ μὴ ἐν Ὀδυσσείᾳ ἐπὶ παραβολῆς· ἡ δ' ὥς τ' ἐν πεδίῳ τετράοροι ἄρσενες ἵπποι (ν 81). τὸ γὰρ τέσσαρας ἀθλοφόρους ἵππους (Λ 699) ὑπώπτευται ὡς νόθον, ἢ δύο ἅρματα δηλοῦν βούλεται· τὸν δὲ ἐλατῆρα ἀφίει ἀκαχήμενον (Λ 702), τὸν ἐξ ἑκατέρας συνωρίδος. εἴποι δ' ἄν τις πρὸς τοῦτο, ὅτι εἰκός, τῶν ἄλλων τεθρίπποις μὴ χρωμένων, τὸν Ἕκτορα θαρσῆσαι τέσσαρας ἵππους ὑποζεῦξαι πρὸς κατάπληξιν τῶν πολεμίων· ἀπόγονος γάρ ἐστι Τρωός, ᾧ Ζεὺς ὑπὲρ Γανυμήδους ἔδωκεν ἵππους, καὶ φιλότιμός ἐστι περὶ ἱππικήν. οἶδε γὰρ ἵππος ἀγαθὸς πρὸς ἱππικὴν ἐγείρειν, ὡς καὶ πρὸς πόλεμον διάφορα ὅπλα καὶ θηρευτικὴ κύων καλῶς ἰχνηλατοῦσα ἐπὶ τὸ κυνηγέσιον. διὸ καὶ τὸν Ἕκτορα θρασὺν ἡνιοχόν φησιν Ὅμηρος (Θ 89), καὶ οὐ μόνον τοῦτον θρασὺν ἀλλὰ καὶ τὸν ἡνιοχοῦντα αὐτῷ Ἀρχεπτόλεμον (Θ 128. 312)· οὐ τοῦ τυχόντος γὰρ ἦν τὸ τέτρωρον ἡνιοχεῖν. φασὶ δέ· εἰ τέτρωρον ἦν, πῶς ὡς πρὸς δυϊκὸν ἀποτείνεται καί φησι νῦν μοι τὴν κομιδὴν ἀποτίνετον καὶ ἐφομαρτεῖτον καὶ σπεύδετον (Θ 186. 191); ῥητέον δὲ καὶ πρὸς τοῦτο, ὅτι οὐ πρὸς ἕκαστον ἵππον λέγει, ἀλλὰ πρὸς τὰ ἐξ αὐτῶν συστήματα· δύο γὰρ ζύγιοι ἦσαν καὶ δύο παρήοροι· τοὺς μὲν οὖν ζυγίους ἀνθ' ἑνὸς τοὺς δὲ παρηόρους ἀνθ' ἑτέρου λαμβάνει. ὅμοιον δέ ἐστι τῷ τόφρα μάλ' ἀμφοτέρων βέλε' ἥπτετο (Θ 67)· πρὸς ἑκατέραν γὰρ κἀκεῖνο στρατιάν· καὶ τῷ

τύνη δ' ἕστηκας, ἀτὰρ οὐδ' ἄλλοισι κελεύεις·
μήπως ὡς ἀψῖσι λίνου ἁλόντε (Ε 485. 7)·

πρὸς γὰρ τὸν Ἕκτορα καὶ τοὺς Τρῶας. τρισὶ δὲ ἵπποις ἐχρῶντο οἱ ἥρωες, ἵνα τρωθέντος ἑνὸς τῶν ζυγίων εἰς τὴν τούτου χώραν παρήορος ἄγηται· οἱ δὲ Ὁμηρικοὶ θεοὶ συνωρίσι χρῶνται, ἐπεὶ τιτρωσκόμενοι οὐχ ὁρῶνται. ὁ δὲ Ἕκτωρ ἐτόλμησε προσθεῖναι τὸν τέταρτον ἅμα μὲν

1 ἰοῦς Lp 3 αἴθονα BL οὐδαμοῦ τε L 5 τετράωροι BL 6 ὑπώπτευσαν L 7 τὸν δὲ — τὸν om. codd.; add. Bkk. (e Vict.?) 9 θρασῆσαι Lp 10 συζεῦξαι Lp 11 γαννυμήδους L Lp 13 θηρευτικὴν L Lp καλὸς L ἰχνηλατῶν codd. 14 ἕκτωρα Lp 16 τετράωρον Lp 17 πῶς οὐ πρὸς δυϊκὸν ἀποτ. Lp 18 ἀποτείνετον Lp 19 τοῦτο, ου et τ in ras., Lp 22 παρηγόρους L 26 ἀψῖδι L 29 ὁμηρικοὶ διεινωρῖσι L 30 προσθῆναι Lp

---

χρῆσιν παρεισάγει. μάχεται δὲ καὶ τὰ ἐπαγόμενα δυϊκὰ κτλ. (A *Θ* 185, cf. Lehrs p. 195). — Ad Pium Hiller, Phil. XXVIII, p. 99, schol. nostrum retulit (cf. prolegg. nostra).

1. 2 A *Ψ* 295: .... *ἡ διπλῆ δὲ ὅτι ἐντεῦθεν παρῴδηται τὰ ὀνόματα τῶν Ἕκτορος ἵππων Αἴθων καὶ Πόδαργος· οὐ γὰρ εἰσάγει τετρώρῳ χρωμένους.* Cf. A *T* 400; Eust. *Θ*, p. 706, 60.

6. 7 *δύο ἅρματα δηλοῦν βούλεται.* Ita Aristarchus, v. Ariston. *Λ* 699.

8 sqq. † Eust. p. 706, 51 sqq.

διὰ τὰ προειρημένα, ἅμα δὲ καὶ τῶν δυοῖν ἵππων ὑφορώμενος τὴν τρῶσιν. καθ' ἑκάστην δὲ κλητικὴν βραχεῖα διαστολή, οὐκ ἐῶσι δὲ οἱ σύνδεσμοι, ὥς τινες ⟨τινα Lp⟩, δύο εἶναι κύρια καὶ δύο ἐπίθετα ὀνόματα.

189. .... ἀθετεῖται δὲ τὸ οἶνόν τ' ἐγκεράσασα, ὅτι οὐ σύνηθες οἶνον πίνειν ἵππους, καὶ διὰ τὸ ὅτε θυμὸς ἀνώγοι· ψυχρὸν γὰρ καὶ τοῦτο ἐπὶ ἵππων. ἔστιν οὖν ὑπερβατόν· ὑμῖν προτέροις πυρὸν παρέθηκεν ἢ ἐμοὶ τὸν αὐτὸν πυρὸν ἔθηκεν οἶνόν τ' ἐγκεράσασα πιεῖν ὅτε θυμὸς ἀνώγοι, ἵν' ἢ τὸ πυρὸν ἔθηκεν ἀπὸ κοινοῦ. B f. 106ᵇ ad Ἀνδρομάχη v. 187. L f. 167ᵇ. Lp f. 146ᵇ.

197. καὶ πῶς πρὸ ὀλίγου (v. 182) καῦσαι αὐτὰς ἤθελε; κωμῳδεῖ διὰ τούτου ὁ ποιητὴς τὸ τῶν βαρβάρων εὐμετάβολον. B f. 107ᵃ ad ἐπιβησέμεν.

230. v. ad Δ 1.

233. Vat. Ζητ. κζ': οὐκ ἔστι Τρώων ἄνθ' ἑκατόν τε διηκοσίων τε ἕκαστος στήσεσθ' ἐν πολέμῳ καὶ πρὸς ἑκατὸν καὶ διακοσίους μαχέσεσθε, ὥς τινες ἀποδεδώκασιν, ἀλλ' ὡς εἰ ἔλεγεν· ἀντίσταθμοι καὶ ἰσοβαρεῖς ἑκατὸν καὶ διακοσίων ἕκαστος ἠπείλει ἐν τῷ πολέμῳ γενέσθαι. τῇ γὰρ διανοίᾳ ταύτῃ ἀκόλουθον τὸ νῦν δ' οὐδ' ἑνὸς ἄξιοί εἰμεν Ἕκτορος (v. 234. 35)· ἀπὸ γὰρ τῶν ἐν τοῖς ζυγοῖς ἱσταμένων καὶ πιπρασκομένων εἴρηται. ἐπὶ μὲν οὖν τούτων εἴρηται· ἔφασκεν εἶναι ἀντίσταθμον ἑκατὸν καὶ διακοσίων ἑαυτὸν λέγειν, ἤτοι ἰσοβαρῆ καὶ ἰσοδύναμιν. ἐπὶ δὲ τοῦ Ἕκτορος· οὐδ' εἴ κέν σ' αὐτὸν χρυσῷ ἐρύσασθαι ἀνώγοι Δαρδανίδης Πρίαμος (X 351), οἷον ἴσον καὶ ἰσόσταθμον χρυσῷ· τὸ δὲ ἐρύσασθαι ἀντὶ τοῦ σασθαι ἀντὶ τοῦ στῆσαι. *B f. 107ᵇ ad ἑκατόν τε (id. L f. 188ᵇ, Π)· οὐκ ἔστι τὸ Τρώων ἀνθ' ⟨ita B certe⟩ ἑκατόν τε διηκοσίων τε ἕκαστος στήσεσθ' ἐν πολέμῳ πρὸς ἑκατὸν καὶ διακοσίους μάχεσθαι ἐν πολέμῳ, ὥς τινες ἀποδεδώκασιν, ἀλλ' ὡς εἰ ἔλεγεν· ἀντίσταθμοι καὶ ἰσοβαρεῖς ἑκατὸν καὶ διακοσίων ἕκαστος ἠπείλει γενέσθαι ἐν τῷ πολέμῳ. τῇ γὰρ διανοίᾳ ταύτῃ ἀκόλουθον τὸ νῦν δ' οὐδ' ἑνὸς ἄξιοί εἰμεν Ἕκτορος· ἀπὸ γὰρ τῶν ἐν τοῖς ζυγοῖς ἱσταμένων τε καὶ πιπρασκομένων εἴρηται. ἐπὶ μὲν τούτων ἔφασκεν ἕκαστον αὐτὸν λέγειν ἀντίσταθμον εἶναι ἑκατὸν καὶ διακοσίων, ἐπὶ δὲ τοῦ Ἕκτορος· οὐδ' εἴ κεν σαυτὸν χρυσῷ ἐρύσασθαι Δαρδανίδης Πρίαμος, οἷον ἴσον χρυσῷ καὶ ἰσόσταθμον χρυσῷ· τὸ δὲ ἐρύσεσθαι ἀντὶ τοῦ στῆσαι.

12ᵃ οὐκέτι τρώων V 15ᵃ καὶ πρὸς coniecci; V οὐ πρὸς 33ᵃ ἐρύσεσθαι V

17ᵇ ἐν τῷ πολέμῳ L 22ᵇ ἀκόλουθον τοῦ L 23ᵇ ἦμεν L 25ᵇ τε om. L 27ᵇ αὐτῶν L

---

2 Cf. Nicanor. v. 185.

4 *ἀθετεῖται* ab Aristarcho, Ariston. Θ 189. 90.

6 sqq. †A Θ 189. 90 (id. L f. 167ᵇ): *τὸ ἑξῆς τοῦτό ἐστιν· ἢ ἐμοί, ὃς πέρ οἱ θαλερὸς πόσις εὔχομαι εἶναι, οἶνόν τ' ἐγκεράσασα πιεῖν ὅτε μοι θυμὸς ἀνώγει. ἰστέον δὲ ὅτι κτλ.*, quae huc non pertinent. Cf. †Eust. p. 707, 7.

9. 10 Idem schol. in cod. Lp f. 147ᵃ c. l. *ἐπιβήσεμεν* (sic).

cτῆcαι, ἀπὸ τῶν ἑλκόντων τὸν ζυγόν. ὃ δὲ cημαίνει τὸ ἐρύcαcθαι, τοῦτο καὶ ἐτίταινε λέγει· καὶ τότε δὴ χρύcεια πατὴρ ἐτίταινε τάλαντα (Θ 69), καὶ τὸ ἐρύcαcθαι ἐξηγούμενος ἐπάγει ἕλκε δὲ μέcα λαβών (Θ 70), καὶ ἐπὶ τῆc χήρας ἥ τε cταθμὸν ἔχουcα καὶ εἴριον ἀμφὶc ἀνέλκει ἰcάζουcα τάλαντα (M 434). ἀτάλαντος οὖν ὁ ἴcος καὶ μὴ ταλαντεύων· ἀτάλαντος Ἄρηι (B 627), ὃ ἐξηγούμενός φηcιν ἴcος Ἐνυαλίῳ κορυθάικι (X 132). κέχρηται τῇ ἀπὸ τῶν cταθμῶν διαμετρήcει καὶ ἐπὶ τοῦ δείδω μὴ τὸ χθιζὸν ἀποτίcονται Ἀχαιοὶ χρεῖος (N 745), ἤγουν ἴcον ἀπολάβωcιν, ὡc ἐν ζυγῷ τὸ ἴcον cτήcαντεc καὶ ἀπομετρούμενοι ὄφλημα. χρεῖος γοῦν τὸ ὄφλημα, οὐχ ἁπλῶc τὸ πρᾶγμα. φηcὶν οὖν· δέδοικα μὴ ὡc δανειcάμενοι χθὲc τὴν νίκην ἀποδῶμεν αὐτοῖc cτήcαντεc τὸ χρέοc.

L f. 170ᵇ. A. 284. ἐζήτηται δὲ πῶc ἐξ ἁπάντων ἐπαινέcαc τὸν Τεῦκρον νῦν

*B f. 184ᵇ ad N 745: ..... τὸ δὲ μὴ τὸ χθιζὸν ἀποτίcωνται χρεῖος ἀντὶ τοῦ ἴcον ἀπολάβωcιν, ὡc ἐν ζυγῷ τὸ ἴcον cτήcαντεc καὶ ἀπομετρούμενοι ὄφλημα. χρεῖος γὰρ τὸ χρέοc εἶπε καὶ ὄφλημα, οὐχ ἁπλῶc τὸ πρᾶγμα. φηcὶν οὖν· δέδοικα μὴ ὡc δανειcάμενοι χθὲc τὴν νίκην ἀποδῶμεν αὐτοῖc cταθμῷ cτήcαντεc τὸ χρέοc.

5ᵃ post τάλαντα in V olim legebatur: ἀτάλαντος οὖν τὸ ἴcος καὶ μὴ ταλαντεύων, quae m. prim. delevit 17ᵃ ἀχαι[οὶ] V¹, V² in marg. οι 18ᵃ pro ἤγουν V ἠωc (?) 21ᵃ γ[ο]ῦν V¹; V² in marg. γοῦν 23ᵃ νίκ[ην] V¹, V² ην in marg. 24ᵃ αὐτ, cτήcαντ, τὸ χρέ humiditate deleta rescripsit V²

15ᵇ scholio manus prioris ad ἀποτίcωνται (N 745) relato scholium alterius manus (οἱ δὲ ἀρχαῖοι ἐδάνειζον χρυcίον καὶ ἀργύριον καὶ τὰ παραπλήcια, ὡc νομιcμάτων τότε μὴ ὑπαρχόντων· τὸ δὲ μὴ τὸ χθιζὸν κτλ.) ita subinngitur ut unum cum eo efficere videatur

25 scholio L suprascrpt. ἀπορία, A cohaeret cum altero scholio (I, p. 283, 8—15 Dind.), quod etiam **B (f. 108ᵇ) et L (f. 170ᵇ) exhibent

---

11 Similiter Porph. Ξ 200: *ἀτάλαντον τὸ ἰcοτάλαντον.* Apollon. v. *ἀτάλαντον· ἰcόζυγον, οἷον ἰcόcταθμον, τάλαντα γὰρ τὰ cτάθμια.* Cf. Hesych. Et M. 161, 55. — Aliter ipse Porph. Ψ 269: *ὁ ἐξηρημένος τοῦ κατὰ τὸ τάλαντον μέτρου,* quam interpretationem Eust. B, p. 196, 33, respicit.

22 †B f. 184ᵇ ad *ἀποτίcωνται N* 745 (cf. supra ad lin. 15ᵇ): *cταθμῷ ἀποδῶcι τὴν χθεcινὴν ἡμῶν εὐημερίαν* (reliqua huc non pertinent).

†A *N* 745 (id. L f. 293ᵃ): *μήπωc τὴν χθεcινὴν ἧτταν ἀποδώcουcιν ἡμῖν οἱ Ἕλληνεc ὥcπερ cταθμῷ δεδανειcότεc κτλ.* Cf. ibid. Ariston.

25 A *Θ* 284: *παρὰ Ζηνοδότῳ οὐδὲ ἦν· ἠθέτητο δὲ καὶ παρὰ Ἀριcτοφάνει,*

ἐπιφέρει νόθον. καί φαμεν μὴ εἶναι πρὸς αἰcχύνης διὰ τὸ παρὰ τοῖς παλαιοῖς ἔθος κρατοῦν· ἐτίμων γὰρ τοὺς νόθους ἐπ' ἴcης τοῖς γνηcίοις. ἄλλως τε εἰ καὶ αἰχμάλωτος Ἡcιόνη, ἀλλὰ βαcιλίς. ἔτι δὲ καὶ αὐξήcεως ἕνεκα τοῦτ' εἰρῆcθαί φαμεν, ὅτι τῇ ἀρετῇ καὶ τοὺς γνηcίους ὑπερέβαλεν.

οὐκ ὀνειδίζει, ἀλλ' ἐπαινεῖ, ὅτι διὰ τὴν τοῦ τρόπου χρηcτότητα καίπερ νόθος ὢν οὕτως ἐτράφη. ἄλλως τε διδάcκει ὅτι οὐκ ἔcτιν ὄνειδος τὰ ἴδια ἀκούειν. ἀλλ' οὐδὲ ὄνειδος ἦν ἡ νοθεία παρὰ τοῖς παλαιοῖς. πολεμεῖ δὲ τοὺς ὁμοφύλους βαρβαρόθεν καὶ αὐτὸς ὤν, ὅτι τῇ φιλαδελφίᾳ μᾶλλον ἡττᾶται.

B f. 108ᵇ ad νόθον. Lp f. 148ᵇ c. l. καί cε νόθον περ.

323 sqq. ἐν τούτοις τοῖς ἔπεcι τοῖς περὶ τοῦ Τεύκρου εἰρημένοις ζητοῦcι ποίαν χεῖρα τέτρωται ὁ Τεῦκρος καὶ πότερον τὴν νευρὰν ἐπὶ τὸν ὦμον ἕλκει καθάπερ οἱ Cκύθαι· τοῦτο γὰρ ᾤετο Νεοτέλης, ὅλην βίβλον γράψας περὶ τῆς κατὰ τοὺς ἥρωας τοξείας, καὶ τοὺς μὲν Κρῆτας φάμενος τὴν νευρὰν ἕλκειν ἐπὶ τὸν μαcτὸν τὴν δὲ τάcιν κυκλοτερῆ ποιεῖcθαι, τῶν Cκυθῶν οὐκ ἐπὶ τὸν μαcτὸν ἀλλ' ἐπὶ τὸν ὦμον ἑλκόντων **** μὴ προέχειν τὰ εὐώνυμα μέρη τοξεύοντα τὰ δεξιά. ῥητέον δέ· τὸ αὐερύοντα οὐ δεῖ cυνάπτειν τῷ παρ' ὦμον, ἀλλὰ cτίξαντα ἐν τῷ αὐερύοντα τὸ ἑξῆς λέγειν, παρ' ὦμον ὅθι κληῖς ἀποέργει αὐχένα τε cτῆθός τε· τοῦτο γὰρ τῷ μὲν τὴν νευρὰν ἐπὶ τὸν ὦμον ἕλκειν οὐ cυνᾴδει, τῷ δ' ἐμφῆναι βουλομένῳ τὴν παρ' ὦμον πληγήν, ὅπωc καὶ πόcε, μάλιcτα cυνᾴδει· παρὰ γὰρ τὸν ὦμον ἡ κλείς ἐcτιν, ἀποδιαιροῦcα τὸ cτῆθος ἀπὸ τοῦ αὐχένος. τοῦτο μὲν οἶμαι οὕτως λύεται. φαμὲν δὲ ὅτι παρὰ τὸν ἀριcτερὸν ὦμον ὁ λίθος κατηνέχθη. οὐκ ἐκ τῶν προκειμένων δὲ ἐπῶν, ἀλλ' ἐξ ὧν ἐπάγει ἔδειξε·

ῥῆξε δέ οἱ νευρήν, νάρκηcε δὲ χεὶρ ἐπὶ καρπῷ,
cτῇ δὲ γνὺξ ἐριπών, τόξον δέ οἱ ἔκπεcε χειρόc

(v. 328. 9), οὐ μὰ Δία τῆς δεξιᾶς, ἀλλὰ τῆς εὐωνύμου. καὶ cυνέβη ταύτην ναρκῆcαι κατὰ τὴν πρὸς τὸν ὦμον cυνάφειαν, ὅνπερ καὶ πεπληγέναι cυνέβαινε. προcεχῆ γὰρ τῇ μὲν δεξιᾷ χειρὶ τὰ δεξιὰ τῶν ὑπὲρ

*B f. 109ᵇ ad φαρέτρης L f. 171ᵃ, Π.

1 ἡμεῖς δέ φαμεν τοῦτο μὴ A (Dind.) 5 ἡ Ἰcιώνη A (Dind.) 11 L lemmatis instar: ἤτοι ὁ μὲν φαρέτρης ἐξείλετο πικρὸν ὀϊcτὸν μέχρι τοῦ τόξου (e corr.) δέ οἱ ἔκπεcε χειρόc παρὰ τοῦ T. L 16 μαcθὸν L 17 lacunae quam indicavi in codd. vestigium non exstat μέρη τοῦ τοξεύοντοc τὰ δεξιά L 18 τὸ om. B 22 ὅπερ pro ὅπωc B πόcι codd.; πόcε conieci cυνᾴδει Vill.; codd. cυνάδειν 25 δὲ om. L ἀλλ' Bekk., codd. om. ἐπάγη L 29 τὴν om. B

ὅτι ἄκαιρος ἡ γενεαλογία καὶ οὐκ ἔχουσα προτροπὴν ἀλλὰ τοὐναντίον ὀνειδισμὸν καὶ ἀποτροπήν.

13 Cf. A Θ 325: ..... *ὁ μέντοι Νεοτέλης Σκυθικὴν εἶναι τὴν τοξείαν ἔφασκεν, τοῦ τόξου πρὸς τὸν ὦμον ἑλκομένου.*

17 sqq. Sequitur Neotelem, quem Eust., p. 715, 28, prave intellexisse videtur. Cf. Nicanor. (schol. A l. c.).

28 sqq. †B f. 109ᵇ ad τῇ v. 327 (id. Lp f. 149ᵇ c. l. *τὸ παρ' ὠμὸν*, L f. 172ᵃ, A): *ποῖος* ⟨L ins. *δὲ*⟩ *ὦμος βέβληται; δῆλον ὅτι ὁ ἀριcτερός, διό* ⟨*δι' ὧν* A⟩

αὐτήν, τῇ δ' ἀριστερᾷ ἐν συναφῇ τὰ ἐναντία. καὶ οὐκ ἠδύνατο, τῆς κρατούσης τὸ τόξον ἀριστερᾶς χειρὸς ναρκησάσης καὶ διὰ τοῦτο ἀποβαλούσης τὸ τόξον, μᾶλλον ὁ δεξιὸς ὦμος βεβλῆσθαι ἀλλ' οὐχ ὁ τῆς πεπονθυίας ἀριστερᾶς, ἐπεὶ καὶ προβάλλοντες μὲν τὸν ἀριστερὰν ὦμον, συστέλλοντες δὲ εἰς ἑαυτοὺς τὸν δεξιὸν τοξεύουσιν. ἑτοιμότερον δὲ εἰς βολὴν τὸ προβεβλημένον τοῦ κρυπτομένου.

B f. 109ᵇ ad κύων. L f. 172ᵃ. Lp f. 149ᵇ c. l. ὡς δ' ὅτε τις κύων. A c. l. ὡς δ' ὅτε τίς τε κύων.

338. οὐ δεόντως, φασὶ, τῷ κυνὶ ἓν ζῶον διώκοντι παραβάλλει τὸν Ἕκτορα διώκοντα πολλούς, ἄλλως τε οὐκ ἔδει εἰκάζειν τὸν διώκοντα κυνί, τοὺς δὲ διωκομένους ἀλκιμωτέρῳ ζώῳ, τῷ λέοντι. ῥητέον δὲ πρὸς μὲν τὸ πρότερον ὅτι ὁ Ἕκτωρ εἴκασται κυνὶ ἑνὶ καὶ ὁ ἀποκτεινόμενος θηρὶ ἑνί· φησὶ γὰρ αἰὲν ἀποκτείνων τὸν ὀπίστατον (v. 342). πρὸς δὲ τὸ δεύτερον, ὅτι ἡ παραβολὴ οὐ πρὸς ἰσχὺν ἀλλὰ τάχος· κύνες γὰρ ἐν ταῖς θήραις ἐπιτήδειοι πρὸς δίωξιν· διὰ τοῦτο ὁ Ἕκτωρ διώκοντι εἴκασται κυνί. τὰ δὲ ἄγρια ζῶα φεύγειν εἴωθε τὰ πολλά· διὰ τοῦτο ὑποχωροῦντες Ἕλληνες τοῖς φεύγουσιν εἰκάζονται. ἔπειτα καὶ δεόντως τοῖς ἀλκιμωτέροις ζώοις φεύγουσι παρέβαλε τοὺς Ἕλληνας· προεῖχον γὰρ τῇ ῥώμῃ, καὶ τὰ νῦν δυστυχοῦσι, καὶ ἀεὶ ὁ ποιητὴς εἴωθε κακοπραγοῦντας αὐτοὺς θηρσὶν εἰκάζειν.

B f. 110ᵃ ad μέμνηται. L f. 173ᵇ. Lp f. 150ᵃ c. l. οὐδέ τι τῶν μέμνηται.

362. πρὸς μὲν τὸν Δία εὐπρεπὴς ἡ εἰς τὸν Ἡρακλέα τῆς εὐεργεσίας ἀνάμνησις, πρὸς δὲ τὴν Ἥραν οὐκέτι· αὕτη γὰρ ἠναντίωτο αὐτῇ σωζούσῃ τὸν Ἡρακλέα. ἢ ἐκεῖνο ῥητέον, ὅτι ἀνθρώπινόν τι ἔχει ἡ εἰκών· πολλὴν γὰρ σπουδὴν εἴς τινας εἰσενεγκάμενοι καὶ δι' αὐτῶν τοῖς ἀναγκαίοις εἰς ἀπέχθειαν ἐλθόντες, ἀχαρίστων ὄντων τῶν εὖ πεπονθότων, εἰώθαμεν σχετλιάζοντες εἰσφέρειν πρὸς οὓς ἀπηχθήμεθα, τὴν τῶν εὐεργετηθέντων ἀχαριστίαν μεμφόμενοι ἑαυτοῖς ἐπὶ τῇ ἀβούλῳ κρίσει.

B f. 111ᵃ ad αἰνοτάτη. L f. 175ᵃ. Lp f. 151ᵇ c. l. ἀλλὰ σὺ δ' αἰνοτάτη.

423. 24. ἀθετοῦνται διὰ τὸ τραχύ ⟨ταχύ Lp⟩. ὅσῳ δὲ δεινά ἐστι, τοσούτῳ τὴν κηδομένην ἐμφαίνει. θεραπεύεται δὲ καὶ διὰ τοῦ εἰ ἐτεόν γε τολμήσεις· οὐ γὰρ ἄντικρυς αὐτὴν ἀναιδῆ λέγει, ἀλλ' εἰ ἐθελήσεις ⟨θελήσεις Lp⟩ μάχεσθαι τῷ Διί. πιθανῶς δὲ οὐκ ἤρκεσεν αὐτῇ ἀπαγγεῖλαι μόνον τὰ παρὰ ⟨περὶ Lp⟩ Διός, ἀλλὰ καὶ παρ' αὐτῆς ⟨Bkk.; codd. αὐτῆς⟩ τι προσέθηκε. τοιαύτη δὲ ὁρᾶται καὶ ὅτε πρὸς τὸν Ποσειδῶνα πέμπεται, οὐ μόνον τὴν τοῦ ἀγγέλου ἀλλὰ καὶ τὴν τοῦ συμβούλου ἀποπληροῦσα ⟨ἀποπληροῦσαν Lp⟩ χώραν (O 201).

---

1 ἡ συναφή L 3 ἀλλ' ἢ coni. Kamm., p. 56 4 προσβάλοντες, alter. λ supra lin. script., L 7 φησὶ L 9 καὶ πρώην λέοντι A (Dind.) 10 ὁ διωκόμενος A 12 τὸν δεύτ. A 12. 13 ἀλλὰ πρὸς τάχους A 14 τὰ δὲ ἄγρια κτλ. om. A 15 οἱ ὑποχ. L εἰκάζοντο L 19 εὐπεπὴς Lp 20 ἀνάμησις Lp αὐτὴ γὰρ B ἠναντιᾶτο L 24 πρὸς οὓς ἀπεχθήμεθα B πρὸς ἃς ἀπεχθόμεθα L 25 εὐεργετημένων L εὐχαριστίαν Lp αὐτοῖς L

φησι τόξον δέ οἱ ἔκπεσε χειρός. ἄλλως τε τὸν προβεβλημένον ὦμον εἰκὸς πεπλῆχθαι, οὐχὶ τὸν συνεσταλμένον ἐν τῷ τοξεύειν ⟨et BLLp et A nonnulla addunt a Porph. aliena⟩.

26 Non solum v. 423. 24, sed 420—24 ab Aristarcho obelo notati (Ariston. Θ 420). — Ad Pium schol. nostrum Hiller l. c., p. 101, retulit.

509. K 418.

520. τὸ δὲ θηλύτεραι ὁ Πορφύριος λέγει ἢ ἁπλῶς ἀντὶ τοῦ θήλειαι, ὡς καὶ τὸ νεώτερος ἔστιν ὅτε ἀντὶ τοῦ νέος, ἢ συγκριτικῶς τῶν ἄλλων ζώων· οὐ γὰρ τέτακταί τις αὐταῖς καιρὸς ὁμιλίας τῆς εἰς τὸ γεννᾶν. Paris. ap. Cram., An. P. III, p. 45.

αἱ πρὸς τὰ ἀφροδίσια καταφορώτεραι ὡς πρὸς σύγκρισιν τῶν ἀλόγων ζώων· τὰ μὲν γὰρ ἄλογα ὡρισμένον ἔχει καιρὸν ἐν ᾧ μίγνυται ⟨μίγνυνται L⟩, αὗται δὲ διηνεκῶς πλησιάζουσιν. A c. l. θηλύτεραι. L f. 177ᵇ.

555. ἐκ τοῦ ἀδυνάτου καὶ τοῦτο· πῶς γὰρ δυνατὸν περὶ τὴν φαεινὴν σελήνην ἀριπρεπῆ εἶναι τὰ ἄστρα; λύεται δὲ ἐκ τῆς λέξεως. τὸ φαεινήν οὐκ ἐπὶ τῆς τότε ἀλλ' ἐπὶ τῆς φύσει, ὡς ἐπὶ τούτου· *B f. 114ᵃ ad ἄστρα. L f. 178ᵇ, II.

κούρη δ' ἐκ θαλάμοιο φέρεν ἐσθῆτα φαεινήν

(Ζ 74), οὐκ ἐπὶ τῆς τότε ἀλλ' ἐπὶ τῆς φύσει. καὶ

πλήθει γὰρ δή μοι νεκύων ἐρατεινὰ ῥέεθρα (Φ 218).

τὸ ἀμφὶ σελήνην φαεινὴν φύσει. οὕτω συντακτέον· ὅτε γὰρ ἐκείνη φαεινή, οὐ πάντως ἀριπρεπῆ τὰ ἄστρα, ἀλλ' ὅταν μὴ φαίνηται ἢ φαινοιτο μὲν οὐ μὴν φαεινὴ ἀλλά πως ἀμαυρὰ καὶ ἀλαμπής, τινὶ αἰτίᾳ ἐπηλυγαζομένη.

I

1 sqq. **Vatic.** Ζητ. ε'.

Τὴν ἀρχὴν τῶν Λιτῶν ἀναγινώσκων οὕτως ἔχουσαν· ὣς οἱ μὲν Τρῶες φυλακὰς ἔχον, αὐτὰρ Ἀχαιοὺς θεσπεσίη ἔχε φύζα φόβου κρυόεντος ἑταίρη, πένθεϊ δ' ἀτλήτῳ βεβολήατο πάντες ἄριστοι. ὡς δ' ἄνεμοι

---

9 B incipit: ὡς δ' ὅτ' ἐν οὐρανῷ ἄστρα φαεινὴν ἀμφὶ σελήνην φαίνετ' ἀριπρεπέα. ἀπορία. ἔτι τοῦ ἀδυνάτου κτλ. παρὰ τὴν φ. L 10 λύσις. ἐκ δὲ τῆς λέξεως ἡ λῆξις (sic). τὸ φαεινὴν οὐκ κτλ. L 11 ἐπὶ τούτων L 15 τὸ om. L τὸ — συντακτέον probabiliter uncinis inclusit Kamm., p. 57 16 φαίνητε pro φαίνηται L 18 ἐπιλυγαζομένη L

---

2 Cf. Lp f. 153ᵃ (c. θηλύτεραι): ..... ἢ ἁπλῶς, ὡς τὸ νεώτερος ὁ νέος.

3 Eust. Θ, p. 727, 32, unam illam interpretationem, ut sit συγκριτικῶς accipiendum, ad Porphyrium refert.

6—8 Propter similitudinem quae cum Paris. iis intercedit ad Porph. retuli.

10—15 Eust. Θ, p. 729, 22: φαεινὴν λέγει κατὰ Ἀρίσταρχον τὴν φύσει τοιαύτην (v. Ariston. Φ 218) κτλ., unde Paris. ap. Cram. III, p. 234, 1, fluxit (id. fere Lp f. 154ᵃ). Cf. Apollon. v. φαεινή.

10—18 E quaestione Porphyriana, sed aliis, ut videtur, adiectis, pendet B f. 114ᵃ ad φαεινὴν (id. Lp f. 154ᵃ c. l. φαεινὴν ἀμφὶ σελήνην): οἱ μὲν ἄρτι φαίνεσθαι ἀρχομένην, οἱ δὲ λεπτήν, ὡς τὸ μάστιγα φαεινήν (K 500),

δύο πόντον ὀρίνετον ἰχθυόεντα, Βορέης καὶ Ζέφυρος, τώτε θρήκηθεν ἄητον, ἐλθόντ' ἐξαπίνης, ἄμυδις δέ τε κῦμα κελαινὸν κορθύεται, πολλὸν δὲ παρὲξ ἅλα φῦκος ἔχευε· ὣς ἐδαΐζετο θυμὸς ἐνὶ στήθεσσιν Ἀχαιῶν· ταῦτ' οὖν ἀναγινώσκων ἠπόρεις, πῶς ἀκριβὴς ὢν περὶ τὰς εἰκόνας Ὅμηρος νῦν δοκεῖ πρὸς μηδεμίαν χρείαν δυοῖν ἀνέμοιν εἰκόνα παραλαμβάνειν. εἰ γὰρ αὐξήσεως ἕνεκα, ἔδει τοὺς τέσσαρας, ὡς ἐν ἄλλοις· σὺν δ' Εὖρός τε Νότος τε πέσον Ζέφυρός τε δυσαὴς καὶ Βορέης αἰθρηγενέτης μέγα κῦμα κυλίνδων (ε 295. 96). λύει δὲ τὴν ἀπορίαν αὐτός, ὡς καὶ Ἀπολλώνιος ὁ τοῦ Μόλωνος παρίστησι. δύο γὰρ πάθεσι χειμαζομένους ποιήσας τοὺς Ἀχαιούς, φόβῳ μὲν ἐφ' οἷς εἴρηκε θεσπεσίῃ ἔχε φύζα, λύπῃ δὲ ἐν οἷς ἐπάγει πένθεϊ δ' ἀτλήτῳ βεβολήατο πάντες ἄριστοι — δεδίασι μὲν γὰρ τὰ μέλλοντα, βαρέως δὲ φέρουσι τὰ γεγονότα —, προσηκόντως αὐτοὺς ἀπεικάζει πελάγει δυσὶ πνεύμασιν ἐπεγειρομένῳ. θεσπεσίῃ δ' ἔχε φύζα δηλοῖ οὐ τὸν προσγενόμενον αὐτοῖς διὰ δειλίαν φόβον, ἀλλ' ἐκ βουλήσεως θεῶν, ὥς ἔχε φύζα δηλοῖ τὸν οὐ προσγινό-

*B f. 114ᵇ ad ἄνεμοι v. 4 (id. L f. 180ᵇ; Π): νῦν δοκεῖ πρὸς μηδεμίαν χρείαν δυοῖν ἀνέμων εἰκόνα παραλαμβάνειν. εἰ γὰρ αὐξήσεως ἕνεκα, ἔδει τοὺς τέσσαρας, ὡς ἐν ἄλλοις· σὺν δ' Εὖρός τε Νότος τ' ἔπεσον Ζέφυρός τε δυσαὴς καὶ Βορέης αἰθρηγενέτης μέγα κῦμα κυλίνδων. λύει δὲ τὴν ἀπορίαν αὐτός, ὡς καὶ Ἀπολλώνιος ὁ τοῦ Μόλωνος παρέστησε. δύο γὰρ πάθεσι χειμαζομένους ποιήσας τοὺς Ἀχαιούς, φόβῳ μὲν ἐφ' οἷς εἴρηκε θεσπεσίῃ ἔχε φύζα, φόβου κρυόεντος ἑταίρῃ, λύπῃ δὲ ἐν οἷς ἐπάγει πένθεϊ δ' ἀτλήτῳ βεβολήατο πάντες ἄριστοι — δεδίασι γὰρ τὰ μέλλοντα, βαρέως δὲ φέρουσι τὰ γεγονότα οἱ ἄριστοι —, δύο οὖν πάθεσι συνεχομένους εἰπὼν τοὺς Ἕλληνας προσηκόντως ἀπεικάζει πελάγει δυσὶ πνεύμασιν ἐξεγειρομένῳ. τὸ θεσπεσίῃ δ'

5ᵃ κορθύεται V²; κορύσσεται V¹ 10ᵃ Ὅμηρος ex Ὁμήρου V² 11ᵃ μὴ δὲ μίαν V¹; corr. V² 18ᵃ—19ᵃ τὴν — ὁ et 20ᵃ—22ᵃ σι — μὲν humiditate deleta V² in textu rescripsit 26ᵃ μέλλοντα, alter. λ eros., V 29ᵃ ἐ..γειρομένῳ (duae litt. eros.), in marg. V² ἐπε 32ᵃ βον ἀλλ' in textu erosa V² in marg. scripsit

10ᵇ L in lemm. ὡς δ' ἄνεμοι δύο 11ᵇ ἀνέμοιν L 15ᵇ ἔπεσεν L 16ᵇ αἰθριγενέτης BL 25ᵇ βεβολίατο L 30ᵇ ἀπεικάζει προσηκόντως L 31ᵇ L verbo ἐξεγειρομένῳ finitur; quae sequuntur f. 181ᵃ ita inc.: Πορφυρίου. δηλοῖ τὸν οὐ πρ. κτλ.

οἱ δὲ τὴν φύσει φαεινήν ⟨*οἱ δὲ τὴν φύσ. φαειν.* om. Lp⟩. *προσφυῶς δὲ τῷ νυκτερινῷ φωτὶ παρεικάζει αὐτά.* Cf. schol. ζ 74.

20—29 Cf. A *I* 4.

32 †B f. 114ᵇ ad *θεσπεσίῃ* v. 2: *ἡ βουλήσει θεῶν προσγεγενημένη* ⟨cod. *προγεγ.*; corr. Bkk.⟩. *φύζα δὲ κτλ.* (quae huc non pertinent).

που καὶ ἐν ἄλλοις αὐτὸς εἶπε· γνώ-
ccεαι δ' εἰ καὶ θεcπεcίῃ πόλιν
οὐκ ἀλαπάξειc ἢ ἀνδρῶν κα-
κότητι (B 367. 68), τουτέcτι θείᾳ
5 βουλήcει καὶ οὐ cυμφύτῳ κακίᾳ.
ἔcτι δὲ καὶ ἄλλων ἐπίθετον τὸ θεc-
πέcιον· θεcπέcιόc τε γὰρ πλοῦ-
τοc (B 670) καὶ θεcπεcίη φύζα·
ἐκ κοινοῦ ἔcται κἀνταῦθα ἡ κακότηc·
10 γνώcῃ πότερον θεcπεcίῃ κακότητι
ἢ ἀνδρῶν κακότητι. φύζα δέ ἐcτιν
ἡ φυγή. φόβου δὲ φίλη λέγεται,
ὅτι ὁ φοβούμενοc τὴν φυγὴν προc-
εταιρίζεται. καὶ τὸ μὲν βεβολήατο
15 τὴν βούληcιν βεβλάφθαι δηλοῖ, τὸ
δὲ βεβλῆcθαι ἐπὶ cώματοc.

20

25

30

μενον αὐτοῖc διὰ δειλίαν φόβον,
ἀλλ' ἐκ βουλήcεωc θεῶν, ὥc που
καὶ ἐν ἄλλοις αὐτὸς ἀντέθηκεν εἰ-
πών· γνώcεαι δ' εἰ καὶ θεcπε-
cίῃ πόλιν οὐκ ἀλαπάξειc ἢ
ἀνδρῶν κακότητι καὶ ἀφραδίῃ
πολέμοιο, τουτέcτι θείᾳ βουλήcει
καὶ οὐ cυμφύτῳ κακίᾳ. εἰ δὲ καὶ
ἄλλων ἐπίθετον τὸ τῆc θεcπεcίαc,
ὡc τὸ θεcπέcιον πλοῦτον καὶ
θεcπεcίη φύζα, ἐκ κοινοῦ ἔcται
ἡ κακότηc· γνώcῃ πότερον θεcπεcίῃ
κακότητι ἢ ἀνδρῶν κακότητι· δη-
λοῦται δὲ οὕτωc ἡ θεία. φύζα δέ
ἐcτιν ἡ φυγή. φόβου δὲ φίλη λέ-
γεται, ὅτι ὁ φοβούμενοc τὴν φυγὴν
προcεταιρίζεται. καὶ τὸ μὲν βεβο-
λήατο τὴν βούληcιν βεβλάφθαι δη-
λοῖ, τὸ δὲ βεβλῆcθαι δηλοῖ τὸ cῶμα.

ἀνιcτόρητον δέ φαcιν εἶναι τὸ
τοὺc ἀμφοτέρουc, ἤγουν τὸν Βο-
ρέην καὶ τὸν Ζέφυρον, πνέειν ἐκ
τῆc Θρᾴκηc· οὐ γὰρ πνέουcιν ἀμ-
φότεροι ἐξ αὐτῆc. λύεται δὲ ἐκ
τῆc λέξεωc τρόπῳ cυλληπτικῷ· τὸ
γὰρ θατέρῳ cυμβεβηκὸc ἐπ' ἀμφοῖν
τέθεικεν. ἔcτι δὲ καὶ ἑτέρωc· ὁμω-
νύμωc γὰρ τὰ πνεύματα καὶ οἱ προ-
εcτῶτεc αὐτῶν θεοὶ λέγονται· τοὺc
δὲ cωματικῶc ἐν Θρᾴκῃ κατοικοῦν-
ταc ὑποτίθεται ὁ ποιητήc.

3ᵃ ειc in textu eros., V² in marg. scrps. 6ᵃ ἔcτι in text. eros., V² in marg.: ἐcτὶ δὲ δὲ 12ᵃ φίλη e φίλα V²

14ᵇ—17ᵇ φύζα — προcεταιρίζεται om. L 20ᵇ—31ᵇ in uno B

4—10 Cf. B f. 28ᵃ ad *θεcπεcίῃ B* 360 (id. Lp f. 72ᵃ c. l. *εἰ καὶ θεcπεcίῃ*): *λείπει τὸ βουλῇ, ὡς Πίνδαροc. ἢ ἀπὸ κοινοῦ τὸ κακότητι· θεcπεcίῃ κακότητι ἢ ἀνδρῶν κακότητι.*

12—14 †L f. 180ᵇ c. l. *ἑταίρη: φίλη, cυνεργόc. cημειωτέον δὲ διά τί τὴν φυγὴν ὁ ποιητὴc τοῦ φόβου εἴρηκε φίλην. καὶ ῥητέον, διότι ὁ φοβούμενοc τὴν φυγὴν προcεταιρίζεται.* Cf. Lehrs, Ar. p. 77, 382.

14 (17) sqq. Sequitur Aristarchum Zenodoto oblocutum, v. Lehrs, p. 64.

20 *φαcίν*, velut Eratosthenes, v. Strab. I, p. 28 C.

25 Cf. Porph. *E* 576, p. 84.

28 Cf. Porph. *B* 447, p. 42, 24; *Θ* 1, p. 113, 12.

I. f. 182ᵃ. A I 5. Cf. schol. Horn. I 5.

πῶς ἀμφοτέρους ἐκ Θρᾴκης φησὶ πνεῖν, τοῦ μὲν Βορέου ἐξ ἄρκτου τοῦ δὲ Ζεφύρου ἐκ δύσεως πνέοντος; λύσις. ῥητέον οὖν ὅτι ἡ Θρᾳκῶν γῆ ἐπὶ πολὺ διήκει καὶ σιγματοειδὴς κεῖται τῇ θέᾳ καὶ μέχρι τῆς δύσεως· ἀφ' ἑκατέρου οὖν μέρους τῶν ἀνέμων ἔχει ἑκάτερον. οἱ δέ φασιν ὅτι συλληπτικῶς πέφρακε· τὸ γὰρ ἑτέρῳ συμβεβηκὸς καθ' ἑκατέρων κεῖται· μόνος γὰρ ὁ Βορέας ἀπὸ Θρᾴκης πνέει.

Vat. ζητ. ς'. *B f. 147ᵃ ad ὅταν ὠδίνουσαν Λ 269.

ἐπεὶ δὲ παραβολῆς ἐμνήσθημεν, σκέψαι τὴν τοῦ ποιητοῦ ἐνταῦθα χρῆσιν. ἐπὶ γὰρ τοῦ Ἀγαμέμνονος τρωθέντος χρησάμενος τῇ παραβολῇ ταύτῃ·

ὡς δ' ὅταν ὠδίνουσαν ἔχῃ βέλος ὀξὺ γυναῖκα

καὶ ἀνταποδόσει·

ὣς ὀξεῖ' ὀδύναι δῦνον μένος Ἀτρείδαο (Λ 269. 72),

ἐπὶ τοῦ Κύκλωπος δυνάμει τὰ τῆς παραβολῆς μεταφέρων χρῆται, ἐν οἷς λέγει (ι 415)·

Κύκλωψ δὲ στενάχων τε καὶ ὠδίνων ὀδύνῃσιν·

ἔστι δὲ τῆς παραβολῆς τὸ ὠδίνων τῆς δ' ἀνταποδόσεως τὸ ὀδύνῃσι. πάλιν δὲ εἰπὼν ἐπὶ τῆς τοῦ Ἕκτορος κατὰ τῶν Ἑλλήνων ὁρμῆς·

ὀλοοίτροχος ὣς ἀπὸ πέτρης,

ὅν τε κατὰ στεφάνης ποταμὸς χειμάρροος ὤσῃ (N 137),

κατὰ τὴν αὐτὴν φαντασίαν πεποίηκε περὶ αὐτοῦ λέγοντα τὸν Διομήδη·

νῶιν δὴ τόδε πῆμα κυλίνδεται ὄβριμος Ἕκτωρ (Λ 347)·

ὁ δὲ ὄβριμος οἰκεῖος ἀψύχῳ ὁρμῇ· οὐ γὰρ θρασὺν ἔφη οὐδὲ κορυθαιόλον, οἷς ἰδίοις αὐτὸν προσαγορεύειν εἴωθε. πάλιν ἐπὶ τοῦ Νέστορος σκεπτομένου ποῖ τράπηται φησίν·

---

1 A praemissis nonnullis inc.: πῶς δὲ ἀμφ., L ante πῶς· ἀπορία 2 Ζεφύρου om. A λύσις om. A 3 διηνεκεῖ A, sed in marg. adscr. γρ. διήκει (Dind.) 5. 6 τὸ ⟨cod. τῷ⟩ γὰρ ἑτ. — κεῖται in uno A 6 πνεῖ A 7 δὲ om. B ἐμνήσαμεν V¹, ἐμνήσθημεν corr. V² ἐν ταυ, supra scrpt. τ', cui postea η superne addit., B 8 περιβολῇ V 10 ἔχει V 11 ἀνταποδόσει, ὁ in ras., B 12 ὀξεῖ' ex ὀξεῖα V² 13 περιβολῆς V 13. 14 ἐν οἷς λέγ. om. V 15 κύκλ. τὲ στεν. B 17 δὲ om. V τῶν om. V 18 ὁλοοίτριχος B ὡς, accent. eras., B πέτρου e πέτρης V² 19 ὤσει ex ὤς V² 20 διομήδην B 21 τόδε e τότε V² 22 ὄμβριμος V 23 ἰδίως V 24 φησίν om. B

1—6 Scholium etsi quaestionem Vat. VI a V male dirimit, tamen propter lin. 3. 4 inter scholia excerpta referri non potuit.

7 sqq. Quaestionem Vaticanam VI cum eiusdem codicis XXIX, quam huic (p. 131) subiungimus, cohaerere apparet. In codice Veneto, priore quaestione ad Λ 269, altera ad Δ 447 adscripta, ordo male turbatus est. Quamobrem praestat cum Vaticano sextam quaestionem quintae, quam modo edidimus, subiungere, ita ut verba *ἐπεὶ δὲ παραβολῆς ἐμνήσθημεν* ad ea spectent, quae Porph. de I 4 sqq. disputavit, neque cum cod. Venet. ad postrema verba schol. Λ 155 (ubi vid. ann. crit.) referenda sint.

20 sqq. Cf. A f. 166ᵇ N 137 (c. l. *ὁλοοίτροχος*): .... *καλῶς δὲ βάρβαρον καὶ ἄλογον ὁρμὴν ἀψύχῳ βάρει εἴκασεν διὰ παντὸς τόπου κυλινδουμένῳ.* Idem fere B f. 171ᵇ ad *ὁλοοίτροχος* ibid.; Eust. N, p. 924 extr.

ἢ μεθ' ὅμιλον ἴοι Δαναῶν ταχυπώλων
ἠὲ μετ' Ἀτρείδην Ἀγαμέμνονα (Ξ 21. 22),
ὅλην τὴν παραβολὴν διεξελθών·
ὡς δ' ὅτε πορφύρῃ πέλαγος μέγα κύματι κωφῷ,
ὀσσόμενον λιγέων ἀνέμων λαιψηρὰ κέλευθα
αὔτως, οὐδ' ἄρα τε προκυλίνδεται οὐδετέρωσε,
πρίν τινα κεκριμένον καταβήμεναι ἐκ Διὸς οὖρον (Ξ 16 sqq.)·
εἶτα ἐπ' Ἀγήνορος προτραπέντος μὲν ὑπὸ Ἀπόλλωνος ὑποστῆναι Ἀχιλλέα, ὅμως δὲ τὴν θέαν αὐτοῦ καταπλαγέντος, ἠρκέσθη τῷ ὀνόματι·
πολλὰ δέ οἱ κραδίη πόρφυρε κιόντι (Φ 551).
πάλιν τε εἰπὼν ἐπὶ τῆς Ἥρας (Ο 80 sqq.)·
ὡς δ' ὅταν ἀίξῃ νόος ἀνέρος, ὅστ' ἐπὶ πολλὴν
γαῖαν ἐληλυθὼς φρεσὶ πευκαλίμῃσι νοήσῃ,
ἔνθα ἴῃ ἢ ἔνθα, μενοινήσειέ τε πολλά,
ὣς κραιπνῶς μεμαυῖα διέπτατο πότνια Ἥρη,
καὶ ἀπὸ μὲν τοῦ νοῦ ποιήσας παραβολήν, ἀπὸ δὲ τοῦ πέτεσθαι ἀποδοὺς τὴν ἀνταπόδοσιν, συντέμνων τὰ αὐτὰ ἐν ἄλλοις φησίν· ὠσεὶ πτερὸν ἠὲ νόημα (η 36).

θαυμαστὸν δὲ αὐτῷ κἀκεῖνο· ἐκ μεταφορᾶς γάρ τι τολμηρότερον φθεγξάμενος οἰκείαν ἐπάγει παραβολήν, κρατύνων αὐτὴν ὡς εὔλογον ἔσχε τὴν τόλμαν. εἰπὼν οὖν κραδίη δέ οἱ ἔνδον ὑλάκτει (υ 13) ἐπάγει·
ὡς δὲ κύων ἀμαλῇσι περὶ σκυλάκεσσι βεβῶσα
ἄνδρ' ἀγνοιήσας' ὑλάει μέμονέν τε μάχεσθαι.
καὶ ἐπὶ τῶν στρατοπέδων ἀντικαθημένων
τῶν δὲ στίχες εἵατο πυκναὶ
ἀσπίσι καὶ κορύθεσσι καὶ ἔγχεσι πεφρικυῖαι
εἰπών (Η 61), ἐπήγαγεν·
οἴη δὲ Ζεφύροιο ἐχεύατο πόντον ἔπι φρὶξ
ὀρνυμένοιο νέον, μελάνει δέ τε πόντος ὑπ' αὐτῆς.

1—3 ἢ μεθ' — διεξελθών om. V 4 πορφύροι V 6 οὐδ' ἑτέρωσε BV 7 κεκριμένον om. BV; add. Vill. 8 Ἀχ. ὑποστῆναι V 11 τε om. V 13 νοήσοι V 16. 17 τὴν περιβολὴν V ἀποδοὺς om. V ἀπὸ δ. τ. πέτ. τὴν ἀν et (lin. 18. 19) ἠὲ — κἀκεῖ humiditate deleta in textu rescrps. V² 20 οἰκίαν V δὲ ins. ante αὐτὴν B 21 οὖν om. B 25 καὶ αὖθις ἐπὶ τοῦ στρατ., om. ἀντικαθ., V 26 .ν δὲ στίχες V¹, ἐν δὲ in marg. V² 27 ἀσπίσι corr. ex ἀσπῖσι B 29 οἴ[η] δὲ V¹, οἴη in marg. V² ἐπι φρίξ B, ἐπιφρὶξ V 30 μελανεῖ, με e corr., B

16 sqq. Cf. B f. 199ᵃ ad ἀίξῃ O 80 (id. L f. 316ᵇ, Lp f. 236ᵇ c. l. ἀναίξῃ νόος): *ἐν ἄλλοις ἁπλούστερον* ⟨*ἁπλ.* Lp⟩ *καὶ συντομώτερον εἶπε τὸ νόημα, ἐνταῦθα δὲ καὶ ἐπεξειργάσατο* ⟨*ἐπεξεργ.* L⟩ *διὰ τὸ τάχος. καὶ οὐ παντὶ νῷ προσάπτει τὸν λόγον, ἀλλ' ἀπλανήτου* ⟨*ἀπλάνητος* L⟩ *καὶ συνετοῦ ἀνδρός.* Eust. *O*, p. 1006, 50.

19 sqq. † Eust. *Γ*, p. 371, 3 sqq.

ἐπί τε τῶν Τρώων ἔτι ποικιλώτερον κέχρηται· ἀρξάμενος γὰρ ἀπὸ μεταφορᾶς ὁμοίωσίν τε αὐτῇ τὴν ἀκόλουθον ἐπάγει καὶ ἐπ' ἀμφοῖν τὴν παραβολήν· Τρῶες μὲν κλαγγῇ (Γ 2)· τοῦτο μὲν δὴ ἡ μεταφορά· τὸ δ' ὄρνιθες ὥς ἡ ὁμοίωσις· εἶθ' ἡ παραβολή·

ἠύτε περ κλαγγὴ γεράνων πέλει οὐρανόθι πρό,
αἴτ', ἐπεὶ οὖν χειμῶνα φύγον καὶ ἀθέσφατον ὄμβρον,
κλαγγῇ ταίγε πέτονται ἐπ' Ὠκεανοῖο ῥοάων,

ᾗ σχεδὸν μόνῃ τῶν παραβολῶν οὐκ ἀνταπέδωκεν, ὡς τῆς ὁμοιώσεως ἅμα καὶ μεταφορᾶς προεχουσῶν τὴν ἀνταπόδοσιν.

πάλιν τε αὐτοῦ παρατηρητέον ἐκεῖνο· τάς τε γὰρ οἰκείως τιθεμένας φωνὰς ἐπὶ τῶν πραγμάτων πολλάκις εἰς τὰς παραβολὰς μετατίθησι καὶ τὰς ἐπὶ τῶν παραβολῶν εἰς τὰ πράγματα. οἷον ἔθνη στρατιωτῶν λέγεται, σμήνη δὲ μελισσῶν, παραβαλὼν δὲ τὰ πλήθη τῶν στρατιωτῶν ὀνόματι ἐπὶ τῶν μελισσῶν κέχρηται·

ἠύτε ἔθνεα εἶσι μελισσάων ἀδινάων (B 87),

ὃ πλήθους ἀνθρώπων ἐστὶν ὄνομα. οὕτως ὁλοοιτρόχῳ λίθῳ τὴν ὁρμὴν τοῦ Ἕκτορος ἀπεικάζων (N 137) ἀναθρώσκειν τέ φησι τὸν λίθον καὶ πέτεσθαι, καὶ τελευτῶν, ὡς ἀπ' αὐτοῦ τοῦ στρατιώτου ἀφιγμένου ἀλλ' οὐχὶ τοῦ λίθου, ἐπάγει·

ὁ δ' ἀσφαλέως θέει ἔμπεδον, εἰσόκεν ἔλθῃ.

οὕτω καὶ ἐπὶ τοῦ κύματος, ὃ τάξεσιν ἀπεικάζει στρατοπέδου, προειπών (Δ 422)·

ὡς δ' ὅτ' ἐν αἰγιαλῷ πολυηχέϊ κῦμα θαλάσσης
ὄρνυτ' ἐπασσύτερον Ζεφύρου ὑποκινήσαντος,

μετάγει ἀπὸ τῶν στρατιωτῶν ἐπὶ τὰ ἑξῆς· πόντῳ μὲν κορύσσεται τὰ πρῶτα. ἀνάπαλιν δὲ τὰς τῶν παραβολῶν μετατίθησι φωνὰς ἐπὶ τὰ πράγματα, ὡς ἐπὶ τοῦ Ἀχιλλέως·

---

1 ἐπ...τῶν V¹, ἐπὶ δὲ τῶν in marg. V² 2 αὐτῇ om. B .πάγει V¹, ἐπάγει in marg. V² 3 κλαγγὴ B μὲν δὴ om. V 5 τε verbi ἠύτε evan., spr. lin. adscrps. V² 6. 7 om. V 8 τῶν (ε ται corr. V²) περιβολῶν V 10 τε om. V αὐτῷ B 12 ἐπὶ τῶν περιβολῶν V 13 post μελισσῶν V ita: οὗτος δὲ μεταλαβὼν τῷ τῶν στρ. ὀν. 14 χρῆται V 15 οὔτ', ὡς suprascr., ἔθνεα V 16 ὁλοοιτρίχῳ B 17 εἰκάζων V 18 τελευτὴν V¹, τελευτῶν V² ἀφιγμένος V 19 οὐ V 24 ὄρνυται V ἐπασσύτερον om. V 25. 26 τὰ πρῶτα κορύσσεται V 26 τίθησι V

---

8 A Γ 2 Nicanor: *βραχὺ διαστελτέον ἐπὶ τὸ ὥς. ἡ γὰρ ἀνταπόδοσις πρόκειται, καὶ ἀνεστραμμένη ἡ περίοδός ἐστιν.* Cf. B f. 41ᵃ ad *ἴσαν* Γ 8 (id. Lp f. 82ᵇ c. l. *ἴσαν*, corr. ex *ἴσασι*): *ταύτης ποῦ τῆς παραβολῆς ἡ ἀπόδοσις; ἢ* ⟨*ἡ* B, acc. in ras.⟩ *τάχα εἰς τὸ Τρῶες μὲν κλαγγῇ ἑνοπῇ τ' ἴσαν· οἱ δ' ἄρ' ἴσαν* ⟨*οἱ — ἴσαν* del. Roem. ap. Fleckeis., 1878, p. 538⟩ *ἠύτε περ· ἵνα τὸ ἠύτε ἀπόδοσις ᾖ. ἐπεὶ δὲ κτλ.*

13 B f. 21ᵃ ad *ἠύτε* B 87 (id. A et Lp f. 66ᵇ c. l. *ἔθνεα*): *πρὸς τοὺς εἰκαζομένους Ἕλληνας, ἐπεὶ* ⟨om. B⟩ *σμήνεα ἔδει εἰπεῖν* (id. fere L f. 27ᵃ). Rel. quae ibi leguntur huc non pertinent.

ὡς δ' ὅτ' ἀριζήλη φωνή, ὅτε τ' ἴαχε σάλπιγξ (C 219)
εἰπὼν ἐπάγει μετατιθεὶς ἀπὸ τῆς σάλπιγγος ἐπὶ τὸν ἄνθρωπον·
οἱ δ' ὡς οὖν ἄιον ὄπα χάλκεον Αἰακίδαο.
κεκινδύνευται δὲ αὐτῷ ἐκεῖνα, οἷον
σιδήρειος δ' ὀρυμαγδὸς
χάλκεον οὐρανὸν ἷκε δι' αἰθέρος ἀτρυγέτοιο (P 424)·
ὡς γὰρ ἐξ ἀντιτυπίας χαλκοῦ καὶ σιδήρου τὴν φαντασίαν εἰς τὸν ἐκ πόντου ἦχον κεκίνηκεν.

ἐλέγομεν περὶ τῶν παραβολῶν, ὅτι πολλάκις τὰ οἰκεῖα τοῖς πράγμασιν ὀνόματα παρατίθησι τοῖς ἐν ταῖς παραβολαῖς ὁμοιώμασιν, ἐν πολλοῖς δὲ καὶ ἔμπαλιν. εἰς δὲ πίστιν τούτου παρακείσθω καὶ ταῦτα· συμβάλλουσι μὲν ἀλλήλοις στρατοὶ τὸν πόλεμον· Vat. Ζητ. κθ'. *B f. 61ᵃ ad ῥινοὺς Δ 447.

σύν ῥ' ἔβαλον Λαπίθαι πόλεμον (M 181),
σύν ῥ' ἔβαλον ῥινούς, σὺν δ' ἔγχεα καὶ μένε' ἀνδρῶν (Δ 447),

μίσγονται δὲ ποταμοὶ καὶ τὰ ὑγρά·
οἱ μὲν ἄρ' οἶνον ἔμισγον ἐνὶ κρατῆρσι καὶ ὕδωρ (α 110),
ὅθεν καὶ τὸ καταδεχόμενον τοὺς ποταμοὺς χωρίον μισγάγκεια εἴρηται· ἀλλ' ὅμως αὐτὸς ἐναλλὰξ ἐπὶ μὲν τῶν ποταμῶν ἔφη τὸ συμβάλλειν, ὅπερ ἦν ἐπὶ τῶν ἀνθρώπων·
ἐς μισγάγκειαν συμβάλλετον ὄβριμον ὕδωρ (Δ 453),
ἐπὶ δὲ τῶν στρατῶν τὸ μίσγεσθαι, ὅπερ ἦν οἰκεῖον ποταμῷ·
ὣς τῶν μισγομένων γένετ' ἰαχή τε φόβος τε (Δ 456).
συνεχώρει δὲ τὸ μέτρον εἰπεῖν· ἐς μισγάγκειαν συμμίσγετον ὄβριμον ὕδωρ, Ὁμηρικοῦ ὄντος τοῦ παρετυμολογεῖν, ὡς τὸ τέμενος τάμον (Z 194) καὶ κειμήλια κεῖται (Z 47) καὶ Ἅρπυιαι ἀνηρείψαντο (α 241) καὶ μένος οἴχεται ὃ πρὶν ἔχεσκεν (? E 472). ὁ δὲ προείλετο τὴν ἀντίδοσιν τῶν ὀνομάτων εἰς ἑνωτικὴν τοῦ φραζομένου πρὸς τὸ εἰκαζόμενον, εἴ γε αἱ αὐταὶ φωναὶ πρέπουσιν ἑκατέροις.

ἐπὶ δὲ τῶν Αἰάντων καὶ τολμήσας νέφος εἶπε καὶ κατὰ μεταφορὰν πεζῶν (Δ 274), καὶ ὡς εὔλογον τὴν τόλμαν τῇ παραβολῇ ἐπι-

---

2 εἰπὼν om. B 4 δὲ om. B 6 ἧκε V 7. 8 ὡς — κεκίνηκεν om. V 8 ἐκ πεδίου vel πολέμου coni. Kamm., p. 77 11 περικείσθω V 13 σύν ῥ' — πόλεμον om. B 14 σὺν δ' ἔβαλον ῥινά V 17 κρατῆρι V 18 καὶ om. B μισγάγγεια BV 19 μὲν om. V 20 ὃ ἦν V 21 μισγάγγειαν BV ὄμβριμον V 22 μίσγεαι B ὃ ἦν ἐπὶ τῶν ποταμῶν V 24 μισγάγγειαν BV ὄμβριμον V 26 κειμήλιον V ἅρπ.αι, litt. inter π et α evan., B 27—29 ὁ δὲ — ἑκατέροις om. V 30. 31 ἐπὶ δὲ τ. Αἰάντ. νέφος εἶπε τολμήσας πεζῶν κατὰ μεταφ., καὶ ὡς εὔλογον κτλ. V

---

9 v. ad p. 128, 7
19 sqq. †Eust. Δ, p. 497, 19 sqq.
25 sqq. Cf. Porph. ζητ. Vat. ια' (v. in fine op.).
30 sqq. †Eust. Δ, p. 471, 19 sqq.

στώσατο καὶ τὰς φωνὰς ἤμειψεν, ἐπειπὼν τὸ παραβληθὲν τῷ παραβαλλομένῳ·

ἦλθε δ' ἐπ' Αἰάντεσσι κιὼν ἀνὰ οὐλαμὸν ἀνδρῶν,
τὼ δὲ κορυσσέσθην, ἅμα δὲ νέφος εἵπετο πεζῶν.

προαναφωνήσας οὖν νέφος πεζῶν ἐξ αὐτοῦ πλάσσει παραβολήν· 5

ὡς δ' ὅτ' ἀπὸ σκοπιῆς εἶδεν νέφος αἰπόλος ἀνὴρ
ἐρχόμενον κατὰ πόντον ὑπὸ Ζεφύροιο ἰωῆς,
τῷ δέ τ' ἄνευθεν ἐόντι μελάντερον ἠύτε πίσσα
φαίνετ' ἰὸν κατὰ πόντον, ἄγει δέ τε λαίλαπα πολλήν·
τοῖαι ἅμ' Αἰάντεσσι διοτρεφέων αἰζηῶν 10
δήιον ἐς πόλεμον πυκιναὶ κίνυντο φάλαγγες
κυάνεαι σάκεσίν τε καὶ ἔγχεσι πεφρικυῖαι (Δ 275—82).

τὸ μὲν νέφος ἐρχόμενον καὶ ἰὸν καὶ ἄγον λαίλαπα εἶπεν, ὅ ἐστι πρᾶγμα στρατιώτου, ἐπὶ δὲ τῆς φάλαγγος κίνυντο, ὃ ἐπὶ νέφους τάττει κινήσει· πυκινὴν νεφέλην (Π 298) καὶ πυκιναὶ φάλαγγες 15 καὶ κυάνεον νέφος (Π 66. Ψ 188) καὶ κυάνεαι φάλαγγες.

ἤμειψε καὶ ἐπὶ τοῦ λέοντος καὶ τῆς Πηνελόπης τὰς φωνάς·

ὅσσα δὲ μερμήριξε λέων ἀνδρῶν ἐν ὁμίλῳ
δείσας, ὁππότε μιν δόλιον περὶ κύκλον ἄγουσι,
τόσσα μιν ὁρμαίνουσαν ἐπήλυθε νήδυμος ὕπνος 20
(δ 791 sqq.)·

μερμηρίζει μὲν γὰρ κυρίως ἄνθρωπος, ὁρμαίνει δὲ λέων, ὁ δ' ἐνήλλαξε.

τῷ δὲ τήκεσθαι κυρίως ἐπὶ τῆς χιόνος χρησάμενος ἐνδιατρίβειν ὡς ἐναργεῖ πολλάκις οὐκ ὤκνησε καὶ τῷ αὐτῷ χρήσασθαι ἐπὶ τῆς διὰ λύπην τοῖς δακρύοις διαρρεομένης· ὡς δὲ χιὼν κατατήκεται — 25 ἥντ' Εὖρος κατέτηξε· τηκομένης δ' ἄρα τῆς — ὥς τῆς τήκετο καλὰ παρήια δακρυχεούσης (τ 205 sqq.), καίτοι ἐν ἄλλοις εἰπών· τῆς δ' ἐλεεινοτάτῳ ἄχεϊ φθινύθουσι παρειαί (θ 530).

*B f. 114ᵇ ad ἡγήτορες. 17. διὰ τί λέγοντα ποιεῖ ἐν δήμῳ ὦ φίλοι Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες, τοὺς ἡγήτορας καὶ βασιλεῖς προσφωνῶν, καίπερ πάν- 30 των παρόντων; φησὶν οὖν ὁ Ἀριστοτέλης ὅτι ὁ μὲν δῆμος μόνου τοῦ ἀκοῦσαι κύριος, οἱ δὲ ἡγεμόνες καὶ τοῦ πρᾶξαι.

---

1 ἐποποιῶν B, ἐπιποιῶν V¹, ... πῶν (ante π aliquid delet.) V² in marg. 3 αἰάντες σικιὼν V 6 ἴδε V 8 post τῷ duae vel tres litt. eras. B ἄν..εν V¹, ευθεν V² in marg. 10 τοῖαι .μ' V¹, ἅμ V² in marg. 12 κυά.... V¹, άνε V² in marg. σάκεσσί τε V 13 λαίλαπα, λαπα hum. del. rescrps. V² εἴ.εν V¹, εἶπεν δ V² in marg. 15 κινήσει, ήσει hum. del. rescrps. V² πράττει κινήση B 16 εον νέφος — φάλαγγες humid. del. rescrps. V² 18 ὅσσα — ὁμίλῳ rescrps. V² 19 ὁπότ[ε] μιν V 20 τό..ά μιν ὁρ.....σαν ἐπήλ... νήδυμος νήδυμος (sic) ὕ.νος V¹, τόσσα μιν ὁρμαίνουσαν ἐπήλυθεν V² in marg. 22 ὁρμαί.ει V 23 τὸ δὲ τήκ. V 26 τῆς τ...το V¹, τῆς τήκετο V² in marg. 28 φθιννύθουσι V 31 margini exter. cod. adscrpt. Ἀριστοτλ.

5 Cf. B f. 56ᵇ ad *εἵπετο* Δ 274 (id. Lp f. 96ᵇ c. l. *εἵπετο πεξῶν*, A Δ 274 Dind.): ..... *ἀπὸ δὲ τῆς μεταφορᾶς καὶ εἰκόνα πεποίηκεν.*

55. .... πῶς δὲ ὁ Νέστωρ τὸ τέλειον ἀποδιδοὺς τῷ Διομήδους λόγῳ λέγειν αὐτὸς ἐπιχειρεῖ; ῥητέον δὲ ὅτι τῆς ὕβρεως τὴν μνήμην καὶ Διομήδης πεποίηται καὶ Νέστωρ αὐτῷ τελείως γεγενῆσθαι μαρτυρεῖ. ὅπερ δὲ δεῖ πράσσειν ἐν τῷ καιρῷ Διομήδης παρέλιπεν κἀκεῖνος εἰσηγεῖται.

A c. l. οὔ τίς τοι τὸν μῦθον ὀνόσσεται. L f. 181ᵇ.

90. quae ad h. v. de κλισίῃ leguntur ad ω 208 pertinent.

122. (Eust., p. 740, 18) v. Ψ 269.

124. v. ad Γ 197.

143. de τηλύγετος (exc. e schol. Ε 153) v. ad A 250 (in extr. op.).

150 sqq. Μεσσηνίδες αὗται πόλεις, ἡ δὲ Μεσσήνη εἰς τὸν τῶν Λακεδαιμονίων νομὸν πάλαι συνετέλει. πῶς οὖν, φασίν, Ἀγαμέμνων ταύτας δίδωσιν οὐκ οὔσας αὐτοῦ; φασὶ δὲ αὐτὰς Κλυταιμνήστρας εἶναι, ἢ ὅτι κοινὰ ἡγεῖται τὰ τοῦ ἀδελφοῦ, ὡς κἀκεῖνος τὴν Αἴθην (Ψ 295) .....

B f. 117ᵇ ad Καρδαμύλην. L f. 185ᵃ. Cf. Horn. v. 150.

διὰ τί δὲ οὐ μέμνηται αὐτῶν ἐν τῷ καταλόγῳ, ὅτι νεωστὶ ὑπὸ τῶν Διοσκούρων ἦσαν πορθηθεῖσαι, τῶν δὲ πεπορθημένων οὐ ποιεῖ συμμαχίαν, ὡς οὐδὲ Νηρίκου· φύσει γάρ εἰσι πολέμιοι τοῖς πορθήσασιν. ἢ περὶ αὐτῶν φησιν ἐν οἷς λέγει Αἰγιαλόν τ' ἀνὰ πάντα καὶ ἀμφ' Ἑλίκην εὐρεῖαν (B 575) ....

Horn. l. c.

158. διὰ τί οἱ μὲν ἄλλοι θεοὶ στρεπτοὶ λέγονται, τὸν δὲ Ἅιδην ἀνελεήμονά φησιν εἶναι; ὅτι ἐκεῖνοι μὲν περὶ τῶν εἰς ἑαυτοὺς χαλεπαίνουσιν ἁμαρτημάτων, διὸ καὶ συγγινώσκουσιν, ὁ δὲ περὶ τῶν ἰδίων καὶ ἀλλοτρίων, διὸ καὶ ἄκαμπτός ἐστιν· ὅθεν ἐν οὐδεμιᾷ πόλει Ἅιδου βωμός ἐστιν· Αἰσχύλος φησίν· μόνος θεῶν γὰρ Θάνατος οὐ δώρων ἐρᾷ οὐδ' ἄν τι θύων οὐδ' ἐπισπένδων λάβοις, οὐδ' ἔστι βωμὸς οὐδὲ παιωνίζεται (fr. Niob., 156 Dind.).

B f. 117ᵇ ad ἀμειλίχος. L f. 185ᵇ. A. Cf. Horn. v. 158.

167. ἐζήτηται δὲ πῶς μᾶλλον ὁ Νέστωρ οὐ πρεσβεύει ὡς συνετώτερος. ἔστι δὲ, λέγειν, ὅτι κατ' οἰκονομίαν ὑπελείφθη, ἵνα, ἂν ἀποτύχωσιν οἱ περὶ Ὀδυσσέα, αὐτὸς ὕστερον πείσῃ. ἄτοπον γὰρ ἦν νῦν πρεσβεύειν τὸν Νέστορα, ὅτε δεῖ πάντως τὸν Ἀχιλλέα μὴ πεισθῆναι·

A c. l. οἱ δὲ. L f. 186ᵃ. Cf. Cram., A. P. III, p. 173, 1.

---

1 praemittit A: οὐδείς σου τὸν λόγον ἐκφαυλίσει καὶ μέμψεται ib. ἀποδοὺς A 2 αὐτὸν L δὲ om. L 3 αὐτὸς τελέως L 4 εἰσήγηται L 11 νόμον L φησὶν L 13 quae BL post Αἴθην, Horn. post εὐρεῖαν (lin. 18) leguntur: μεγάλη δὲ ἡ δόξα Ἀχιλλεῖ κτλ., cum quaestione non cohaerere videntur; Horn. post Αἴθην haec: ὑπομένει, ὡς καὶ Μενέλαος αὐτὸν ἱκετεύει. διὰ τί δὲ κτλ. (lin. 14) 18 v. ad lin. 13 20 εἶναι om. BL 21 οἱ δὲ L καὶ etiam post δὲ BL καὶ post ἰδ. om. L 22 ἄκαμπτοί εἰσιν A (Dind.); corr. Vill. διὸ ἀνηλεής ἐστιν BL ἐν om. A 23. 24 γὰρ om. A οὐδ' ἐπαγωνίζεται A (Dind.); corr. Vill. BL post φησιν: μόνος γὰρ θεῶν θάνατος οὐ δώρων ἐρᾷ οὐδ' ἐπιθυμεῖ σπονδῶν, tum nonnulla, quae cum quaest. casu coaluisse videntur; in Horn. pars eorum initio scholii legitur, partim (de verb. ἀμείλιχος) recte alterum scholium efficiunt 26 in schol. A aliena praemittuntur; L ἀπορία ὁ Νέστ. om. A 27 ante ἔστι L λύσις 28 περὶ τὸν Ὀδ. L 29 ὅτε ἔδει L

---

22 sqq. Cf. Eust. p. 744, 3 sqq.
26 sqq. Cf. Eust. p. 745, 7—11.

ἀδοξία δὲ ἦν Νέστορα μὴ δυνηθῆναι πεῖσαι. οἱ δέ φασιν, ὅτι ἐπεὶ ἐχθρὸς ἦν Ἀχιλλέως, λοιδορήσας αὐτὸν πρὸς Ἀγαμέμνονα· τούσδε δ' ἔα φθινύθειν ἕνα καὶ δύο (B 346).

B f. 118ᵃ ad ἐγών. L f. 185ᵇ. Cf. Horn. v. 167.

αὐτὸς οὐκ ἄπεισιν ἢ διὰ τὸ γῆρας ἢ ὑποπτεύεσθαι παρὰ τῷ Ἀχιλλεῖ νομίζει ὡς ἐκπληρῶν τὴν αὐτοῦ ἀπουσίαν, τοῦτο μὲν τῇ διατάξει τοῦ στρατοῦ — ὡς φρήτρη φρήτρηφιν ἀρήγῃ (B 363) — τοῦτο δὲ τάφρον περιβαλλόμενος καὶ τεῖχος, ὃ καὶ Ἀχιλλεὺς ὀνειδίζει·

ἢ μὲν δὴ μάλα πολλὰ πονήσατο νόσφιν ἐμεῖο,
καὶ δὴ τεῖχος ἔδειμεν (I 348. 49),

ἢ ὅτι εἶπεν· τούσδε δ' ἔα φθινύθειν ἕνα καὶ δύο (B 346). εἰ δὲ ἐν τῷ ἐπιταφίῳ φιάλην αὐτῷ ἐδωρήσατο (Ψ 616), οὐδὲν θαυμαστόν, εἰ τὴν ἔχθραν ἀποθέμενος τὴν πρὸς Ἀγαμέμνονα λύει καὶ τὴν πρὸς Νέστορα ὑποψίαν. ἢ ἀδήλου ὄντος εἰ πείσει, καλῶς ἑτέρους ἔπεμψεν· πεισάντων γὰρ ἔμελλεν αὐτὸς ἔχειν τὴν δόξαν ὡσεὶ ἡγησάμενος, ἀποτευχθείσης δὲ τῆς ἱκεσίας αἰτίαν ἔσχον οἱ πρέσβεις ἐνδεῶς διειλεγμένοι.

A c. l. τὼ δὲ βάτην. L f. 186ᵃ.

182. Ζητοῦμεν δὲ εἰ καὶ Φοῖνίξ ἐστι πρεσβευτής. καί φασιν οἱ μὲν δύο πρεσβεύειν, Αἴαντα καὶ Ὀδυσσέα, Φοίνικος προεληλυθότος οὐκ εἰς τὸ πρεσβεύειν ἀλλ' εἰς τὸ συλλαβέσθαι· καὶ διὰ τοῦτο ὁ ποιητὴς δυϊκῶς κέχρηται, καὶ χαίρετον ὦ φίλοι (v. 197). ἔνιοι δὲ λέγουσι συμπεπρεσβευκέναι καὶ Φοίνικα, καὶ οὐδὲν εἶναι τεκμήριον τὸν παρὰ τῷ ποιητῇ ἀριθμόν· πολλάκις γὰρ καὶ ἐπὶ πλειόνων αὐτὸν τετάχθαι, ὡς καὶ ἐπὶ τοῦ μή νύ τοι οὐ χραίσμωσιν ὅσοι θεοί εἰσ' ἐν Ὀλύμπῳ ἄσσον ἰόντε (A 567), καὶ ὡς ἐπὶ τοῦ κούρω κριθέντε δύο καὶ πεντήκοντα (θ 48).

L f. 186ᵇ. Cf. Scor. ap. Dind. IV, p. 412, *II*.

186. ἀπρεπὲς δοκεῖ καταλαμβάνεσθαι κιθαρίζοντα. λύεται δ' ἐκ τοῦ καιροῦ· ἐν γὰρ νυκτὶ οὐκ εὐπρεπέστερον ⟨L ἀπρεπέστερον, quod mutavi⟩ ἄλλως καταλαμβάνεται. γυμνάζεσθαι μὲν γὰρ τῷ σώματι οὐκ ἦν τότε· κοιμώμενος δὲ ἢ παννυχίζων ἀπρεπέστερον ηὑρίσκετο.

B f. 118ᵃ ad φρένα. L f. 187ᵃ, *II*. Lp f. 157ᵃ c. l. φρένα τερπόμενον. Cf. Horn. v. 186.

οἰκεῖον τῷ ἥρωι νυκτὸς οὔσης γυμνάζεσθαι μᾶλλον τὰ μουσικά, ἀλλὰ μὴ διαπαννυχίζειν· παραμυθία γὰρ ταῦτα θυμοῦ καὶ λύπης. ἔστι δὲ νέος καὶ φιλόμουσος καὶ λάφυρον ἔχων τὴν κιθάραν, καὶ οὐ θηλυ-

---

1 ἐπειδὴ L 2 βασιλέως pro Ἀχιλλέως L 7 προβαλλόμενος L 11 φυάλην L 13 πείσειε L 14. 15 ἀποταχθείσης L 16 schol. A subiunctum scholio Aristonicco; L incipit: ἀπορία. Ζητοῦμεν εἰ ἀεὶ καὶ Φ. ibid. λύσις. καί φησιν L 19 φίλω L 19. 20 συμπρεσβευκέναι A 20 παρ' αὐτῷ ποιητῇ L 21 πολλάκις δὲ καὶ L 23 ἐπὶ τοῦ τῷ κ. A 30 παραμύθια L παραμυθια (sic) γὰρ καὶ ταῦτα Lp 30. 31 ἔστι δὲ καὶ νέος L 31 καὶ ante οὐ om. L

---

16 sqq. Simillimum schol. est quod e cod. Vindob. XXXIX Alter edidit (Iliad., praef. p. X). — Praeterea rem spectanti conferendum schol. B f. 118ᵃ ad *Φοῖνιξ* v. 168 (id. L f. 186ᵃ, Horn. v. 168), quod ad Porphyrium referre non audeo, et Eust. p. 744, 50.

25—28 Simillimum schol. Alter (p. XI) edidit: *ἀπρεπὲς δοκεῖ καταλαμβάνεσθαι τὸν Ἀχιλλέα κιθαρίζοντα. λύεται δὲ τὸ ζήτημα τοῦτο ἐκ τοῦ καιροῦ.*

δριώδη μέλη ἀλλὰ κλέα ἀνδρῶν ᾄδει. ἢ οἰόμενος ἥξειν αὐτοὺς cοβαρεύεται. καλῶς δὲ ἀπούcης τῆς ἐρωμένης ᾄδει, ὅπωc μὴ δοκοίη κωμάζειν. ἢ ὅτι πεφρόντικε μὲν τῆς τῶν Ἑλλήνων ἀcφαλείας, προcποιεῖται δὲ καταφρονεῖν· φηcὶ γοῦν

5 δῖε Μενοιτιάδη,
νῦν ὀΐω περὶ γούνατ' ἐμὰ λίccεcθαι Ἀχαιούc (Λ 608. 9),

καὶ πάλιν

ὄρcεο, διογενὲc Πατρόκλειc, ἱπποκέλευθε·
λεύccω δὴ παρὰ νηυcὶ πυρὸc δηΐοιο ἐρωήν (Π 126. 7).

10 οὐκ ἤθελε δὲ ἀργῶν cώματι καὶ ψυχῇ ἀργεῖν, ἀλλ' ἡτοίμαζεν αὐτὴν πρὸc τὰc πράξειc, καὶ ἐπ' εἰρήνηc τὰ τοῦ πολέμου μελετᾷ, ὡc καὶ οἱ Μυρμιδόνεc (Β 773 sqq.).

203. ἀπρεπέc· ὡc γὰρ ἐπὶ κῶμον ἥκουcιν ἀκρατότερον διδόναι παρακελεύεται. οἱ μὲν γὰρ ἀπὸ τῆc λέξεωc λύουcι· τὸ γὰρ Ζωρότερον εἶναι τάχιον· οἱ δὲ ἀπὸ τοῦ καιροῦ, ὅτι νύξ· οἱ δὲ ἀπὸ τοῦ ἔθουc· τοὺc γὰρ ἥρωαc, ἄλλωc καταπονουμένουc, δαψιλεcτέροιc τοῖc πρὸc τὴν δίαιταν κεχρῆcθαι εἰκόc· ἢ ἴcωc ὡc μουcικὸc καὶ ὑδαρέcτερον πίνων, ἀφ' ὧν ὀνειδίζει καὶ οἰνοφλυγίαν Ἀγαμέμνονι (Α 225). L f. 187ᵃ. *B f. 118ᵇ. Cf. Phil. XVIII, p. 345, *Π*.

221. πῶc παρὰ Ἀγαμέμνονι δεδειπνηκότεc νῦν πάλιν ἐcθίουcιν; ἢ οὖν τὸ ⟨Bkk.; τῷ cod.⟩ Πατρόκλῳ καὶ Ἀχιλλεῖ cυμβεβηκὸc cυλληπτικῶc περὶ πάντων εἶπεν, ἢ cυλλήβδην ἐcθίουcιν εἰc ἔνδειξιν τοῦ ἥδεcθαι τῇ περὶ αὐτὸν ἑcτιάcει. B f. 119ᵃ ad ἑτοῖμα. Cf. Horn. v. 221.

5 μενοιτιάδουc L 8 πατρόκληc L 10 ψυχὴν, om. ἀργεῖν, Lp 12 μυρμηδόνεc L 13 L in lemm. ζωρότερον δὲ κέραιε, δέπαc δ' ἐν τινον (sic) ἑκάcτῳ. schol. *B, quod ita incipit: ἀπρεπὲc δὲ τὸ ὡc ἐπὶ — παρακελεύεcθαι, subiunctum est scholio manus prioris (ad ζωρότερον relato; id. Lp f. 157ᵇ): ἀκρατότερον, παρὰ τὸ ζῆν· οἱ δὲ ταχύτερον. ἢ ἴcωc ὡc μουcικὸc καὶ ὑδαρέcτερεον πίνων, ἀφ' ὧν ὀνειδίζει καὶ οἰνοφλυγίαν Ἀγαμέμνονι (in schol. B signum scholii finiti quod olim sequebatur erasum est). Cum apertum sit eum qui *B scripserit verba ἢ ἴcωc κτλ. propterea omittere, quod iam a pr. man. scripta exstabant, in scholio constituendo cod. Leid. secuti sumus 14 καὶ οἱ μὲν ἀπὸ τ. λ. B 15 εἶναι om. B 17 χρῆcθαι B 17. 18 ἢ — Ἀγαμέμνονι in uno Leid. (cf. ad lin. 13)

ἐν γὰρ νυκτὶ οὐκ ἀπρεπὲς κιθαρίζειν, ἐπεὶ οὐκ ἦν καιρὸς γυμνασίας· κρεῖττον γὰρ ἦν κιθαρίζειν ἢ κοιμᾶcθαι ὡς ἀδόλεcχος (?).

13—18 Idem fere schol. e cod. Vindob. ed. Alter, p. XI, paullo aliter Horn. v. 203.

13. 14 Rem de qua agitur Zoilum poëtae crimini dedisse Plutarchus auctor est, Quaest. Conv. V, 4, 2.

14 Aristotel. poet. 25 (p. 1461 α 14, inter ea quae *πρὸς τὴν λέξιν ὁρῶντα δεῖ διαλύειν*): *καὶ τὸ ζωρότερον δὲ κέραιε οὐ τὸ ἄκρατον, ὡς οἰνόφλυξιν, ἀλλὰ τὸ θᾶττον.* — Hesych. *ζωρότερον: ... ἔνιοι δὲ τάχιον.*

15 † Horn. v. 203: *... οὐκ ἄτοπον δὲ νυκτὸς οὔcης ζωρότερον πίνειν.*

17 sqq. † Eust. p. 746, 42: *αὐτὸς γὰρ ὁ Ἀχιλλεὺς ἔοικεν ὑδαρέcτερον πίνειν, καὶ εἰκότως, ὁ τῷ Ἀγαμέμνονι ὀνειδίcαc οἰνοφλυγίαν.*

19—22 Lp f. 158ᵃ (c. l. *ἐπ' ὀνείαθ' ἑτοῖμα*) prave traditum: *πῶς παρὰ Ἀγαμέμνονι δεδειπνηκότες νῦν πάλιν ἐcθίουcιν; εἰς ἔνδειξιν τοῦ ἥδεcθαι τῇ περὶ*

L f. 187ᵇ. A. 223. καὶ ζητεῖται διὰ τί προαρπάζει τὸν λόγον Ὀδυσσεύς, πρὸς τὸν Αἴαντα ὄντος τοῦ νεύματος τοῦ Φοίνικος. λύσις. ῥητέον οὖν ὅτι εἴτε ἐνδεικνύμενος Ἀχιλλεῖ, ὅτι οὐ μία ἦν ἡ ἐλπίς, προαποτυχόντων τῶν ἑταίρων αὐτοῦ καὶ οἰκείων τοῦ Ἀχιλλέως. ἐβούλετο δὲ προεκκενώσας τὴν ὀργὴν ἀναγκάσαι τι τοῖς οἰκείοις προσδοθῆναι χάρισμα.

*B f. 119ᵃ ad Ἀγαμέμνονος. L f. 187ᵇ. A. 226. διὰ τί τὸν ἐχθρὸν οὕτως ὠνόμασε προπετῶς, οὐ προθεραπεύσας; ῥητέον οὖν ὅτι εἴτε ἐνδεικνύμενος Ἀχιλλεῖ ὅτι πρότερον ὑβρίσας ἱκέτης καθέστηκεν, ἢ πάνυ ῥητορικῶς ὁ ἀνὴρ εἰς φιλίαν ἄγει τοὺς ἀμφοτέρους καὶ τῇ τραπέζῃ δυσωπῶν καὶ τοῦτο μόνον λέγων, ὡς ὁμόσιτος αὐτῷ δι' ἡμῶν γεγένησαι· καὶ γὰρ καὶ ἐκείνου καὶ σοῦ μετεσχήκαμεν τραπέζης.

*B f. 119ᵇ ad κόρυμβα. L f. 188ᵃ. 241. διὰ τί δέ, φησί, πρῶτον ἀποκόπτει, εἶθ' οὕτως τὸ πῦρ ἐμβάλλει; ἐπειδὴ ἐκ τῶν ἀκροστολίων ἦσαν ἀγάλματα καὶ εἰκόνες τῶν θεῶν αὐτῶν. ἐκκλίνων οὖν τὴν τῶν θεῶν ὀργὴν τοῦτο ποιεῖ.

*B f. 120ᵃ ad ἀπύρους v. 264. L f. 189ᵃ, *Π*. Cf. Cramer, A. P. III, p. 382, 18. 265. τί βούλεται τὸ αἴθωνας δὲ λέβητας ἑείκοσι, καὶ εἰ οἱ αὐτοὶ τοῖς ἀπύροις, ὅταν εἴπῃ ἄπυρον λέβητα (Ψ 885); φημὶ οὖν, ὅτι τῶν τριπόδων καὶ τῶν λεβήτων οἱ μὲν ἦσαν εἰς ὑπηρεσίαν τοῦ πυρὸς ἐπιτήδειοι, οἱ δὲ ἀργοὶ καὶ εἰς θέαν καὶ τὴν διὰ τῆς ὄψεως τέρψιν εἰργασμένοι. διακρίνει δὲ τοῖς ἐπιθέτοις ἀπ' ἀλλήλων, τοὺς μὲν λέγων αἴθωνας καὶ ἐμπυριβήτας, τοὺς δὲ ἀπύρους καὶ ἀνθεμόεντας, τοὺς ἕνεκα κόσμου μόνον εἰργασμένους.

308. schol. Leid. f. 189ᵇ de Ulixe πολυτρόπῳ agens ad α 1 pertinet.

356. v. 682.

A c. l. εἴ τινά που Δαναῶν ἔτι ἔλπεται. 371. διὰ τί ἐξηπατῆσθαί φησιν ὁ Ἀχιλλεὺς ὑπὸ τοῦ Ἀγαμέμνονος ἀφαιρεθεὶς δὲ τοῦ γέρως; ἥκιστα γὰρ ἡ ὕβρις ἀπάτη. ἢ ὅτι τέως φίλος

---

1 L in lemm. ἐνόησε δ' Ὀδυσσεύς. ἀπορία. A, cuius lemm. νεῦσ' Αἴας Φοίνικι, praemissis aliis inc.: ζητεῖται δὲ διὰ τί κτλ. ὁ Ὀδυσσ., tum, verbis πρὸς — λύσις omissis, ῥητέον δὲ ὅτι καὶ μάλα εἰκότως· οὐδὲ γὰρ μία ἦν ἐλπὶς κτλ. A 4 τῶν οἰκείων αὐτοῦ. ἐβούλ. δὲ A 5 χάριτος A 6 L in lemm. ἀπορία· ἢ μὲν ἐνὶ κλισίῃ Ἀγαμέμνονος, A ἡμὲν ἐνὶ κλισίῃ 7 ante ῥητέον L λύσις ὅτι ὁ πρότ. ὑβρ. A 8 ἢ πάνυ ῥητορικὸς ἀνὴρ L 9 καὶ μόνον οὐχὶ τοῦτο λέγων A 10 καὶ post γὰρ om. AL 15 καὶ εἰ οἱ αὐτοὶ e coni. posui; καὶ οἱ κτλ. B, καὶ εἰ αὐτ. L 16 οὖν om. L 18 καὶ διὰ τὴν τῆς ὄψ. τέρψιν L 20 ἀνθυμόεντας L

αὐτὸν ἑστιάσει. ἢ οὖν τὸ Πατρόκλῳ καὶ Ἀχιλλεῖ συμβεβληκὸς συλληπτικῶς περὶ πάντων εἶπεν, ἢ συλλήβδην ἐσθίουσιν. — Legatos apud Agamemnonem cenavisse Aristarchus observavit (v. schol. A v. 222).

1—5 Cf. B f. 119ᵃ ad *Φοίνικι* v. 223 (id. L f. 187ᵇ, Horn. v. 223): *οὐχ ἵνα εἴπῃ ἀλλ' εἰ καιρός ἐστιν κτλ.*, quae a quaestionis forma plus discrepant quam ut huc referre audeamus. — Quaestio nonnihil mutata in schol. min. h. v. transiit.

13. 14 Cf. Horn. v. 241.

16 sqq. B f. 107ᵃ ad *αἴθωνας* v. 123: *τοὺς εἰς πῦρ βαλλομένους· ὡς δὲ λέβης ζεῖ ἔνδον* (Φ 362) ....., cf. Horn. v. 123; Etym. M. 32, 35: ... *καὶ αἴθωνας λέβητας τοὺς πρὸς τὸ πῦρ ἐπιτηδείους, καλουμένους ἐμπυριβήτας.*

ὧν ἀνεφάνη ἐχθρός, ταύτην λέγει τὴν ἀπάτην, παρακελευόμενος τῷ Ὀδυσσεῖ φυλάττεσθαι καὶ μὴ προσέχειν ὡς φίλῳ. καὶ τὸ δόντα μέντοι ἔπειτα ἀφελέσθαι ἀπάτη ἐστίν· ὁ γὰρ ἔφησεν οὐκ ἐποίησεν.

377. ad Z 234 (p. 97).

378. ἀπὸ τῶν Καρῶν, οὓς ἀεὶ (B 867) λοιδορεῖ ὁ ποιητής, οἷον ἐν μοίρᾳ Καρὸς οἰονεὶ δούλου. τὸ ἔγκαρος Ἀλκαῖος μὲν ὁ ἐπιγραμματοποιὸς ἐγκέφαλον ἤκουσεν (Anth. IX, 519, 3), ἀπὸ τοῦ ἐν τῷ κάρᾳ εἶναι. τὰ γὰρ παλαιὰ τῶν γραϊδίων ἀπορρίπτει τὸν ἐγκέφαλον. λέγει οὖν τὸ τίω δέ μιν ἐν καρὸς αἴσῃ, τουτέστι τιμῶμαι αὐτὸν ἐν ᾗ μοίρᾳ αἱ γυναῖκες τὸν ἐγκέφαλον. Ἀρχίλοχος δὲ [καὶ δὴ ἐπίκουρος ὥστε Κὰρ κεκλήσομαι]· τιμῶμαι αὐτὸν ἐν μισθοφόρου καὶ τοῦ τυχόντος στρατιώτου μοίρᾳ. Λυσανίας δὲ ὁ Κυρηναῖος καὶ Ἀριστοφάνης καὶ Ἀρίσταρχος ἐν κηρὸς μοίρᾳ φασὶ λέγειν τὸν ποιητὴν Δωρικῶς μεταβαλόντα τὸ ῑ εἰς ᾱ. Νέσος δὲ ὁ Χῖος καὶ τὸ ᾱ μηκύνει οὐδὲν φροντίσας τοῦ μέτρου. Ἡρακλείδης δέ φησιν ὅτι τὰ ἐκ τοῦ ῑ εἰς βραχὺ ᾰ μεταγόμενα Ἰωνικά ἐστιν ἀλλ' οὐ Δωριέων συστολαί. ἀντιφράζει μέντοι ὁ ποιητὴς τῷ ἐν καρὸς αἴσῃ τὸ εἰ δέ τοι Ἀτρείδης μὲν ἀπήχθετο κηρόθι μᾶλλον (I 300) καὶ ἴσον γάρ σφιν ἀπήχθετο κηρὶ μελαίνῃ (Γ 454), καὶ ὁ αὐτὸς Ἀχιλλεύς· ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς Ἀΐδαο πύλῃσιν (I 312). ὅμοιον δέ ἐστι τῷ ἴσον πᾶσιν ἀπήχθετο κηρὶ μελαίνῃ.

*B f. 122ᵃ ad καρὸς. L f. 193ᵇ. Cf. Phil. XVIII, p. 345, *II*.

383. Ζητεῖται, πότερον τὸ μέγεθος τῆς πόλεως δηλῶσαι βούλεται, ὡς ἂν ἐχούσης πύλας ἑκατόν, ἢ τῶν πυλῶν τὸ μέγεθος, ὡς ἐκ διακοσίων ἁρμάτων καθ' ἑκάστην ἅμα εἰσιέναι δυναμένων, ἢ τὸ μέγεθος τῆς δυνάμεως, ὅπερ καὶ βούλεται. εἰ γὰρ διακόσιοι ἄνδρες καθ' ἑκάστην εἰσίασιν, οἱ διακόσιοι ἐπὶ τὰ ἑκατὸν πολλαπλασιασθέντες δισμύριοι ἂν εἶεν· καὶ οὐδὲν μέγα εἰ δισμύριοι ἄνδρες οἰκοῦσι τὴν πόλιν. ῥητέον δὲ, ὅτι μέγεθος πόλεως δηλοῖ καὶ δυνάμεως μέγεθος, οὐκέτι δὲ πυλῶν·

*B f. 122ᵇ ad ἑκατόμπυλοι L f. 193ᵃ, *II*. Cf. Cramer, A. P. III, p. 382, 26.

---

6 καρός codd., ἔγκαρος Anthol. l. c. 10. 11 versum Archilochi, quem codd. om., e schol. Plat. Lach. p. 187 B (Bergk. fr. 24) addidi 12 Λυσανίας B 23 πολλῶν L ἂν pro ἐκ coni. Kamm., p. 60 26 ἐπὶ τοὺς ἑκατὸν L δυσμύριοι B 27 ante ῥητέον L λύσις

---

5 sqq. Vestigia quaestionis hoc versu oblato institutae apud Eust., p. 757, 23, exstant. Idem praeter eas quae ad Porph. referendae videntur alias quoque explicationes congessit, quae ex parte etiam in schol. A et Horn. leguntur.

12 sqq. Cf. Ariston. *I* 378: *ὅτι συνέσταλται Ἰακῶς ἐν καρός ἀντὶ τοῦ ἐν κηρός· ὅμοιον γάρ ἐστι τῷ ἴσον γάρ σφισι πᾶσιν ἀπήχθετο κηρὶ μελαίνῃ.*

21 †B f. 122ᵃ ad *αἴσῃ*: *ὅμοιόν ἐστι τῷ ἴσον γάρ σφιν πᾶσιν ἀπήχθετο κηρὶ μελαίνῃ* ...., cf. Apollon., Hes., Et. M.

27 sqq. †B f. 123ᵃ ad *διηκόσιοι* v. 383 (id. Lp f. 161ᵇ c. l. *διηκόσιοι*): *οὐ τὸ πλάτος τῶν πυλῶν θέλει σημαίνειν (οὐδὲ γὰρ ἅμα πάντας ἐξιέναι φησίν), ἀλλὰ τὸ μέγεθος τῆς πόλεως καὶ τὸ πλῆθος τῶν ἀνδρῶν, εἴ γε πύλας μὲν ἑκατὸν ἔχει, ἄνδρας δὲ ἁρματοφόρους ψ' μυριάδας. ἐν ταύτῃ δὲ ἦν πρότερον τὰ*

οὐδὲ γὰρ καὶ τὸ ἅμα τοὺς διακοσίους εἰσιέναι δεδήλωκεν, ἀλλὰ μόνον ὅτι καθ' ἑκάστην εἰσίασι ς', οἳ καὶ ἕπεσθαι ἀλλήλοις ἠδύναντο. μέγεθος δὲ τῆς πόλεως δηλοῖ τὸ ἑκατόμπυλον, τῆς δὲ δυνάμεως τῶν ἁρμάτων καὶ ἡνιόχων τοσοῦτον εἶναι πλῆθος· οὐ γὰρ δὴ ἁπλῶς τῶν κατοικούντων τοσοῦτον τίθεται τὸ πλῆθος, ἀλλὰ τῶν ἁρματοφορούντων. ἀμφίβολον δὲ πότερον ἄνδρες διακόσιοι σὺν διακοσίοις ἅρμασιν . . . . . ἢ ἄνδρες ἑκατὸν σὺν ἑκατὸν ἅρμασιν, ὡς τὸ συναμφότερον εἶναι τοὺς ς', τοὺς ἀνθρώπους καὶ τὰ ἅρματα. κἂν διακόσιοι δὲ ὦσιν ἄνθρωποι, ἀμφίβολον πότερον ἓν ἕκαστος ἔχει ἅρμα, καὶ οὕτως ἕσονται διακόσια, ὄντων τετρακοσίων ἵππων· ἢ διακόσιοι ἄνδρες ἔχουσιν ἅρματα, ἐν ἑκάστῳ ἅρματι ἡνιόχου καὶ παραβάτου ὄντος, ὥστε ἑκατὸν μὲν εἶναι τὰ ἅρματα, ἵππους δὲ διακοσίους καὶ ἀνθρώπους διακοσίους, καὶ ἅρματα μὲν τὰ πάντα μύρια, ἵππους δὲ δισμυρίους· ἐκείνων γὰρ ἅρματα μέν εἰσι ς', ἵπποι δὲ τετρακισμύριοι, ἡνίοχοι δὲ δισμύριοι σύμπαντες. ἑκατέρων δὲ ἡ δύναμις μεγάλη φαίνεται, ἢ τετρακισμυρίων ἵππων τρεφομένων ἢ καὶ δισμυρίων. ἦν δὲ τὸ παλαιὸν Αἰγύπτου βασίλεια καὶ πολλοὺς εἰς αὐτὴν ἀνῆγον φόρους Αἰγύπτιοι Λίβυες Αἰθίοπες καὶ ἄλλα ἔθνη. νῦν δὲ Διόσπολις καλοῦνται αἱ τὸ παλαιὸν Θῆβαι, καί φασι δείκνυσθαι περὶ τὴν Διόσπολιν πολλῶν πυλῶν ἴχνη. ὡς δὲ Κάστωρ ἱστορεῖ, ἡ Διόσπολις ἡ μεγάλη πρὸ τοῦ ὑπὸ Περσῶν ἀφανισθῆναι κώμας μὲν εἶχε τρισμυρίας ,γλ', ἀνθρώπων δὲ μυριάδας ψ', ἑκατὸν δὲ πύλαις διεκοσμεῖτο. ταύτην ἐτείχισε βασιλεὺς Ὄσιρις. τινὲς δέ φασι τῶν ἱερέων, ὅτι ρ' εἶχε πύλας, ἐξ ἑκάστης δὲ ὁπλῖται μύριοι, ψ' δὲ ἵπποι ἐξεστράτευον. Θῆβαι δὲ ὀνομάζονται ὑπὸ Ἑλλήνων ἀπὸ Θήβης τῆς Νείλου θυγατρός· οἱ δὲ Ἐπάφου εἶπον αὐτήν, οἱ δὲ Πρωτέως τοῦ Ποσειδῶνος, οἱ δὲ Λίβυος τοῦ Ἠπείρου.

404. ad Ξ 200.

410. ad Z 488, p. 106.

---

1 οὐ γὰρ L 2 sqq. in numeris verbis aut signis exprimendis cod. B secutus sum, L in ea re non ubique congruit 5 ἁρματοτροφούντων coni. Kamm., p. 61 6 post ἅρμασιν quinque fere litt. eras. B 7 ὥστε τὸ L 9 ἔζονται L διακόσια conieci; διακόσιοι B, c L, Kamm. c' ὄντων (sc. ἁρμάτων) υ' ἵπποι 10 ἵπποι codd., mutavi e coni. 11 ὡς pro ὥστε L 12 δὲ om. L 13 μυρία B 14 nisi nonnulla interciderunt, pro c' scribendum ,κ 16 βασίλειον L 18 Διόσπολις corr. e Διὸς πόλις B 19 παρὰ τὴν Δ. L Κάστωρ Wyttenb. ap. Dindorf.; Κάτων codd. 23 χίλιοι δὲ ἵπποι L 24 ὠνομάζοντο L

βασίλεια τῆς Αἰγύπτου, εἰς ἃ πολλοὺς ἔφερον φόρους Λίβυες Αἰγύπτιοι Αἰθίοπες· νῦν δὲ Διόσπολις ὀνομάζεται. εἶχε δὲ κώμας μὲν τρισμυρίας ,γλ' ⟨ϛλ' Lp⟩, ἀρούρας δὲ ,γψ' καὶ πύλας ρ', ἀνδρῶν δὲ μυριάδας ψ' ⟨ἀνδρ. — ψ' om. Lp⟩. ταύτην ἐτείχισεν ὁ βασιλεὺς Ὄσιρις. ἐξ ἑκάστης δὲ πύλης ἐστράτευον ὁπλῖται μὲν μύριοι, ἱππῆς δὲ χίλιοι, ἁρματηλάται δὲ διακόσιοι. Θήβη δὲ ὠνόμαστο ὑπὸ Ἑλλήνων, ὑπὸ δὲ Περσῶν ὕστερον ἐπορθήθη. Cf. Horn. v. 383, Eust. p. 758, 7 sqq.

443. . . . . εἰ ὑπὸ Φοίνικος οὖν πεπαίδευται, τί παρὰ Χείρωνος ἐδιδάχθη; δῆλον ὅτι πολεμικὴν καὶ ἰατρικήν. B f. 123ᵇ ad πρηκτῆρα. Lp f. 163ᵃ c. l. ὥς ἂν ἔπειτα.

447. v. infra ad lin. 12 sqq.

453 sqq. ἀπρεπὲς τοιαῦτα περὶ αὐτοῦ διεξιέναι πρὸς μηδὲν ἀναγ-
5 καῖον. οἱ μὲν οὖν ἀπὸ τῆς λέξεως λύουσιν, ὅτι προμιγῆναι οὐδεμίαν ἔχει ἀτοπίαν, οἱ δὲ ἀπὸ τοῦ καιροῦ, ὅτι τὰς παλλακίδας διαβάλλει πρὸς τὸν Ἀχιλλέα ἕνεκα τῆς Βρισηίδος χαλεπαίνοντα. *B f. 123ᵇ ad παλλακίδι προμιγῆναι. L f. 195ᵃ, Π.

διὰ τί ὁ Πηλεὺς τὸν Φοίνικα τοιαῦτα ἡμαρτηκότα, ὥστε τῇ παλ-
λακίδι τοῦ πατρὸς συγγενέσθαι καὶ τῷ πατρὶ ἐπιβουλεῦσαι, ὅμως διδά-
10 σκαλον τῷ υἱῷ συνέπεμψεν; ἢ ὅτι ὥσπερ ἰατροὶ ἄριστοι ἐγγίνονται οὐχ οἱ μὴ ἠρρωστηκότες οὐδὲ ἠρρωστηκότες μὲν μὴ εἰδότες δὲ τὰ ἁμαρτήματα καὶ τὰς αἰτίας, ἀλλ' οἱ ἄμφω ἔχοντες, οὕτω καὶ σύμβουλοι ἄριστοι οὐχ οἱ ἄπειροι τῶν ἁμαρτημάτων, ἀλλ' οἱ ἔμπειροι, οὐδὲ οἱ ἐν ἐμπειρίᾳ μὲν γενόμενοι μὴ οἰόμενοι δὲ ἡμαρτηκέναι. ὃ παρῆν τῷ Φοίνικι·
15 καὶ γὰρ ἥμαρτε καὶ ἁμαρτὼν ἔγνω ὅτι ἥμαρτε, καὶ προσεπιγνοὺς ὅτι ἥμαρτεν ἑαυτὸν τετιμώρηκε διὰ τῆς ἑκουσίου φυγῆς. ὁ τοιοῦτος ἂν εἴη ἄριστος ἰατρὸς τῶν παιδείας δεομένων. *B f. 124ᵃ ad ὁ δέ με πρόφρων v. 480. L f. 194ᵃ, Π.

ἡ δὲ μνήμη τῆς περὶ τὴν παλλακὴν ἁμαρτίας πρὸς τὸν Ἀχιλλέα οὐκ ἄκαιρος διὰ παλλακίδος αἰτίαν ἐξαμαρτάνοντα πρὸς τοὺς Ἕλληνας,
20 καὶ παράδειγμα φέροντος πρὸς τὸν Ἀχιλλέα πατρικῆς πράξεως· ὡς γὰρ ὁ Πηλεὺς τὸν εἰς παλλακὴν πλημμελήσαντα καὶ πρὸς πατέρα ὁμολογήσαντα τὸ ἀδίκημα καὶ ἱκετεύσαντα καὶ διὰ φυγῆς ἐξιλασκόμενον τὴν τοῦ πατρὸς μῆνιν οὐ παρῃτήσατο δέξασθαι, οὕτω τὸν ἱκετεύσαντα Ἀγαμέμνονα ἀνθ' ὧν εἰς τὴν παλλακίδα πλημμελεῖν ἐδόκει μὴ ἄτοπον εἶναι προσήσε-
25 σθαι, μήτ' οὖν τῷ Ἀχιλλεῖ, μήτε τῷ Φοίνικι ὑπὲρ αὐτοῦ πρεσβεύειν.

ὡς πρὸς ὁμόνοιαν γονέων τὸ τοιοῦτον ἐποίησε· φησὶ γοῦν ἡ δ' αἰὲν ἐμὲ λισσέσκετο (v. 451). καὶ πάλιν τῆς διχοστασίας αὐτῶν κρείττῃ πιθόμην v. 453. †B f. 124ᵃ ad

---

4 αὐτοῦ Vill.; codd. αὐτοῦ 5 ὅτι πρὸ τοῦ μιγῆναι οὐδεμίαν ἔχει ἀπόπειραν L 14 ὅπερ ἦν codd.; corr. Bkk. 16 διὰ τῆς ἀκουσίου φ. L 19 παλακίδος L 20 φέρον, suprascrpt. τ, B 21 καὶ om. L 24 παλακίδα L 25 προσήσεσθαι Bkk.; προήσεσθαι B, ποιήσεσθαι μήτ' ἐν τῷ Ἀχ. κτλ. L 27 διστασίας L

---

1. 2 Ariston. *I* 489: . . . . *καὶ ὅτι οὐχ ὑπὸ Χείρωνος ἐτράφη ὁ Ἀχιλλεὺς ἀλλὰ τὴν ἰατρικὴν μόνην ἐπαιδεύθη.* Cf. Lehrs, Ar. p. 190.

4 sqq. Cf. B f. 123ᵇ ad *παλλακίδος* v. 449 (id. Lp f. 163ᵇ; simil. Horn. v. 449), quae num ad Porphyrium referenda sint ambigimus. Nam vel schol. A v. 553 docet, non solum Porphyrium de rebus Phoenicis a nonnullis poëtae crimini datis egisse.

12 sqq. †B f. 123ᵇ ad *πρῶτον* v. 447 (id. Lp f. 163ᵇ c. l. *ὅς μοι παλλακίδος*): . . . . . *ἀκριβὴς δὲ διδασκαλία ἡ πεῖρα· διὸ καὶ τοσαῦτα ἡμαρτηκότι τῷ Φοίνικι καὶ ἐν προσκρούσει τοῦ πατρὸς γεγονότι τὸν υἱὸν ἐπιτρέπει ὁ Πηλεύς· ἑώρα γὰρ αὐτὸν αἰσθόμενον τῆς ἁμαρτίας δι' ὧν ἑαυτοῦ τὴν ἑκούσιον ἐπήγαγε φυγήν.* Cf. infra p. 140, 9.

26 sqq. Scholium etsi habet quae aliunde illata videri possint, tamen et propter vestigia quaestionis servata et propter *φησὶ* illud (lin. 10) ad Porphy-

L f. 179ᵃ c. l. τῇ πειθόμην καὶ ἔρεξα. Lp f. 163ᵇ c. l. τῇ πιθόμην. Cf. Horn. v. 453.

τονα τὴν φυγὴν ἡγήσατο. ἐν ἤθει δὲ δεῖ τὸν στίχον ἀναγινώσκειν ὡς μετανοοῦντος αὐτοῦ· διὸ καὶ ἐμπεπίστευται Ἀχιλλέα· ὁ γάρ τι πταίσας πάντως καὶ φυλάττεται, καὶ Σοφοκλῆς (fr. 750 D.)· ὃς μὴ πέπονθε τὰμά, μὴ βουλευέτω. οἱ δὲ εὖ πρὸς γονεῖς ἔχοντες ἐπ' ἴσης μὲν αὐτοὺς ἀγαπῶσιν, ἐπαμύνουσι δὲ τῷ καταπονουμένῳ. ἢ τάχα βούλεται λέγειν, ὅτι οὐ πάντα πειστέον μητρί — Θέτις γοῦν ἔλεγεν· ἀλλὰ σὺ μὲν νῦν νηυσὶ παρήμενος ὠκυπόροισι μήνι' Ἀχαιοῖσιν (A 421) —, ἀλλὰ μᾶλλον πατρὶ τῷ λέγοντι· φιλοφροσύνη γὰρ ἀμείνων (I 256). ἀγαθοὶ δὲ διδάσκαλοι οἱ ἐν παθημάτων πείρᾳ γενόμενοι· καὶ Χείρωνα γάρ φησι τρωθέντα τὴν χεῖρα τὴν περὶ βοτανῶν ἐπιτηδεῦσαι ἰατρικήν, τὴν δὲ περὶ τὰς διαίτας τὸν Σηλυβριανὸν Ἡρόδικον, ὃς ἐμπεσὼν διὰ τοὺς πόνους εἰς φθόην ἐπιπόνως τὴν τέχνην ταύτην ἐμελέτησεν.

B f. 124ᵃ ad Ζεύς τε. L f. 195ᵃ. Lp f. 163ᵇ c. l. Ζεύς τε καταχθόνιος.

457. πῶς ὁ μὲν εὔχεται τοῖς Ἐρινύσι ⟨ἐριννύσι Lp⟩, τὰς δὲ εὐχὰς αὐτῷ ἐκτελεῖ Ἅιδης καὶ Περσεφόνη; ῥητέον οὖν ⟨om. BLp⟩, ὅτι αὐτοκράτορες τῶν τιμωριῶν ὄντες τὴν τοῦ κολάζειν ἐξουσίαν τοῖς ἄλλοις δαίμοσι παρέχονται.

*B f. 124ᵃ ad εὐόμενοι τανύοντο. L f. 194ᵇ, II.

468. δῆλον ⟨δηλοῖ L⟩ ὅτι οἱ σύες θαλέθοντες ἀλοιφῇ καὶ πιμελεῖς ὄντες εὐόμενοι τῇ φλογὶ καὶ ὀπτώμενοι τανύονται ⟨τάνυνται L⟩, ὃ σημαίνει τὸ ἐκτήκοντο ⟨ἐτήκοντο L⟩, ἀπὸ τοῦ τετανοὺς ⟨τετάνους B⟩ γίνεσθαι τοὺς ἰσχναινομένους.

473. ad Ε 137 in fine operis edendum.

480. v. 453 sqq.

A. L f. 196ᵇ.

497. .... ἐναντίον δέ ἐστι τὸ στρεπτοὶ δὲ καὶ θεοὶ αὐτοί τῷ οὐ γὰρ αἶψα θεῶν τρέπεται νόος (γ 147). λύοιτο δ' ἂν προσώπῳ, ὅτι τὸ μὲν αἶψα θεῶν οὐ τρέπεται νόος ὁ ποιητής φησιν, ἐκεῖνο δὲ ὁ Φοῖνιξ λέγει ἐν καιρῷ ὀργιζομένου Ἀχιλλέως εἰκότως, καὶ τοὺς θεοὺς πείθεσθαι.

B f. 126ᵃ ad ἱεροφοῖτις. Cf. Horn. v. 567.

571. .... πῶς δὲ Ἅιδην ἐπικαλεῖται, ἡ δὲ Ἐρινὺς ἔρχεται; δῆλον ὡς ὑπηρέτις.

---

1 ὡς καὶ μετ. Lp 2 Ἀχιλλέως L 4 βουλεύηται codd.; corr. Vill. 6 ὅτι om. Lp πιστωτέον Lp Θέτις οὖν ἔλ. Lp 7 νῦν om. Lp 10 φησι LLp, φασι Horn. et Eust. (p. 763, 17); de B non omni ex parte certum est (potest esse φασί) 11 τὸν δὲ περὶ τὰς δ. L σηλιβριανὸν L 12 φθίην Lp 24 A (c. l. στρεπτοί) praemittit: εὐμετάστρεπτοι, εὐμετάβλητοι, εὔπειστοι, L ita incipit: στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοί· τουτέστιν εὐμετάστρεπτοι, εὔληπτοι, εὔπιστοι. ἐναντίον οὖν ἐστι τὸ στρεπτ. δὲ καὶ αὐτοὶ θεοί 26 τὸ μὲν οὐ γὰρ αἶψα θ. τρ. ν. L

---

rium referendum videtur. — In usum suum convertit Eust., p. 763, 12 (unde Paris. ap. Cramer., A. P. III, p. 238, 18).

9 sqq. Cf. supr. p. 139, 12.

11 Porph. Λ 515: ..... *τοῦ γὰρ διαιτητικοῦ Ἡρόδικος μὲν ἤρξατο.* Cf. Plat. rep. III, p. 406 A.

14—17 Cf. Horn. h. v. et infra schol. v. 571.

24—28 meliora schol. γ 147.

29, 30 Cf. Ariston. v. 569. 71, et supra schol. v. 457.

591. καὶ πῶς οὐκ ἄτοπον μόνῃ γυναικὶ πείθεσθαι; ἢ ὅτι ὁ καιρὸς ἦν ὁ πείθων, οὐχ ὁ ἔρως. ὅτι γὰρ οὐ γυναικοκρατεῖται δῆλον· οὐ γὰρ ἐρωτικοῖς αὐτὴ ἐχρήσατο ῥήμασιν, ἀλλὰ πεφθέντος τοῦ θυμοῦ, τότε παρακαλεῖ. B f. 126ᵇ ad λίσσετ' v. 587. L f. 199ᵃ. A v. 586.

5 ἀπρεπὲς δοκεῖ τὸ μὴ ὑπό τινος ἄλλου πεισθῆναι τὸν Μελέαγρον, ἀλλὰ μόνης τῆς γυναικός. λύει δ' ὁ καιρός· ἀλλ' ὅτε δὴ θάλαμος πύκ' ἐβάλλετο (v. 588). L f. 199ᵃ. Cf. Phil. XVIII, p. 350, *Π*.

617. διὰ τί τὸν Φοίνικα οὐκ ἀπολύει ὁ Ἀχιλλεύς; ῥητέον οὖν ὅτι γνοὺς παρακεκλῆσθαι αὐτὸν ὑπὸ Ἀγαμέμνονος τῇ πρεσβείᾳ ἐφοβήθη, 10 μὴ μετὰ μείζονος δεήσεως πάλιν ἐκπεμφθῇ, καὶ δὶς ἀτιμάζειν ἀνάγκην ἕξει. οἱ δὲ ὡς ὡμολογημένον αὐτὸ λαμβάνουσιν, ὅτι ὡς τροφέα αὐτὸν κατέχει. *B f. 127ᵃ ad αὐτόθι λέξεο. L f. 200ᵇ. A c. l. οὗτοι δ' ἀγγελέουσι.

656. ἀπορία. ζητεῖται διὰ τί μετὰ τὴν πρὸς Αἴαντα Ἀχιλλέως ἀπόκρισιν Ὀδυσσεὺς οὐ λέγει. ῥητέον οὖν ὅτι ἐπεὶ αὐτῷ σκληρῶς ἀπ- 15 εκρίνατο. λεκτέον δὲ καὶ πρὸς τοὺς ζητοῦντας, τίνος ἕνεκεν ἄλλοι τινὲς οὐκ ἐπρέσβευσαν, ἀλλ' οὗτοι, ὅτι κρείττονες ἐδόκουν. A v. 688. L f. 202ᵇ. Cf. Cramer. A. P. III, p. 173, 21.

682. ἐν τῷ μουσείῳ τῷ κατὰ Ἀλεξάνδρειαν νόμος ἦν προβάλλεσθαι ζητήματα καὶ τὰς γινομένας λύσεις ἀναγράφεσθαι. προεβλήθη οὖν, πῶς τοῦ Ἀχιλλέως τοῖς πρὸς αὐτὸν ἐλθοῦσι πρέσβεσι ταύτην δεδωκότος 20 ἀπόφασιν· *B f. 121ᵇ ad νῦν δ' ἐπεὶ οὐκ ἐθέλω v. 356. L f. 192ᵃ, *II*

οὐ γὰρ πρὶν πολέμοιο μεδήσομαι αἱματόεντος,
πρίν γ' υἱὸν Πριάμοιο δαΐφρονος, Ἕκτορα δῖον,
Μυρμιδόνων ἐπί τε κλισίας καὶ νῆας ἱκέσθαι.
ἀμφὶ δέ τοι τῇ 'μῇ κλισίῃ καὶ νηῒ μελαίνῃ
25 Ἕκτορα καὶ μεμαῶτα μάχης σχήσεσθαι ὀΐω

(v. 650—52. 54. 55), Ὀδυσσεὺς ἐρωτώμενος τὰ περὶ τῆς πρεσβείας τοῦτο μὲν οὔ φησιν, ἀλλὰ τὸ

αὐτὸς δ' ἠπείλησεν ἅμ' ἠοῖ φαινομένῃφι
νῆας ἐυσσέλμους ἅλαδ' ἑλκέμεν ἀμφιελίσσας (v. 682.83)·

30 παραπρεσβείας γὰρ εἶναι τὸ μὴ τάληθῆ ἀπαγγέλλειν. πρὸς τοῦτο ὁ λύων ἔφασκε, ταληθῆ μὲν ἐπαγγεῖλαι τὸν Ὀδυσσέα, οὐχ ἃ πρὸς ἄλλους εἴρηκεν εἰπόντα, ἀλλ' ἃ πρὸς αὐτὸν καὶ ἃ ἤκουσε παρ' Ἀχιλλέως. ἦν δὲ πρὸς αὐτὸν ῥηθέντα

---

1 γυν. μόνῃ A 2 οὐχ ὁ ὄνειρος A 3 αὐτὴ om. A, id. καὶ pro ἀλλὰ πε.φθέντος (una litt. eras.) B, παφθέντος L 6 θάλαμον L 8 ῥητέον οὖν om. A L 10 ἀνάγκη L 11 ὁμολογούμενον A 13 Ζητεῖται δὲ διὰ τί L 14 σκληρῶς αὐτῷ L 16 ὅτι — ἐδόκουν om. L, ὅτι καὶ αὐτοὶ ἐδόκουν A; correxi e Par. 17 τῷ κατὰ τὴν Ἀλ. L 18 καὶ τὰς λύσεις τὰς γιν. L 24 τῇ μῇ B (text. τῆι μῆι) 27. 28 ἀλλὰ τὸ δ' αὐτὸς δ' ἠπ. L 28 φαινομένη φῇ' L 29 ἐυσέλμους L 30 παραπρεσβείαν L ἀληθῆ L 31 πρὸς ἀλλήλους L 32 ἀλλὰ πρὸς B

1—4 Id. Lp f. 166ᵇ c. l. λίσσετ' ὀδυρομένη (v. 587). Cf. Horn. v. 586.

νῦν δ' ἐπεὶ οὐκ ἐθέλω πολεμίζειν Ἕκτορι δίῳ,
αὔριον ἱρὰ Διὶ ῥέξας καὶ πᾶσι θεοῖσι,
νηήσας εὖ νῆας, ἐπὴν ἅλαδε προερύσσω,
ὄψεαι, ἢν ἐθέλῃσθα καὶ αἴ κέν τοι τὰ μεμήλῃ,
ἠρι μάλ' Ἑλλήσποντον ἐπ' ἰχθυόεντα πλεούσας
νῆας ἐμάς, ἐν δ' ἄνδρας ἐρεσσέμεναι μεμαῶτας (v. 356—361).

ὅταν μὲν οὖν εἴπῃ ὁ μὲν αὔριον πορεύεσθαι, ὁ δ' Ὀδυσσεὺς ἅμ' ἠοῖ φαινομένῃφι, τάληθὲς ἂν εἴη ἀπηγγελκώς. οὐ μέντοι ἁπλῶς ἔφη, ὅτι ταῦτα εἴρηκεν Ἀχιλλεύς, ἀλλ' ὅτι ἠπείλησεν, ἀπειλὴν τὸ πρᾶγμα καὶ οὐκ ἔργον ἀποφαίνων δι' ἃ ἤκουσε πρὸς τοὺς ἄλλους ὑπ' αὐτοῦ λεγόμενα, ὧν πρὸς μὲν τὸν Φοίνικα·

φρασσόμεθ' ἤ κε νεώμεθ' ἐφ' ἡμέτερ' ἤ κε μένωμεν (v. 619),

πρὸς δὲ τὸν Αἴαντα, πρίν γ' υἱὸν Πριάμοιο ἐλθεῖν ἐπὶ τὴν σκηνήν, οὐ πρότερον ἐξίεσθαι εἰς τὸν πόλεμον (v. 650). τί οὖν ἔδει τὰ πρὸς τοὺς ἄλλους λέγειν, ἀλλ' οὐχὶ μόνον ἐπικρίνειν τὰ πρὸς αὐτὸν ῥηθέντα; ἀπειλαὶ δὲ ἦσαν ἐξ ὧν πρὸς τοὺς ἄλλους μετὰ ταῦτα ἔφη. εἰ δ' αὔτως καὶ τὰ πρὸς Αἴαντα φθάσας εἶπε ῥηθέντα, ὕβρις ἂν ἦν τοῦ Αἴαντος, μὴ δυναμένου λέγειν ἃ ἀκήκοε· διὸ ἐπήγαγεν· εἰσὶ καὶ οἵδε ἀπαγγέλλειν οἷοί τε τὰ ῥηθέντα πρὸς αὐτούς.

B f. 128ᵇ ad εὐσέλμους v. 679. L f. 202ᵃ. Lp f. 168ᵇ c. l. νῆας εὐσέλμους. Cf. Horn. v. 678.

καὶ μὴν Φοίνικι μὲν ἔλεγε φρασσόμεθ' ἤ κε νεώμεθα (v. 619), Αἴαντι δὲ οὐ γὰρ πρὶν πολέμοιο μεδήσομαι (v. 650). ἀλλ' ἴσως Ὀδυσσεὺς τὰ πρὸς ἑαυτὸν μόνον ῥηθέντα ἀγγέλλει, ἀνακόπτει δὲ τὰ Αἴαντος εἰπὼν εἰσὶ καὶ οἵδε (v. 688), ὅπως μὴ αἰσχύνοιτο Αἴαντος πλέον κατορθώσαντος. ἢ ἵνα ἐκκόψῃ αὐτῶν τὴν ἐλπίδα καὶ εὐψύχως πολεμήσωσιν, ὅθεν καὶ παραινεῖ ὁ Διομήδης καρπαλίμως πρὸ νεῶν ἐχέμεν λαόν τε καὶ ἵππους (v. 708). ὅπερ ἀγνοήσαντές τινες ὠβέλισαν τὰ ἔπη.

688. v. 656.

5 ἑλήσποντον L 8 ὁ μὲν ante εἴπῃ L 9 ἀπαγγελκώς L 11 τοὺς ἄλλους ὑπ' om. L 12 ὡς πρὸς ? 13 εἴ κεν νεώμεθ' ἐφ' ἡμέτερα κτλ. L 15 ἐξιέσθαι (B, ἐξίεσθαι L) τοῦ πολέμου BL; εἰς τὸν πόλεμον Vill.; ἔξεσθαι τοῦ πολέμου Cobet ap. Dind. 17 αὔτως L 21 φρασόμεθα, ω suprascrpt., Lp (accentus alio atramento additus) ἤ κεν νεώμεθα Lp 24. 25 εἰπὼν — κατορθώσαντος om. Lp

25 Cf. A v. 680: *ὅτι ἀποτομώτατον τὸ τῆς ἀφόδου, ὅπερ ἐν πρώτοις εἶπεν ἀπαγγέλλει, τὸ δὲ τελευταῖον, ὅτι ἐὰν συνελασθῶσιν ἕως τῶν αὐτοῦ νεῶν συμμαχήσει, παραλείλοιπεν, ἵνα μὴ ἀμελῶσι τοῦ βοηθεῖν.*

27. 28 v. 688—92 ab Aristarcho obelo notatos fuisse ex Aristarcho constat; idem de iis qui antecedunt non innotuit.

K

6. Πολὺν ὄμβρον ἀθέσφατον. glossa suprascripta: ἐκ παραλ- Lp f. 169ᵃ.
λήλου τὸ αὐτὸ κατὰ Πορφύριον.

11. ἀδύνατον, φαcὶν, ἐν τῇ cκηνῇ ὄντα κατιδεῖν εἰc τὸ πεδίον. *B f. 129ᵇ ad
ῥητέον οὖν ὅτι ἰδεῖν καὶ ἀθρῆcαι λέγομεν καὶ τὸ τῇ διανοίᾳ cκέψαcθαι. πεδίον.
5 ἐγχωρεῖ δὲ καὶ οὕτωc ἔχειν τὴν cκηνὴν, ὡc δύναcθαι ἀπιδεῖν· ἔθοc γὰρ
τοῖc βαcιλεῦcι τοιαῦτα κατακευάζειν, ἀφ' ὧν περιόψονται.

· ἢ ὅτι ἐφ' ὕψουc ἡ cκηνὴ ἡ βαcιλική, ἢ ὅτι οἱ Τρῶεc ⟨om. οἱ B f. 129ᵇ ad
Τρ. Lp⟩ ἐπὶ θρωcμῷ πεδίοιο (v. 160). ἔνιοι δὲ τὸ ἀθρήcειεν ἐc πεδίον.
ἐπὶ τοῦ νοῦ ἀκούουcιν, ἀλλὰ προcέθηκεν ἂν τὸ ⟨ταῖc Lp⟩ φρεcίν, ὡc Lp f. 169ᵇ c. l.
10 τὸ ὄφρα ἴδωμαι ⟨αι e corr. Lp⟩ ἐνὶ φρεcίν (Φ 61). ἤτοι ὅτ' ἐc πεδίον.

47 sqq. εἰ δέ τιc λέγει τὸν Ἕκτορα διὰ ταῦτα ὑπερτίθεcθαι καὶ Eust. K, p.
αὐτοῦ τοῦ Ἀχιλλέωc, ἔcτω ὅτι λύει τὸ ἄπορον ὁ βαcιλεύc, προcθεὶc τὸ 788, 50.
αὕτωc, ἤτοι οὕτωc ἁπλῶc, οὔτε θεᾶc, φηcὶν, υἱὸc φίλοc οὔτε
θεοῖο. Ἀχιλλεὺc μὲν γὰρ καὶ τοιαῦτα καὶ μείζω δράcαc οὐκ ἂν ἐκ-
15 πλήξοι τινά (ἐκ θεᾶc γάρ), ὁ Ἕκτωρ δὲ ἁπλῶc ἀνήρ.

67 sqq. φθέγγεο δ' ἤ κεν ἴηcθα καὶ ἐγρήγορθαι ἄνωχθι, *B f. 130ᵇ ad
πατρόθεν ἐκ γενεῆc ὀνομάζων ἄνδρα ἕκαcτον πάνταc κυδαί- φθέγγεο δ'
νων, μηδὲ μεγαλίζεο θυμῷ. ταῦτα cημειωτέον ὡc ἐπιτήδεια εἰc ἢ ⟨ι eras.⟩
αἰτίαc ἀπόδοcιν, δι' ἣν εἰώθαcιν οὕτω πρὸc ἀλλήλουc διαλέγεcθαι οἱ κεν.
20 ἥρωεc· διογενὲc Λαερτιάδη πολυμήχαν' Ὀδυccεῦ· εἶναι γὰρ φιλο-

---

1. 2 Cf. Eust. *K*, p. 786, 16: *τὸ δὲ πολὺν ὄμβρον ἀθέσφατον ἐκ παραλλήλου ταὐτὰ νοεῖ, ὡς καὶ ἐν τοῖς ἑξῆς τὸ δηθά τε καὶ δολιχόν* (v. 53) *καὶ τὸ ἐπιτέλλεαι ἠδὲ κελεύεις* (v. 61). — Nicanorem aliter statuisse schol. A docet.

3 sqq. †A c. l. *θαύμαζεν πυρὰ πολλά* (id. L f. 204ᵃ c. eod. lemm.): *πῶς, φησίν, Ἀγαμέμνων ⟨ὁ Ἀγ. L⟩ ἐντὸς τοῦ τείχους ὑπάρχων ἐθαύμαζε τὰ πυρά ⟨τὰς πυρὰς L⟩, τὴν ἀρχὴν μὴ βλέπων αὐτὰ ⟨αὐτὰς L⟩ διὰ τοῦ τείχους; καὶ ῥητέον ὅτι ὡς βασιλεὺς ὑψηλοτάτην ⟨ὑψηλὴν L⟩ εἶχε σκηνήν, ἵν' εὐχερῶς θεωρεῖν δύναται πάντα ⟨ἵν' εὐχ. δύνηται πάντα θ. L⟩.*

11—15 Quaestionem, quae in cod. Lp f. 170 eadem fere qua apud Eust. ratione, sed in nonnullis (quae ibi bis leguntur) paullo oscitantius, tradita est, ad Porphyrium referendam esse, e schol. secundi ordinis statim afferendo sequitur. Ex iis quae in schol. ad v. 167 adscripto extr. leguntur: *οὕτως οὔτε θεᾶς υἱὸς φίλος οὔτε θεοῖο· ὡσαύτως οὔτε θεᾶς υἱὸς ἔρεξεν οὔτε θεοῖο*, concludas nostrum locum olim cum illo cohaesisse; sed incertior coniectura est quam ut utrumque coniunctum edi velim.

13 †Lp f. 170 (c. l. *οὔτε θεᾶς υἱός*): ... *κατὰ Πορφύριον δεῖ λαμβάνειν ἁπλοϊκῶς· οὐ γὰρ πρὸς Ἀχιλλέα ἡ σύγκρισις. εἰ δέ τις τοσαῦτα εἴποι τὸν βασιλέα ὑπερτίθεσθαι οὕτω λέγοντα καὶ αὐτοῦ Ἀχιλλέως τὸν Ἕκτορα κτλ.* (quae sequuntur iis fere respondent quae supra ex Eust. edidimus).

†B f. 130ᵇ ad *ὅσα* v. 49: *ἁπλοϊκῶς δεῖ λαμβάνειν· οὐ γὰρ πρὸς Ἀχιλλέα ἡ σύγκρισις.*

20 sqq. †B f. 130ᵇ ad *πατρόθεν* v. 68 (id. Lp f. 170 c. l. *πατρόθεν ἐκ γενεῆς*): *ὡς ὅταν λέγῃ διογενὲς Λαερτιάδη· τὸν πατέρα γὰρ δηλοῖ, τὸ δὲ διογενὲς τὸν ἀρχηγὸν τοῦ γένους* (add. nonnulla Lp). Id. Eust. p. 790, 24.

φρονουμένων τὸν τοιοῦτον τρόπον τῆς προσαγορεύσεως. τὸ μὲν οὖν πατρόθεν ὀνομάζειν ἐστὶν ἐν τῷ Λαερτιάδη, τὸ δὲ ἐκ γενεῆς, τὸ ἐκ γενάρχου, οἷον τὸ διογενές· ἐκ γὰρ τοῦ Διὸς τοῦ ἀρχηγέτου τοῦ γένους εἴληπται τὸ διογενές. τὸ δὲ οὕτως ὀνομάζειν κυδαίνοντός ἐστι τοὺς καλουμένους. τί οὖν τὸ μηδὲ μεγαλίζεο θυμῷ; οὐ γὰρ, ὥσπερ οἱ γραμματικοί, τὸ μὴ μέγα ἡγοῦ τὸ τοιοῦτον καὶ τὸ οὕτω προσφωνεῖν, ἀλλὰ σημαίνει· μὴ μεγάλυνε σεαυτοῦ τὴν ψυχήν, ἐξ οὗ σημαίνεται· μὴ ὑπερόπτης γίνου μηδ' ἀνάξιον σαυτοῦ τὸ ἄλλον κυδαίνειν ἡγοῦ. ταὐτὸν γὰρ τοῦτο καὶ ἐν ἄλλοις ἔφη· σὺ δὲ μεγαλήτορα θυμὸν ἴσχειν ἐν στήθεσσιν (I 255)· ὅμοιον γὰρ τῷ μὴ μεγαλίζεο θυμῷ τὸ ἴσχειν ἐν στήθεσι θυμὸν μεγαλήτορα, ᾧ ἐπάγει φιλοφροσύνη γὰρ ἀμείνων· ταὐτὸν οὖν τῷ πάντας κυδαίνων. καὶ ἡ Πηνελόπη δὲ λέγει οὐ γάρ τι μεγαλίζομαι οὐδ' ἀθερίζω (ψ 174), οὐχ ὑπερηφανῶ ὥς τις μεγάλη, οὐδέ σ' ὡς μικρὸν καὶ ἀνάξιον ἀτιμάζω· ἀθερίζειν γὰρ, ἀπὸ τῶν ἀποκρινομένων ἀθέρων, τὸ ἀτιμάζοντα ἀποκρίνειν ὡς τοῦ μηδενὸς ἄξιον, ὡς ἀθέρας ἀπὸ τοῦ καρποῦ ἀποκρίνοντα· καὶ οὔ ποτέ μ' οἴ γ' ἀθέριζον (A 261), οὔ ποτέ με ἐν ἀθέρων μοίρᾳ εἶχον. ταὐτὸ δὲ τὸ ἀθερίζειν ἐστὶ τῷ ἀπόβλητόν τι ποιεῖσθαι· οὔ τοι ἀπόβλητον ἔπος ἔσσεται (B 361), ᾧ ἀντικείσεται τὸ ἄνδρας δὲ λίσσεσθαι ἐπιπροέηκεν ἀρίστους κρινάμενος κατὰ λαὸν Ἀχαϊκόν (I 520. 21), καὶ αἰσυμνῆται δ' ἔκκριτοι ἐννέα πάντες ἀνέσταν (θ 258). ἐξηγούμενος δὲ τὸ ἀθερίζειν ἔφη τῶν δ' ἄλλων οὔ πέρ τιν' ἀναίνομαι οὐδ' ἀθερίζω (θ 212). ἔστι δὲ τὸ ἀναίνομαι οὐχὶ ἐπαινῶ, διὸ ἴσον ἂν εἴη τῷ πάντας κυδαίνειν. καὶ τὸ οὐχ ἅλιον δὲ ἴσον τῷ οὐκ ἀθερίζειν, οὐκ ἀποβολῆς ἄξιον τῆς θαλάττης· τὸ μὲν γὰρ ἀθερίζειν ἀπὸ τῶν ἀποκρινομένων ἀθέρων, ὁ δὲ ἅλιος ἀπὸ τῶν εἰς ἅλα βαλλομένων, ὡς τὸ ἅλιον ἔπος ἔκβαλον ἥματι κείνῳ (C 324). τὸ μὲν οὖν μὴ μεγαλίζεσθαι θυμῷ σημαίνει τὸ μὴ ὑπερηφανεῖν δι' ὑπεροψίαν. αὐτό τε τὸ ὑπερηφανῆσαί φησι· σὺ δὲ τῷ μεγαλήτορι θυμῷ εἴξας ἄνδρα φέριστον, ὃν ἀθάνατοί περ ἔτισαν, ἠτίμησας (I 109. 10), ὃ ἔφη ἠθέρισας. καὶ πάλιν οἳ τὸ πάρος θυμῷ ἦρα φέροντες ἀφεστᾶσι (Ξ 131. 2), καταφρονοῦντες καὶ ὑπερηφανοῦντες, διὰ τὸ αὐτοῖς χωρίζεσθαι, ὥς που ἔφη ταῦθ' ὑπερηφανέοντες Ἐπειοὶ χαλκοχίτωνες ἡμέας ὑβρίζοντες ἀτάσθαλα μηχανόωνται (Λ 694. 95). οἱ μέντοι συνείκοντες καὶ τῆς ὑπεροψίας παυόμενοι· ὥς ὁ μὲν Αἰτωλοῖσιν ἀπήμυνεν κακὸν ἦμαρ, εἴξας ᾧ θυμῷ (I 597).

9 ἔχειν ἐν στήθεσι cod.; ἴσχεις ἐν στήθεσιν Vill., ἴσχειν ἐν στήθεσιν Bkk., ἐν στήθεσσι Dind. 20 ἐπεὶ προέηκεν ἀρίστους κρινάμενοι cod.; ἐπιπροέηκεν Bekk.; κρινάμενος Kamm. 23 ἔστι δὲ τὸ οὐχὶ ἀναίνομαι ἐπαινῶ coni. Kamm. 24 ἴσον cod. 26 τὸ δὲ ἅλιος coni. Kamm. 27 ἔκβαλλον cod.; corr. Bkk. 31. 32 ἦρα φρένες cod.; corr. Vill. 36 ἀπήμυνε cod.

36 Ab Aristarcho (A *I* 597; cf. Et. M. 297, 12) dissentire videtur.

98. v. 194 sqq.

149. δειλὸς, φαcὶν, οὗτος, ὅτι ἀcπίδα καὶ οὐ ⟨add. Bkk.; codd. om.⟩ δόρυ ἀναλαμβάνει. ἴcως δὲ cιωπωμένῃ τῇ ἀποκρίcει χρῆται πρὸς τὸν Νέcτορα εἰπόντα βουλεύcεcθαι πότερον φευκτέα ἢ μενετέα, ἐμφαίνων διὰ τῆς ἀcπίδος ὅτι μενετέα (v. 147). δόρυ μὲν γὰρ φέρουcι καὶ μὴ μαχόμενοι, ἀcπὶc δὲ μενόντων ἐcτὶ καὶ μαχομένων. B f. 132ᵇ ad cάκος. L f. 209ᵇ.

151. cχῆμα ἀμφιβολίας· ἄδηλον γὰρ εἴτε παράκειται αὐτοῦ τὰ ὅπλα ἢ ἐνδέδυται. Πορφύριος δέ φηcιν ὅτι οὐ φορεῖ· δειλίας γὰρ δεῖγμα τὸ τοιοῦτον. Lp f. 173ᵃ. Cf. Cramer., A. P. III, p. 83, 24.

οὐχ ὡπλιcμένος (δειλοῦ γάρ), ἀλλ' οἷον πληcίον ἔχων τὰ τεύχη. καλῶc δὲ οἱ ἑταῖροι τὴν μεθ' ἡμέραν τάξιν φυλάττουcι περιcτοιχοῦντεc τὸν βαcιλέα. cτρατηγικὸν δὲ καὶ τὸ αἰθριοκοιτεῖν. B f. 132ᵇ ad cὺν τεύχεcιν. Lp l. c.

153. φαύλη δοκεῖ εἶναι ἡ τῶν δοράτων ἐπὶ cαυρωτῆρας cτάcιc· καὶ δὴ πανταχοῦ θόρυβον ἤδη πεποίηκε νύκτωρ ἓν μόνον πεcόν. λύει δ' Ἀριcτοτέλης λέγων ὅτι τοιαῦτα ἀεὶ ποιεῖ Ὅμηροc οἷα ἦν τότε. ἦν δὲ τοιαῦτα τὰ παλαιὰ οἱάπερ καὶ νῦν ἐν τοῖc βαρβάροιc· πολλοὶ δὲ οὕτω χρῶνται τῶν βαρβάρων. *B f. 132ᵇ ad δρθ'. L f. 209ᵃ, Π.

167. scholium quod de τρόπῳ ἀπὸ κοινοῦ qui vocatur agit, quoniam casu ad h. v. adscriptum est neque habet quo aliqua cum veri specie referatur (cf. ad p. 143, 11—15), in fine operis nostri edendum erit.

194 sqq. ἠπόρηcεν Ἀριcτοτέλης, διὰ τί ἔξω τοῦ τείχουc ἐποίηcε τοὺc ἀριcτέαc βουλευομένουc ἐν νυκτηγορίᾳ, ἐξὸν ἐντὸc τοῦ τείχουc ἐν ἀcφαλεῖ. καί φηcι· πρῶτον μὲν οὖν οὐκ εἰκὸc ἦν ἀποκινδυνεύειν τοὺc Τρῶαc οὔτ' ἐπιτίθεcθαι νύκτωρ· οὐ γὰρ τῶν εὐτυχούντων ἦν ἀποκινδυνεύειν. ἔπειτα ἐν ἐρημίᾳ καὶ καθ' ἡcυχίαν βουλεύεcθαι περὶ τῶν τηλικούτων ἔθοc. ἄτοπον δ' ἂν ἦν εἰ ἠξίουν μὲν πορευθῆναί τινα *B f. 131ᵃ ad μὴ τοὶ μὲν v. 98. L f. 207ᵃ, Π.

7—9 schol. Lp quod primo loco posuimus in cod. alteri (lin. 10—12), quod cὺν τεύχεcιν in lemm. habet, praemisso ἄλλωc subiungitur 11—12 καλῶc — βαcιλέα Lp om. 13 cod. B margini ext. adscrpt. Ἀριcτοτελ. 14 πεποίηται L 16 δὲ om. L 22 cod. B marg. inter. adscrpt. Ἀριcτοτλ. 23 βουλομένουc L 26 παρὰ pro περὶ L 27 ἠξίου codd.; corr. Bkk. 27 sqq. πορευθῆναι τοὺc Τρῶάc τινac L

---

3 sqq. † Eust. *K*, p. 794 extr. (unde Paris. ap. Cramer., A. P. III, p. 83, 12). Quae ap. Eust. sequuntur (p. 792, 10): *οὕτω ποτὲ καὶ Ἐφεcίων cταcιαζόντων περὶ χρημάτων παρελθὼν εἰc τὴν ἐκκληcίαν Ἡράκλειτοc καὶ ἐπιπάcαc κύλικι ἅλφιτα ἐξέπιε τὸν κυκεῶνα, cιωπῶcαν παραίνεcιν ἐκθεὶc καὶ διδάξαc ὡc δεῖ ζηλοῦν τὴν αὐτάρκειαν. καὶ οὕτω μὲν οἱ τοιοῦτοι cοφοί* (cf. p. 794 extr.: *λύουcι δὲ τοῦτο πάνυ ἀcτείωc οἱ cοφοί*), haud scio an item ad Porphyr. referenda sint (cf. Vict. ap. Bkk. *K* 149).

11. 12 Cf. schol. A v. 151. 52; Eust. p. 795, 20.

15 Arist. poet. 25, p. 1461 *a* 1: *ἴcωc δὲ οὐ βέλτιον μὲν ἀλλ' οὕτωc εἶχεν, οἷον τὰ περὶ τῶν ὅπλων· ἔγχεα δέ cφιν ὄρθ' ἐπὶ cαυρωτῆροc· οὕτω γὰρ τότ' ἐνόμιζον, ὥcπερ καὶ νῦν Ἰλλυριοί.*

εἰς τοὺς Τρῶας, αὐτοὶ δὲ οὐδὲ μικρὸν προελθεῖν ἐτόλμων. ἔπειτα στρατηγῶν ἂν εἴη τὸ φυλάσσεσθαι τοὺς νυκτερινοὺς θορύβους, τὸ δ' ἐν τῷ στρατεύματι νυκτὸς συνιόντας βουλεύεσθαι, νεωτερισμοῦ ὑποψίαν παρασχόν, φόβον ἐνεποίει. ἅμα δὲ καὶ ἡ πρόθεσις ἦν τοὺς φύλακας θεάσασθαι, ἐν οἷς ἦν ἡ σωτηρία τῶν καθευδόντων. γενόμενοι δ' ἐν τούτοις τὰς βουλὰς, ὀλίγον πόρρω τούτων ἀποστάντες, ἐν ἡσυχίᾳ μὲν καὶ ἐν ἀπορρήτῳ ἐποιοῦντο, μὴ ἀναμεμιγμένοι τοῖς φύλαξιν, ἐν ἀσφαλεῖ δέ, πλησίον γὰρ τῶν φυλάκων. καὶ ἅμα ταχέως ἦν ἐπιτελέσαι τὰ δόξαντα. ὁ δὲ νεκύων χῶρος πλήρης μὲν τῶν κειμένων πτωμάτων, ὀλίγον δὲ καθαρὸν ἔχων νεκρῶν, ἔνθα καθέζονται, τοῦ περὶ τὴν τάφρον παντὸς χωρίου πλήρους ὄντος τῶν ἀνῃρημένων. ἀπολογούμενος δὲ διότι ἄταφοι ἦσαν, ἐπάγει ὅτι τῶν πολεμίων νυκτὸς γέγονεν ἡ ἀναχώρησις καὶ σχολὴν οὐκ ἐνέδωκεν ὁ καιρὸς εἰς ταφήν, νυκτὸς μὲν καταλαβούσης, ἐκ δὲ τῆς ἥττης ὑπὸ τοῦ καμάτου εἰς ὕπνον τετραμμένων πάντων· φησὶ γάρ (v. 98. 99)·

μὴ τοὶ μὲν καμάτῳ ἀδηκότες ἠδὲ καὶ ὕπνῳ
κοιμήσωνται, ἀτὰρ φυλακῆς ἐπιπάγχυ λάθωνται

καὶ (v. 200)·

ὅθεν αὖτις ἀπετράπετ' ὄβριμος Ἕκτωρ

καὶ τὰ ἑξῆς.

B f. 133ᵃ ad τάφροιο v. 194. Lp f. 174ᵃ c. l. τάφροιο. ..... διὰ τί δὲ μὴ μᾶλλον ἔσω τοῦ τείχους ἀσφαλέστερον βουλεύονται; ἀλλ' ἐν τῷ στρατεύματι νυκτὸς περιιόντες θόρυβον ἐκίνησαν, καὶ ταῦτα προτεταλαιπωρημένων ἤδη τῶν Ἑλλήνων. ἄλλως τε ἄτοπον ἦν εἰς κατασκοπὴν ὀτρύνοντας μὴ τολμᾶν προϊέναι τῶν πυλῶν. ἔτι δὲ καὶ πρὸς παραμυθίαν τῶν μελλόντων ἐκπέμπεσθαι.

B f. 133ᵇ ad τάφρον v. 198. ἄλογον τὸ μὴ ἐντὸς τῆς τάφρου τὸ συνέδριον εἶναι. λύεται δὲ ἐκ τοῦ καιροῦ· οὐ γὰρ τὸ θορυβεῖν τοὺς ἐν στρατοπέδῳ προσῆκον. θαρραλεώτερόν τε τὸν κατάσκοπον ἐχρῆν ποιεῖν παρακαθήμενον καὶ οὐδὲν μέλλοντα πείσεσθαι δεινόν, τῶν φυλάκων περὶ τὴν τάφρον τυγχανόντων.

A. 215. 16. διὰ τί μέλανα καὶ ὑπόρρηνα ἐπαγγέλλεται τὰ πρόβατα; καὶ ῥητέον ὅτι μέλανα μέν, ἐπεὶ νυκτὸς ἐπορεύοντο, ὑπόρρηνα δὲ συμβόλῳ τινὶ αἰσίῳ, ἵνα ἔγκαρπον τὴν πορείαν ποιήσωνται.

---

1 προσελθεῖν codd.; corr. Bkk. 2 φυλάττεσθαι L 5. 6 τούτοις corr. e τούτων L 19 ὄμβριμος L 22 περιόντες Lp 24 ὀτρύνοντες codd.; corr. Vill. 28 ἐχρῆ B

---

12 sqq. Cf. Vict. v. 199 Bkk.

21—30 †L f. 210ᵇ (id. fere Paris. ap. Cram., A. P. III, p. 174, 14): *διὰ τί δὲ, φησὶν, οἱ ἡγεμόνες τὴν τάφρον διαβάντες βουλεύονται; φαμὲν δὲ ὅτι τοῦτο ποιοῦσιν εἰς ἐπιμυθίαν τῶν κατασκόπων, ἵνα ἀμφότεροι* ⟨*προθυμότεροι* schol. min.⟩ *γένωνται ἐγγὺς αὐτῶν ὄντων.* Cf. A v. 194; Eust. *K*, p. 797, 50 (inde Paris. ap. Cramer. p. 85, 31).

249. Ζητεῖται δὲ πῶς Ὀδυccεὺς νῦν μὲν ἐπαινούμενος ἄχθεται, παρὰ δὲ τοῖς Φαίαξι φίλαυχός ἐστι (ι 19. 20). ῥητέον ὅτι ἐνταῦθα μὲν παραιτεῖται τὸν ἔπαινον, ἐπεὶ προείληφεν ἡ γνῶcις, παρὰ δὲ τοῖς Φαίαξιν οὐδαμῶς ἀρνεῖται, ἵνα γνωcθεὶς μᾶλλον τῆς ἐπανόδου τύχῃ. A. L f. 212ᵃ.

252. 53. ἡ cυναγωγὴ τῶν ζητουμένων γέγονε μὲν ἤδη καὶ παρ' ἄλλοις· ἡμεῖς δὲ τὰ προβλήματα λαμβάνοντες παρὰ τῶν ἐζητηκότων τὰς λύcεις ἐπικρίνομεν ἃς ἐκεῖνοι ὑπέταξαν τοῖς προβλήμαcι, καί τινας μὲν τούτων ἐγκρίνομεν, τινὰς δὲ παραιτούμεθα, τὰς δ' αὐτοὶ ἐξευρίcκομεν, τὰς δὲ πειρώμεθα διορθοῦν καὶ ἐξεργάζεcθαι, ὥcπερ τοῖς ἐντυγχάνουcιν ἔcται δῆλον. αὐτίκα τῶν παλαιῶν ζητημάτων ὡμολόγηται εἶναι τὸ τοιοῦτο, ἐν οἷς φηcιν *B f. 134ᵇ ad ἄcτρα.

ἄcτρα δὲ δὴ προβέβηκε, παρῴχηκε δὲ πλέω νὺξ
τῶν δύο μοιράων, τριτάτη δ' ἔτι μοῖρα λέλειπται.

πῶς γὰρ, εἰ αἱ δύο μοῖραι ἐξήκουcιν αὐταί τε καὶ ἔτι τούτων πλέον, ἡ τριτάτη μοῖρα λέλειπται, ἀλλ' οὐχὶ τῆς τρίτης μόριον; ὅθεν καί τινες προcτιθέντες τὸ c̄ ἠξίουν τριτάτης δέ τι μοῖρα λέλειπται γράφειν, ἵνα τῆς τρίτης μερίς τις ᾖ καταλελειμμένη, ἀλλ' οὐχ' ὅλη ἡ τρίτη. Μητρόδωροc μὲν οὖν τὸ πλεῖον δύο cημαίνειν φηcὶ παρ' Ὁμήρῳ· καὶ γὰρ τὸ cύνηθεc — ὡc ὅταν λέγῃ νώτου ἀποπροταμών, ἐπὶ δὲ πλεῖον ἐλέλειπτο (θ 475) καὶ ἀλλὰ τὸ μὲν πλεῖον πολυάϊκοc πολέμοιο χεῖρεc ἐμαὶ διέπουcι (A 165) —, cημαίνει δὲ καὶ τὸ πλῆρεc, ὡc ἐν τῷ cὸν δὲ πλεῖον δέπαc αἰεὶ ἕcτηκε (Δ 262), καὶ ἐν τῷ πλεῖαί τοι χαλκοῦ κλιcίαι (B 226). νῦν οὖν τὸ πλέον ἀντὶ τοῦ πλῆρεc εἰρῆcθαι· πλήρηc γὰρ ἡ νὺξ τῶν δύο μοιρῶν γεγονυῖα παρῴχηκε, τριτάτη δ' ἔτι περιλέλειπται. διεῖλε δ' εἰc τρία, ὡc ἂν τριφυλάκου τῆς νυκτὸc οὔcηc. Χρύcιπποc δὲ, ὥcπερ εἴ τιc, φηcὶ, περὶ τριῶν ἡμερῶν διαλεγόμενοc ἐν τῇ τρίτῃ λέγει μίαν ἀπολείπεcθαι ἔτι ἡμέραν, κἂν μὴ περὶ ὄρθρον ποιῆται τοὺc λόγουc, οὕτωc καὶ τὸν Ὀδυccέα, εἰ καὶ πλέον ἦν παρῳχηκὸc τῶν δύο μοιρῶν, τὴν τρίτην φάναι καταλείπεcθαι, ἐπειδὴ τριμεροῦc οὔcηc τῆς νυκτὸc ἕκαcτον μέροc ὡc ἕν a b

1 A, cuius lemma μήτ' ἄρ με μάλ' αἴνεε μήτε τι νείκει, nonnulla de μηδὲν ἄγαν praemittit; L inc.: ἀπορία. Ζητεῖται δὲ πῶc ἐπαιν. κτλ. 2 λύcιc. ῥητέον δὲ ὅτι L 3 ἐπειδὴ L 13 δέ τι cod.; corr. Bekk. 14 de litteris in marg. positis v. ad p. 151, 27 sqq. 16 μοῖρα cod. 21 δὲ post cημαίνει e coni. addidi; cod. om. 25 δέ τι περίλειπται cod., περιλέλειπται Bkk.

10 v. 252 diple notatus *διὰ τὸ πολυθρύλητον ζήτημα καὶ τὰς γεγονυίας ἀποδόσεις* (Ariston.).

18 Cf. Arist. poet. 25 (p. 1461 *a* 25): *τὰ δὲ ἀμφιβολίᾳ (δεῖ διαλύειν)· παρῴχηκεν δὲ πλέων (πλέω* cod. A^c Bkk.*) νύξ· τὸ γὰρ πλέων ἀμφίβολόν ἐcτιν.* Quae ad ipsum refertur solvendi ratio infra (p. 149, 4) sequitur.

23 Aristarchum *πλέον* et *πλεῖον* (= *πλῆρεc*) distinxisse Lehrsius (ap. Friedl., Ariston. p. 156) docuit.

τι λαμβάνεται, ὥcτε κἂν ἐλλιπὲς ᾖ τοῦτο καὶ μὴ ὁλόκληρον, ἀλλ' ἀριθμεῖcθαί γε τρίτην τῷ τάξιν τῶν μερῶν ἔχειν τὴν τρίτην. οὕτω γὰρ καὶ ἄνθρωπον παρὰ [μικρὸν ἑξά]ποδα γενόμενον ἔτι τυγχάνειν τῆς ὅλης
c προcηγορίας. ἄλλοι δέ φαcιν ἔθος ἔχειν τοὺc ποιητὰc τῷ ἀπηρτιcμένῳ χρῆcθαι ἀριθμῷ, ὁτὲ μὲν τὰ ἐπιτρέχοντα τοῖc ἀριθμοῖc περιγράφοντας ὑπὲρ τοῦ ὁλοcχερεῖ καὶ ἀπηρτιcμένῳ χρῆcθαι, ὅταν χιλιόναυν cτρατὸν φήcειέ τιc (Eur. Or. 344) τῶν Ἑλλήνων — ἦcαν δὲ αἱ νῆεc χίλιαι ἑκατὸν ὀγδοήκοντα ἕξ —, καὶ ἔτι πύργουc εἴκοcι μιᾷ cτολῇ, πεζοῖc μὲν ἕνδεκα, ναυcὶ δὲ δυώδεκα ἀντὶ τοῦ κγ'. ὁτὲ δὲ τὸν προκείμενον περιγράφουcι, τῷ ἐπιτρέχοντι ἀρκούμενοι, οἷον κατὰ μὲν φίλα τέκνα ἔπεφνε θάλλοντα ἥβᾳ δυώδεκα, αὐτὸν δὲ τρίτον (Pind. fr. 157 Boeckh.), ἀντὶ τοῦ τρίτον καὶ δέκατον· καὶ τετράτῳ δ' αὐτὸc πεδάθη, φηcὶν ὁ Πίνδαροc (fr. 100), ἀντὶ τοῦ τετάρτῳ καὶ δεκάτῳ· ἡ δὲ γυνὴ τέταρτον ἔτοc ἡβώοι, πέμπτῳ δὲ γαμοῖτο (Hes. op. 696), ἀντὶ τοῦ τεccαρεcκαιδεκάτῳ καὶ πεντεκαιδεκάτῳ· Εὔπολίc τε Χρυcῷ γένει (Mein., fr. com. II, p. 537)· δωδέκατοc ὁ τυφλὸc, τρίτοc ὁ τὴν κάλην ἔχων, ὁ cτιγματίαc τέταρτόc ἐcτιν ἐπὶ δέκα, πέμπτοc δ' ὁ πύργοc, ἕκτοc ὁ διεcτραμμένοc· χοὗτοι μὲν εἰc ἑκκαίδεκ', εἰc Ἀρχέcτρατον, ἐc τὸν δὲ φαλακρὸν ἑπτακαίδεκ'. B. ἴcχε δή. A. ὄγδοοc ὁ τὸν τρίβων' ἔχων. ὁτὲ δὲ ἔξω προcτιθέαcιν, ἵνα τὸν πλήρη ἀριθμὸν εἴπωcιν, οἷον Ὁμήρου εἰπόντοc ἐννεακαίδεκα μέν μοι ἰῆc ἐκ νηδύοc ἦcαν (Ω 496), Cιμωνίδηc φηcὶ καὶ cὺ μὲν εἴκοcι παίδων μᾶτερ ἔλλαθι (fr. 49 Bergk.). καὶ δεκάτῳ μηνὶ τοῦ τοκετοῦ ταῖc γυναιξὶ γιγνομένου φηcὶν Ὅμηροc· χαῖρε, γυνή, φιλότητι, περιπλομένου δ' ἐνιαυτοῦ τέξῃ ἀγλαὰ τέκνα (λ 248). καὶ ἄλλοι θ' οἳ Κρήτην ἑκατόμπολιν ἀμφενέμοντο (B 649) καὶ πολλοὶ ἀπειρέcιοι καὶ ἐννήκοντα πόληεc (τ 174)· ἢ γὰρ κατὰ τὸ ἕτερον προcτίθηcιν ἢ κατὰ τὸ ἕτερον ἀφαιρεῖ. ὁμοίωc καὶ πρόπαν ἦμαρ ἐc ἠέλιον καταδύντα δαίνυντο (A 601), οὐχ ἅμα τῇ ἕῳ ἀρξαμένων πίνειν· καὶ πᾶν δ' ἦμαρ μάρναντο περὶ Cκαιῇcι πύλῃcι (C 453), καίπερ βραχέοc γινομένου χρόνου ὑπὲρ τὴν μάχην. καὶ τῶν Ὀλυμπίων

1. 2 ἀρι.θμεῖcθαι (ras. un. litt.) cod. μερῶν conieci; cod. ἡμερῶν Kamm., p. 66, verba ἀλλ' ἀριθμεῖcθαί γε — τὴν τρίτην supra post τοὺc λόγουc (p. 147, lin. 28) collocavit 3 παρὰ πόδα γεν. cod.; Kamm. καίπερ ἄποδα coni. 7 τιc addidi; cod. om. 14 τέταρ. (supra ρ scrpt. τ) ἤθ' ἡβώοι cod.; ἔτοc dubitanter conieci 16 χρυcογένειαν cod.; corr. Bkk. 17 δέκατοc cod.; corr. Mein. l. c. καλὴν cod.; κωλῆν Mein., κάλην O. Schneid. ap. Mein. V, p. LXXXIV 18 πυρρὸc ? πηρὸc Cobet ap. Dind. 19 καὶ οὗτοι μὲν εἰc ἑκκαίδεκα ἐc ἀρχ. cod.; corr. Mein. ἐc δὲ τὸν φ. cod.; corr. Mein. 20 ἑπτακαίδεκα cod.; corr. Mein.; idem personas distinxit 21 τρίβων cod. 32 post χρόνου in cod. (in fine paginae) 4 litt. eras.

26—29 Cf. Porph. B 649, p. 49, 12.

δὲ ἐναλλὰξ ἀγομένων διὰ πεντήκοντα μηνῶν καὶ τεccαράκοντα ἐννέα, οἱ ποιηταὶ πεντηκοντάμηνόν φαcι τὴν πανήγυριν. οὕτωc οὖν οὐδὲν κωλύει, καὶ τῆc τρίτηc μοίραc ἐλλιποῦc οὔcηc, οὐχ ὁλόκληρον τρίτην αὐτὴν ὀνομάcαι μοῖραν. Ἀριcτοτέληc δὲ οὕτωc ἀξιοῖ λύειν, ἐν οἷc φηcιν· ἡ εἰc δύο διαίρεcιc εἰc ἴcην δύναται γενέcθαι ἐν τούτοιc· ἐπεὶ δὲ τὸ πλέον τοῦ ἡμίceoc ἀόριcτόν ἐcτιν, ὅταν τοcοῦτον αὐξηθῇ ὡc τοῦ ὅλου τρίτον ἀπολείπεcθαι, ἀκριβοῦc ἂν εἴη τὸ ἀφορίcαι τοῦτο καὶ δηλῶcαι ὅcον ἐcτὶ τὸ καταλειφθέν, ἵνα ὅcον ηὐξήθη τοῦ ὅλου τὸ ἥμιcυ δῆλον γένηται. οἷον τῶν ς′ ἥμιcυ τὰ γ′. εἴπερ διαιρεθείη τὰ ς′ εἰc β′ ἴcα, ἔcται γ′. ἐὰν τὸ ἕτερον μέροc αὐξηθῇ, ἄδηλον πότερον μορίῳ ἀριθμοῦ ἢ ὅλῃ μονάδι. ἐὰν οὖν ὅλῃ μονάδι πλέον γένηται, τὸ μέροc τὸ ὑπολειπόμενον τρίτον ἔcται τοῦ ὅλου, ὥcτε καὶ ὁ εἰπὼν τῶν δύο μερῶν θάτερον πλέον γινόμενον καταλέλοιπε τριτάτην μοῖραν δεδήλωκεν ὅτι ἐν αὐξήcει τὸ πλέον μονάδι γέγονε, τεccάρων γεγονότων τῶν τριῶν καὶ δύο ὑπολειπομένων, ὅπερ ἦν τῶν ἓξ τὸ τρίτον. ἐπεὶ οὖν καὶ τῆc νυκτὸc αἱ δώδεκα μοῖραι εἰc δύο ἴcαc μερίδαc μερίζεcθαι δύνανται εἰc ἕξ, ηὐξήθη δὲ καὶ πλέον γέγονε θάτερον μέροc, ἄδηλον δὲ τὸ πόcαιc ὥραιc — καὶ γὰρ μιᾷ καὶ δύο καὶ τριcὶ καὶ πλείοcιν ἡ αὔξηcιc δύναται γίνεcθαι —, ἀφορίζων ὁ ποιητὴc τὸ ἀόριcτον τοῦ πλείονοc πόcον ἦν, καὶ ὅτι β′ ὥραιc ηὐξήθη, ἐπήγαγεν ὅτι τριτάτη μοῖρα λέλειπται, ὡc ὀκτὼ μὲν γενέcθαι τὰc παρῳχηκυίαc ὥραc, καταλείπεcθαι δὲ τέccαραc, αἵπερ εἰcὶ τοῦ ὅλου τρίτον. οὕτω καὶ εἰ δέκα ὀκτὼ εἴη μοιρῶν, ὅ τι δίχα διαιρεῖται εἰc ἐννέα, εἴποιc δ' ὅτι πλέον τῆc εἰc δύο μοίραc παρῴχηκεν, ἡ δὲ τρίτη μοῖρα περιλείπεται, δῆλον ποιήcειc ἐκ τοῦ τὸ τρίτον φάναι περιλείπεcθαι, ὅπερ ἐcτὶν ς′, ὅτι δώδεκα φὴc εἰληφθαι. ἔcτω δὲ καὶ ἐπὶ τοῦ νυχθημέρου τῶν ὡρῶν τὸ αὐτὸ ζητούμενον, καὶ λεγέτω τιc ὅτι πλέον τι τῶν εἰc δύο μοίραc νεμομένων ὡρῶν παρῴχηκέ τι, μὴ ἀφορίcαc τὸ πόcον, ἐπαγέτω δὲ ὅτι ἡ τρίτη μοῖρα τοῦ παντὸc λέλειπται· δῆλον γίνεται ὅτι τῆc εἰc β′ διαιρέcεωc εἰc ιβ′ καὶ ιβ′ γενομένηc, τοῦ τρίτου καταλειφθέντοc τοῦ παντόc, ὅπερ ἐcτὶν ὀκτώ, θάτερον μέροc τὸ πλέον ἐν τέτραcιν ἔcχεν, ὥcτε ἑκκαίδεκα ὥραc τὰc πάcαc παρεληλυθέναι, ὑπολείπεcθαι δὲ ὀκτώ. ἐν οἷc οὖν εἰc δύο ἴcα καὶ εἰc τρία ἐcτὶ διαίρεcιc, ἐάν τιc εἰc δύο πλεονάcαντα τὸ τρίτον τῆc εἰc γ′ καταλίποι, ἀφορίζει ὅcῳ πλέον ἡ αὔξηcιc γέγονε. cοφῶc οὖν ὁ ποιητὴc τὸ ἀόριcτον [τρίτον] τῆc αὐξήcεωc τοῦ ἡμίceoc δεδήλωκεν ὅcον ἦν, ὅτι ὥραιc δύο, καὶ ὀγδόη παρεληλύθει ὥρα, διὰ τὸ φάναι τριτάτη δ' ἔτι μοῖρα λέλειπται. εἰδὼc γάρ τιc ὅτι ιβ′ μὲν αἱ

3 ὁλόκληρον Vill.; cod. ὁλοκλήρου 4 versui in marg inter. adscrpt. Ἀριcτοτελ. 5. 6 ἐπεὶ δὲ V. Rose, Ar. ps., p. 165; cod. ἐπειδὴ 10 ἴcα cod. 22. 23 μοιρῶν ego; cod. μετρῶν; μερῶν Vill. πλέον τῶν εἰc δύο cod.; corr. Bkk. 33 τὸ τρίτον scripsi; τὸ γ′ cod. 35 τρίτον recte deleri iubet Kamm., p. 68 37 τριτάτη δέ τι cod.

4 Cf. ad p. 147, 18 et Heitz, d. verlorn. Schr. d. Arist., p. 266.

ὧραι πᾶcαι τῆc νυκτόc, ὧν ἡ εἰc δύο μὲν μοίραc διαίρεcιc ς' καὶ ς' ποιεῖ, ἡ δὲ εἰc γ' δ' καὶ δ' καὶ δ', καὶ ἀκούcαc ὅτι τῆc εἰc δύο μοίραc διαιρέcεωc πλέον τι παρῴχηκεν, εἶτα γνοὺc ὅτι τῆc εἰc τρία τὸ τρίτον ἐπιμένει, ὅπερ ἐcτὶν ὧραι τέccαρεc, εὐθὺc γινώcκει ὅτι ἀπὸ τοῦ μεcο-
d νυκτίου β' ὧραι ἦcαν παραλλάξαcαι μεταβάντοc. Αὐτόχθων δὲ φηcιν 5 ὅτι τετελεcμένων τῶν β' μοιρῶν, λειπομένηc δὲ τῆc τρίτηc, εἰκότωc φηcὶν ὡc παρῆλθε τὸ πλέον ἡ νὺξ οὖcα μοιρῶν β'· πλέον γὰρ μέροc εἰcὶ τῆc νυκτὸc αἱ δύο, εἴ γε τὰ δύο τοῦ ἑνὸc πλείονα. τὸ οὖν παρῴχηκεν, ὅτι παροιχομένων τῶν δύο μοιρῶν τῷ πλείονι ἡ νὺξ παρῴχηκεν. οὕτω γὰρ οὐδ' ἁμάρτημα ἔcται ἐν τῷ πλέω, ὅπερ θηλυκῶc ἀκού- 10 οντέc τινεc ἡμαρτῆcθαι λέγουcιν ἀντὶ τοῦ ἡ πλείων· ἔcτι γὰρ τῷ πλέῳ ἡ νὺξ παρῳχηκυῖα μέρει, τουτέcτι τῷ πλείονι καὶ μείζονι μέρει παρήλ-
e λαχε, τῶν δύο μερῶν παρῳχημένων. Ἀπίων δὲ αὐτῶν τῶν β' τὸ πλέον μέροc ἀνηλῶcθαι λέγει, ὥcτε καὶ τῆc δευτέραc εἶναι λείψανον, καὶ τούτων μὲν οὖν τὸ πλέον παρῴχηκε, τὸ δὲ τρίτον καταλείπεται· περὶ γὰρ 15 νύκταc μέcαc ἀναcτὰc Ἀγαμέμνων ἐγείρει τὸν Νέcτορα καὶ μετ' αὐτοῦ τινὰc τῶν ἀριcτέων, καὶ ἐπὶ τὴν τάφρον προελθόντεc πέμπουcι τοὺc κατάcκοπουc. τὸν δὲ καιρὸν τῆc νυκτὸc ὑποβάλλει καὶ τὸ πλῆθοc τῶν πράξεων. ὁπλιcάμενοι γὰρ οἱ κατάcκοποι, ὀφθέντοc αὐτοῖc τοῦ ὀρνέου, εὐξάμενοί τε τῇ Ἀθηνᾷ χωροῦcι πρόcω· καὶ ἐντυχόντεc τῷ Δόλωνι οὐκ 20 ὀλίγον χρόνον περὶ τὰc ἐρωτήcειc διέτριψαν· καὶ κτείναντεc αὐτὸν μετὰ ταῦτα ἐπὶ τοὺc Θρᾷκαc ἔρχονται· καὶ βραδύνουcιν αὐτοῖc περὶ τὸν τούτων φόνον ἡ Ἀθηνᾶ ἐπὶ τὰc ναῦc ἀπαλλάττεcθαι παραινεῖ· καὶ ἐπανελθόντεc λούονταί τε καὶ ἀριcτοποιοῦνται, καὶ τότε ἡμέρα γίνεται. Ὀδυcεὺc δὲ λέγει ἐγγύθι δ' ἠώc, τὴν διέξοδον ἐπείγων· οὐδὲ γὰρ εὔλο- 25 γον πληcιαζούcηc τῆc ἕω κατάcκοπουc πέμπεcθαι, ἀλλὰ καὶ πάνυ ἐπι-
f cφαλέc. τὸ δὲ πλέω δύναται μὲν καὶ ὡc πληθυντικὸν οὐδέτερον παρειλῆφθαι· τὰ πλείονα ἐκ τῶν δύο μοιρῶν παρῆλθεν· ἢ πλείονα παρὰ μοίραc τὰc δύο, ὥc που καὶ ὁ Θουκυδίδηc (I, 3, 5) λέγει· ἀλλὰ καὶ ταύτην τὴν cτρατιὰν θαλάccῃ ἤδη πλείω χρώμενοι cυνῆλθον. 30 δύναται δὲ καὶ θηλυκὸν ἑνικὸν εἶναι, πτῶcιν αἰτιατικὴν προβάλλον· ἡ νὺξ παρῆλθε τὴν πλείονα μοῖραν τῶν δύο μοιρῶν. πιθανῶc δὲ οὐδένα ἄλλον τὴν τῶν ἄcτρων πορείαν ἐποίηcε φυλάττοντα ἢ τὸν Ὀδυccέα, προοικονομῶν εἰc τὴν Ὀδύcceιαν· ἐκεῖ γὰρ αὐτῷ ὁ πλοῦc ἀνύεται Πληιάδαc ἐcορῶντι καὶ ὀψὲ δύοντα Βοώτην (ε 572). 35

g λέγοντοc τοῦ Ὀδυccέωc ἄcτρα δὲ δὴ προβέβηκε, ζητήcειεν ἄν τιc, τί δηλοῖ τὸ προβέβηκε καὶ ποῖά εἰcιν ἄcτρα ἐξ ὧν cτοχάζεται

---

2 εἰc γ' ἐc δ' καὶ δ' cod.; alterum καὶ δ' Kamm. add. ὅτι addidi; cod. om. 7 post φηcὶν in cod. rasura 24 fere litterarum 13 ἀππίων cod. 14 sqq. καὶ — καταλείπεται e coni. dedi; cod. λείψανον καὶ ὧν οὖν τὸ πλέον παρῴχηκε τὸ τρίτον καταλείπεται 35 πληάδαc (ι de more om.) cod. 36 sqq. λέγοντοc κτλ. sine ullo intervallo neque ullo signo interposito in cod. (f. 135[b]) iis quae iam edidimus subiunguntur

τὴν ὥραν. τὸ γὰρ ἐκ τῆς ἄρκτου λέγειν οὐχ ὑγιές· οὐ γὰρ ἐκ τῶν ἀεὶ φανερῶν, ἀλλ' ἐκ τῶν ἀνατελλόντων καὶ δυομένων τὰς ὥρας τεκμαίρεσθαι ἔστιν. οἱ δὲ οὐδ' ἐπ' ἄλλου φασὶν οἷόν τε ἢ ἐπὶ τῆς ἄρκτου εἰρῆσθαι διὰ τὸ προκεῖσθαι τὸ προβεβηκέναι· σημειωσάμενον γὰρ τοὺς τόπους καθ' ὥραν, ὡς ἐπιλαμβάνουσι στρεφόμενοι τῆς ἄρκτου οἱ ἀστέρες, προβεβηκέναι φάναι ἐπὶ πλέον κατὰ τὴν στροφὴν χωρήσαντας. οἱ δὲ ἀπὸ τῶν Πληιάδων καὶ Ὑάδων καὶ Ὠρίωνος, ἤτοι τὴν ἀνατολὴν ἑῴαν ποιουμένων καὶ προβεβηκότων ἀπὸ τῆς ἀνατολῆς, [Πληιάδων] δύσιν ποιουμένων καὶ ἤδη προβαινόντων εἰς τὴν δύσιν· τὸ αὐτὸ γὰρ καὶ ἐν τῷ ἀλλ' ὅτε δὴ τρίχα νυκτὸς ἔην, μετὰ δ' ἄστρα βεβήκει (μ 312), ἢ ὡς πρὸς ἀνατολὴν ἢ πρὸς δύσιν, τὸ μέντοι τρίχα ἀντὶ τοῦ τρίτον. διχῶς δὲ τὸ τρίτον * * * * * * * τό τε κατὰ σχέσιν τὴν πρὸς τὸ πρῶτον. μή ποτε ἐκ τοῦ ζωδιακοῦ κύκλου τὴν ὥραν καταμεμαθηκέναι φησί· τούτου γὰρ εἰς ιβ΄ διῃρημένου, ς΄ μὲν εὐθέως καταδύνοντος ἡλίου βλέπεται, νυκτὸς δὲ προβαινούσης τὰ λοιπά, οὐ τὰ αὐτὰ μὲν ὁρώμενα, τὸν δὲ ἀριθμὸν τὸν ἓξ φυλάττοντα. ἐκ τῶν ζωδίων οὖν τῶν ἐπιφερομένων τῷ δωδεκατημορίῳ τούτῳ, ἐν ᾧ ὁ ἥλιος ἔδυ, τὴν ὥραν στοχάζεται Ὀδυσσεύς. ἢ ἁπλῶς πάντα φησὶ τὰ ἄστρα προβέβηκε, τουτέστι προκεχώρηκεν εἰς δύσιν τὰ ἀφ' ἑσπέρας ἐν τῇ ἀνατολῇ φανέντα, ὡς καὶ νῦν φαμεν πολὺ προῆλθε τῆς ἡμέρας, εἰς δύσιν λέγοντες προελθεῖν· ἐφ' ὧν γὰρ ἀπὸ πέρατος εἰς πέρας ἐστί τις δρόμος, ὅταν ἤδη πρὸς τῷ ἑτέρῳ πέρατι ὁρώμενα φαίνηται, προβεβηκέναι λέγοιτ' ἂν ἀφ' οὗ πρῶτον ὁρμώμενα ὤφθη. ὅτι δὲ καὶ τὴν ἡμέραν καὶ τὴν νύκτα εἰς h τρία διαιρεῖ δῆλον· ἐπὶ μὲν γὰρ τῆς ἡμέρας· ἔσσεται ἠὼς ἢ δείλης ἢ μέσον ἦμαρ (Φ 111), ἐπὶ δὲ τῆς νυκτός· ἀλλ' ὅτε δὴ τρίχα νυκτὸς ἔην (μ 312).

διὰ τί προβέβηκε καὶ ποῖα τὰ ἄστρα, ἐξ ὧν στοχάζεται τὴν g L f. 212ᵇ.
ὥραν ὁ Ὀδυσσεύς; τὸ γὰρ τῆς ἄρκτου τοὺς ἀστέρας ἀκούειν ἁμάρτημα,

3 φησὶν cod.; corr. Bkk. 4 post προβεβηκέναι in cod. repetitum εἰρῆσθαι 7 υἱάδων cod.; corr. Vill. ἤτοι δὲ ἀνατ. cod.; vereor ne gravius vitium lateat 8 Πληιάδων corruptum esse liquet; quod ad rem attinet, e schol. L (p. 152, 5) conicias: ἢ τῶν ἑῴαν, sed plura excidisse videntur 12 lacunae in cod. vestigium non exstat 15 οὐκ αὐτὰ cod.; corr. e schol. min. (v. p. 152, 9)

---

23 A v. 252 ..... *τριφύλακος γὰρ ἦν καθ' Ὅμηρον ἡ νύξ. καὶ ἐν ἄλλοις· ἔσσεται ἠὼς ἢ δείλη ἢ μέσον ἦμαρ.* Cf. id. Φ 111 (c. l. *ἔσσεται ἢ ἠώς*): *ὅτι ὅλην τὴν ἡμέραν εἰς τρία διαιρεῖ ....., ὥσπερ καὶ τὴν νύκτα εἰς τρία, ἑσπέραν, ἀμολγὸν, ἑῴαν.*

27 sqq. Multo longius a vera quaestionis forma hoc schol. abest; priorem certe scholii Veneti partem, reiecta omni quae in illo inest exquisitiore doctrina, ita ad ieiunius illud dicendi genus, quo pleraeque quaestiones quae ad nos pervenerunt uti solent, redegit, ut inde excerptum esse videri possit. At cum habeat, et maxime quidem in posteriore parte, quae in Veneto desiderentur, et ordine rerum exponendarum utatur diverso, inter scholia secundi ordinis referri noluimus. Quo melius perspicuitati consuleretur, litteris margini

οὐκ ἐκ τῶν ἀεὶ φανερῶν, ἀλλ' ἐκ τῶν ἀνατελλόντων καὶ δυομένων τῆς ὥρας τεκμηριουμένης καὶ νοουμένης. ἔνιοι μὲν οὖν· Πληιάδας φηcὶν καὶ Ὑάδας καὶ τὸν Ὠρίωνα καὶ τὸ προβεβηκέναι τὴν ἀνατολὴν ἑῴαν ⟨ἑῶαν, ε ex π facto, cod.⟩ ποιεῖται, ἕτεροι δὲ τὸν Ἕcπερον καὶ τὸν Κύνα καὶ τὸ προβεβηκέναι ἑῴαν ⟨ἑῶαν cod.⟩ ποιεῖται τὴν δύcιν. ἄμει- 5
νον δὲ λέγειν, ὅτι ἐκ τοῦ κύκλου τοῦ ζωδιακοῦ τὴν ὥραν κατέμαθε. τούτου ⟨τοῦτο cod.⟩ γὰρ εἰc ιβ΄ διῃρημένου ⟨διηρημένον cod.⟩, ἓξ μὲν εὐθέωc ἡλίου καταδύνοντοc ⟨καταδύοντοc cod.⟩ βλέπεται, νυκτὸc δὲ προβαινούcηc τὰ λοιπά, καὶ τὰ ⟨οὐ τὰ αὐτὰ sch. min.⟩ μὲν ὁρώμενα τὸν δὲ ἀριθμὸν τῶν ἓξ φυλάττοντα. ἐκ τῶν ζωδίων οὖν τῶν ἐπιφερομένων 10
τῷ δωδεκατημορίῳ τούτῳ, ἐν ᾧ ὁ ἥλιοc ἔδυ, τὴν ὥραν cτοχάζεται ὁ Ὀδυccεύc. ἢ ἁπλῶc φηcι πάντα τὰ ἄcτρα cυγκαταδυόμενα ⟨καταδυόμενα cod.⟩ τῷ ἡλίῳ καὶ cυνανατέλλοντα κατὰ τὸ δεύτερον. τὸ δὲ προβέβηκε δηλοῖ προκεχώρηκεν εἰc δύcιν, ὥcπερ καὶ ἡμεῖc λέγοντεc τὸ πολὺ προῆλθε τῆc ἡμέραc τὸ εἰc δύcιν προελθεῖν λέγομεν. εἰ δέ τιc ἐπιζητεῖ, πῶc 15
οὐκ ὠνόμαcε τὰ ἄcτρα, ἴcτω ὅτι τῷ ἐπειγομένῳ ἐπὶ ἔργον οὐκ ἥρμοζεν ἀδολεcχεῖν. φαίνεται δὲ ἐκ τούτων Ὅμηροc καὶ cφαιροειδῆ τὸν κόcμον εἰδώc· οὐ γὰρ οἷόν τε τὰ μὲν δύνειν τὰ δὲ ἀνατέλλειν, μὴ οὐχὶ ὑπὸ γῆν τοῦ ἡλίου φερομένου καὶ ὑπὲρ γῆν ἀνίcχοντοc. εἰδὼc δὲ καὶ ἡμερῶν καὶ νυκτῶν μέγεθοc καὶ ἡλίου κίνηcιν, οἶδεν ἀκριβῶc ὅτι κατὰ 20
⟨καὶ, om. ὅτι, cod.⟩ τὰc τούτου δύceιc καὶ ἀνατολὰc ἡ νὺξ ὁρίζεται ⟨ὀργίζεcθαι cod.⟩ κατὰ τὴν ἡμέραν.

παρῴχηκε δὲ ἡ νὺξ τῶν δύο μοιρῶν ⟨corr.⟩, τριτάτη
h δ' ἔτι ⟨δέ τοι cod.⟩ μοῖρα λέλειπται. ὥcπερ τὴν ἡμέραν εἰc τρία μέρη διεῖλεν, ἐν οἷc φηcιν ἔccεται ⟨ἔceται cod.⟩ ἢ ἠὼc ἢ δείλη ἢ 25
μέcον ἦμαρ, οὕτω καὶ τὴν νύκτα εἰc τρία διεῖλεν. εἰ δὲ τριμερὴc
a ἔcται ἡ νὺξ καὶ πλεῖον τῶν δύο μοιρῶν παρῆλθεν, πῶc δύναται ὅλη
d ἡ τρίτη λείπεcθαι; ἀλλὰ λέγομεν, ὅτι τετελεcμένων τῶν δύο μοιρῶν, λειπομένηc δὲ τῆc τρίτηc, εἰκότωc φηcὶν ὡc παρῆλθε τὸ πλεῖον ἡ νὺξ οὖcα μοιρῶν δύο· πλεῖον γὰρ μέροc ἐcτὶ τῆc ὅληc νυκτὸc αἱ δύο, εἴ 30
c γε τὰ δύο τοῦ ἑνὸc πλείονα. ἢ κἀκεῖνο ῥητέον, ὡc τὸ μέροc ὁμοίωc ἐξήνεγκε τῷ ὅλῳ, τὴν τρίτην λείπεcθαι εἰπὼν οὐ λειπομένην ὅλην, ὁμοίωc· ὥc τότε μὲν πρόπαν ἦμαρ ἐc ἡέλιον καταδύντα καὶ πᾶν δ' ἦμαρ μάρναντο ἐπὶ Cκαιῇcι πύλῃcιν· οὔτε γὰρ ἅμα ἕῳ ἀρξάμενοι ἔπινον καὶ ⟨om. cod.⟩ βραχὺc ἦν ὁ ἀναλωθεὶc χρόνοc εἰc 35
τὴν μάχην περὶ ταῖc πύλαιc. κἀκεῖνο ὅμοιον· περιπλομένου ἐνιαυτοῦ τέξειc ἀγλαὰ τέκνα· εἰc γὰρ ἀποκύηcιν οὐ πληροῦται ὅλον ἔτοc ⟨ἔποc cod.⟩, ἀλλὰ διακόcιαι καὶ ἑβδομήκοντα καὶ τρεῖc ἡμέραι. καὶ ἡμεῖc ἐν τῷ cυνήθει τοῦ ⟨τοῦτον cod.⟩ τὸν δολιχὸν τρέχοντοc ἀρ-

---

utriusque appositis unum ad alterum retulimus. Addendum, id. fere schol., e quo Eust., p. 802, 12 sqq. hausisse videtur, inter schol. min. legi. — Initium nostri schol. (usque ad *νοουμένης*) altero schol. L (f. 212[b]) continetur.

ξαμένου ⟨τρέχοντα ἀρξάμενοι cod.⟩ τὸ ⟨τὸν cod.⟩ τελευταῖον στάδιον τρέχειν, στάδιον αὐτὸν περιλείπεσθαί φαμεν, καὶ περὶ τοῦ τὸν ⟨τοῦτον cod.⟩ ἔσχατον μῆνα ἄρχοντος, ὅτι τῆς ἀρχῆς αὐτῷ περιλείπεται μείς. ἢ ὅτι αὐτῶν τῶν δύο τὸ πλεῖον μέρος ἀναλῶσθαι λέγεται, ὥστε καὶ e
5 τῆς δευτέρας τι ⟨ἐστὶ cod.⟩ καὶ τὴν τρίτην ὅλην καταλείπεσθαι. τὸ δὲ f πλέω ⟨πλείω cod.⟩ δύναται μὲν ὡς πληθυντικὸν οὐδέτερον παρειλῆφθαι· τὰ ⟨τὸ cod.⟩ πλείονα ἐκ τῶν δύο μοιρῶν παρηλλάχθαι· ἢ πλείονα παρὰ τὰς μοίρας ⟨μοῖρας cod.⟩ τὰς δύο, ὥς που καὶ Θουκυδίδης λέγει· ἀλλὰ καὶ ταύτην τὴν στρατιὰν θαλάσσῃ ἤδη πλείω
10 ⟨πλοίω cod.⟩ χρώμενοι συνῆλθον. δύναται δὲ καὶ θηλυκὸν ἑνικὸν εἶναι πτῶσιν αἰτιατικὴν προβάλλον· ἡ νὺξ παρῆλθεν εἰς πλείονα μοῖραν τῶν δύο μοιρῶν.

παρῆλθον τῆς νυκτὸς αἱ δύο πλήρεις μοῖραι. οἱ δὲ ὅτι τὸ πλέον B f. 134ᵇ ad πλέω.
τῶν δύο μοιρῶν τῆς νυκτὸς παρῆλθεν. αἱ δύο δὲ μοῖραι ὀκτώ εἰσιν
15 ὧραι· τούτων τὸ πλέον, ὅ ἐστιν αἱ ἑπτά, παρῆλθεν· ἑσμὲν δὲ ἐν ὀγδόῃ ὥρᾳ, λείπονται δὲ τέσσαρες. τὸ δὲ ὅλον οὕτως· παρῆλθεν ἡ πλείων ἤδη μοῖρα τῶν δύο τῆς νυκτὸς μοιρῶν, ἵνα λείπηται μέρος τι τῶν δύο καὶ τρίτη τελεία. Lp f. 175ᵇ c. l. παρῴχηκε δὲ πλέω νύξ.

260. quaestio cod. Leid. (f. 211ᵇ, Π): διὰ τί οὐδαμοῦ τῆς ποιή-
20 σεως χριστοῖς βέλεσιν εἶπε χρῆσθαι τοὺς πολεμοῦντας κτλ. (v. Phil. XVIII, p. 350), ad α 262 pertinet.

274. Ζωίλος ὁ κληθεὶς Ὁμηρομάστιξ γένει μὲν ἦν Ἀμφιπολίτης *B f. 135ᵇ ad
τοῦ δὲ Ἰσοκρατικοῦ διδασκαλείου, ὃς ἔγραψε τὰ καθ' Ὁμήρου γυμνασίας v. 274 (f. 135ᵃ)
ἕνεκα, εἰωθότων καὶ τῶν ῥητόρων ἐν τοῖς ποιηταῖς γυμνάζεσθαι. οὗτος
25 ἄλλα τε πολλὰ Ὁμήρου κατηγορεῖ καὶ τὰ περὶ τοῦ ἐρωδιοῦ, ὃν ἐν τῇ νυκτεγερσίᾳ ἔπεμψε τοῖς περὶ τὸν Ὀδυσσέα ἡ Ἀθηνᾶ, ὅν, φησίν, οὐκ εἶδον ὀφθαλμοῖσιν, ἀλλὰ κλάγξαντος ἄκουσαν (v. 276). πῶς γάρ, φησί, χαῖρε δὲ τῷ ὄρνιθι Ὀδυσσεύς (v. 277); εἰκὸς γὰρ ἦν ὑπολαβεῖν περιβοήτους ἔσεσθαι· φωνὴ γὰρ σημεῖόν ἐστι τοῖς λανθάνειν προ-
30 αιρουμένοις ὑπεναντίον. Μεγακλείδης, ὅτι μαντικῶς ταῦτα ἐποίησε· δηλοῖ γὰρ ὅτι φωνὴν ἤκουσαν μόνον. οὐκοῦν οὕτως ἀπέβη τὸ μέλλον·

---

13 πλήρεις ὧραι Lp 15 παρῆλθον Lp 17 τῶν δύο μοιρῶν τῆς νυκτός Lp 18 quae Lp addit: ἀμφίβολος γάρ ἐστι κατὰ τριπλῆν ἔννοιαν τοῦ χωρίου ὁ νοῦς κτλ. ex Eust., p. 802, 17 sqq., petita esse videntur 23 διδασκα, supra α scrpt. λ', cod., unde recte διδασκαλείου Dind.

---

13 sqq. Etsi scholio *B multo breviora sunt, tamen propter partem Apionis sententiae (*οἱ δὲ ὅτι κτλ.*, cf. p. 150, 13) plenius allatam inter scholia ex illo excerpta referri nequeunt. — Ex hoc vel simillimo scholio schol. Paris. ap. Cramer., A. P. III, p. 174, 19 sqq., fluxisse videtur.

27 sqq. †A *K* 275 c. l. *τοὶ δ' οὐκ ἴδον ὀφθαλμοῖσιν: ὅτι καὶ αὐτοὶ ὑπὸ πολεμίων ἔμελλον οὐχ ὁραθέντες τὰ βουλεύματα αὐτῶν παρὰ Δόλωνος ἀκούειν. ἄλλως δὲ ὅτι οὐκ αἴσιος ὁ ἐρωδιὸς ὁ ὁρώμενος ὑπὸ τῶν εἰς ἐνέδραν ἀπιόντων.*

31 sqq. †B f. 135ᵃ ad *οὐκ ἴδον* v. 275 (id. Lp f. 176ᵃ c. l. *τοὶ δ' οὐκ ἴδον*):

αὐτοὶ μὲν γὰρ ὑπὸ τῶν πολεμίων οὐκ ὤφθηcαν, ἤκουcαν δὲ τὰ βουλεύματα καὶ τὰc τάξειc, Δόλωνοc ἐξαγγείλαντοc. πῶc ἂν οὖν οἰωνὸc caφέcτεροc φανείη; Ἀλέξανδροc δὲ ὁ Μύνδιοc ἐν τῷ τρίτῳ περὶ ζώων ἠπόρει διὰ τί ἡ Ἀθηνᾶ ἐπὶ τὴν κατάcκοπὴν πορευομένοιc τοῖc περὶ τὸν Ὀδυccέα οὐ τὴν γλαῦκα τὴν ἰδίαν ὄρνιν ἔπεμψε cημαίνουcαν τῇ φωνῇ, καὶ ταῦτα νυκτερινὴν οὖcαν ὄρνιν, ἀλλ' ὅτι ἱερὸν τοῦ Ποcειδῶνοc καὶ ἑτέρων τινῶν θεῶν. φαcὶν οὖν λύοντεc ὅτι ἑλώδουc ὄντοc τοῦ τόπου, τῶν ζώων τούτων νυκτὸc ἐν τοῖc ποταμοῖc καὶ τοῖc τέλμαcι νεμομένων, διὰ τούτου cημῆναί τι τοῖc κατάcκόποιc ἠβουλήθη, καὶ οὐ τῆc τὸ ὕδωρ καὶ τὰ ἕλη μιcούcηc ὄρνιθοc, διαιτωμένηc καὶ οἰκούcηc ἐν πέτραιc καὶ τείχεcιν· ἔπειτα καὶ ὁ ὄρνιc οὗτοc ἡμέρᾳ τε καὶ νυκτὶ χρῆται ἐνεργὸc ὤν, καὶ ἔcτιν ἀμφίβιοc, ὥcτε καὶ ἐν ὕδατι τροφὰc ἑαυτῷ πορίζειν, οἱ δ' ἀριcτεῖc οὗτοι καὶ cὺν ναυcὶ καὶ πεζοὶ τὰ κατὰ τοὺc πολεμίουc ἐληΐζοντο, καὶ ἀναφανδὸν καὶ τότε διὰ τῆc νυκτὸc τὰ πρὸc τὸν πόλεμον ἔπραττον. ἐπεὶ δ' αὐτίκα δράcειν ἔμελλον, ἐγγὺc ὁδοῖό φαcι (v. 274)· τὰ γὰρ ἐγγὺc ἀπανταχοῦ ἐcτι cημεῖα. ἐν δεξιᾷ δὲ χώρᾳ ἡ κλαγγὴ αὐτοῖc γίνεται, ὅτι ἡ δεξιὰ ἀλλοτρία χώρα, ἐν ᾗ τοῖc δυcμενέcιν ἔμελλον ἔcεcθαι ἀλγηδόνεc, τοῖc δ' ἀκούcαcι χαρά τιc καὶ ἔρυμα. ὁ γὰρ ἐρωδιὸc οὗτοc ὡc ἐπὶ τὸ πολὺ τότε κλαγγάζει, ἡνίκα εὖ πράττει καὶ εὐθυμεῖ ἄγραc ἕνεκα. ἔτι δὲ ὁ ἐρωδιὸc λέγεται ἀφροδιcίων ἕνεκα αἷμα δακρύειν καὶ προπίπτειν αὐτοῦ τοὺc ὀφθαλμοὺc καὶ ἀποθνήcκειν, ὥcτε τῇ δεξιᾷ χώρᾳ ὀφθεὶc τῇ ἀλλοτρίᾳ τοὺc ἀλλοτρίουc καὶ πολεμίουc γάμων ἕνεκα ἐδήλου τεθνήξεcθαι. καὶ Ἕρμων δὲ ὁ Δήλιοc γράφει· ἐρωδιὸc ὁ πέλλοc ἐν πεδίῳ φαινόμενοc δαπέδου μεδέοντοc ἐcτὶ Ποcειδῶνοc, ἄρ.μενοc εἰc πόλεμόν τε καὶ

1 τὰ cod. om.; add. Bkk. 11 ἔπειτα conieci; cod. ἐπεὶ 16. 17 pro ἀπανταχοῦ Lehrs, ap. Kamm. p. 70, τοῦ ἀπαντᾶν ταχύ coni.; pro χώρᾳ Kamm. χειρὶ 23 εἵνεκα cod.; corr. Vill. ἐρῶν cod.; rectum schol. B et Eust. (v. infra) suppeditaverunt 24 sqq. versus Hermonis quos corruptos esse constat ita attuli ut in cod. leguntur, nisi quod verbo πεδίῳ bis ι subscrpt. addidi; lin. 25 ἄρ.μενοc ρ e corr. habet, ante μ una litt. erasa est

δηλοῖ ὅτι οὐκ ὀφθήcονται μὲν, εἴcονται δὲ τὰ τῶν πολεμίων ἐκ τῆc φωνῆc Δόλωνοc. Cf. infra ad lin. 23 sqq.

3 sqq. †A v. 274 c. l. *τοῖcι δὲ δεξιὸν ἦκεν ἐρωδιόν: εἰκότωc ἡ Ἀθηνᾶ ἐπιπέμπει αὐτοῖc ἐρωδιόν. τοῖc γὰρ ἐπὶ λαθραίουc πράξειc ἀπιοῦcιν αἴcιοc* (cf. ad lin. 23 sqq.). *ἄλλωc τε ὅτι καὶ δι' ἑλώδουc ἐβάδιζον τόπου· ἕλειον δὲ καὶ τὸ ζῶον. διὰ τί δὲ οὐκ εἶπε μᾶλλον τὴν γλαῦκα, οὖcαν ἱερὰν τῆc Ἀθηνᾶc; λυτέον* ⟨Dind.; cod. *ῥητέον*⟩ *οὖν τὸ ἄπορον καιρῷ καὶ τόπῳ. διατρίβει γὰρ τὸ ὄρνεον περὶ τοὺc ἑλώδειc τόπουc, καὶ θηρευτικὸν τὸ ζῶον. ἱcτορεῖ δὲ περὶ αὐτοῦ Ἀριcτοτέληc ἐν τῷ περὶ ζώων* (p. 609ᵇ 21). — Ex Alexandro Aelianus, h. a. X, 37, hausisse videtur.

23 sqq. †B f. 135ᵃ ad *ἐρωδιὸν* v. 274 (id. Lp f. 176ᵃ c. l. *ἦκεν ἐρωδιὸν*): *ἀγαθὸν λίαν τὸ cημεῖον τοῖc ἐνεδρεύουcιν, ὥc φηcιν Ἕρμων. ἐδήλου δὲ ὅτι οὐχ ὁραθήcονται μὲν ἔκπυcτα δὲ καὶ ἄκρυπτα δράcουcιν ἐν τοῖc πολεμίοιc. ἐρωδιὸν δὲ ἔπεμψεν, ἐπεὶ ἑλώδηc ὁ παρὰ τῷ Cκαμάνδρῳ τόποc καὶ ὑδατῶδεc τὸ*

ἐν νήεccι μάχεcθαι ἐcθλόc· καὶ πεζοῖcι καὶ ἱππήεccιν ἄριcτοc ἐν πεδίῳ θεμένοιcι μάχην, ἐν ὄρει δέ τε χείρων φαινόμενοc· μάλα γὰρ πέλεται νικηφόροc ὄρνιc ἔc τε βρομίην ὀρμένω ἀπειλίην ἄρμενοc ὁπλίτην κεν ἄγων οἴκονδε νέοτ. 5 οὕτω δὲ καὶ ἀξιοῦcιν οὐ Παλλὰc Ἀθηναίῃ γράφειν, ἀλλὰ πέλλον, τοὺc δὲ μεταγράψανταc τῷ ἐπιθέτω ψυχαγωγηθῆναι, οὐ τῇ ἀληθείᾳ δὲ ἀκολουθῆcαι· ὅθεν καὶ Ζώπυροc ἐν τετάρτῳ Μιλήτου κτίcεωc γράφει· „ἐν τῇ νυκτεγερcίᾳ τοῦ ποιητοῦ θέντοc πέλλον Ἀθηναίῃ, μεταγράφουcί τινεc καί φαcι Παλλὰc Ἀθηναίῃ, τῷ ἐπιθέτῳ ψυχαγωγούμενοι 10 ἀλλ' οὐ τῇ ἀληθείᾳ ἀκολουθοῦντεc. τρία δὲ γένη ἐcτὶν ἐρωδιῶν, καὶ τῇ χροιᾷ διαλλάccοντα ἀλλήλων καὶ τῇ πράξει διάφορα ὄντα καὶ τῇ φωνῇ· ἓν μέντοι γένοc ἐcτὶν ἐρωδιῷν τὸ καλούμενον πύγαργον, ὅπερ ἐcτὶ πρὸc γάμον τῶν πάντων δυcαντητότατον· ἐν γὰρ τῷ cυνουcιάζειν ἀπόλλυται μετὰ πόνου· προβάλλει γὰρ τοὺc ὀφθαλμοὺc καὶ αἱμορραγεῖ. 15 ἄλλοc ἐcτὶν ἐρωδιὸc ὃν καλοῦcιν ἀφροδίcιον· οὗτοc δὲ ἐν μὲν τῇ cυνουcίᾳ ἁρμόζει, πρὸc δὲ γάμον καὶ cυμφωνίαν βίου αἰcιώτατοc. τρίτοc δὲ πέλλοc, ὁ μελάγχρουc, καὶ πρὸc λαθραίαν πρᾶξιν ἄριcτοc πάντων ἐcτίν. οὐκ ἤμελλεν οὖν ὁ ποιητὴc, τριῶν ὀρνίθων ὄντων καὶ τούτων ἴδιον ἑκάcτου φέροντοc πρᾶγμα, ἀφεὶc τὸ τὴν παροῦcαν ὁδὸν cημαῖνον, 20 τῇ κοινοτέρᾳ τῶν ὀρνίθων ἐπὶ πάντων ὁμοίωc χρᾶcθαι." Καλλίμαχοc δὲ ἐν τῷ περὶ ὀρνέων οὐ τὸν πύγαργόν φηcιν εἶναι τὸν ἐν τῇ ὀχείᾳ τοὺc ὀφθαλμοὺc αἱμάccοντα ἀλλὰ τὸν πέλλον, γράφων ὧδε· „ἀcτερίαc, ὁ δ' αὐτὸc καλεῖται ὄκνοc· οὗτοc οὐδὲν ἐργάζεται. πέλλοc· οὗτοc ὅταν ὀχεύῃ κραυγάζει καὶ ἐκ τῶν ὀφθαλμῶν ἀφίηcιν αἷμα, καὶ τίκ- 25 τουcιν ἐπιπόνωc αἱ θήλειαι. λευκόc· οὗτοc ἀνωδύνωc ἐν ἀμφοτέροιc ἀπαλλάccεται".

339. . . . . πῶc δὲ τὸν ἐρωδιὸν μὴ ὁρῶντεc αὐτὸν ὁρῶcιν; ἵcωc ὅτι πρὸc ὄρθρον ἡ cελήνη ἀνέcχεν. B f. 136ᵇ ad φράcατο. Lp f. 177ᵇ c. l. τὸν δὲ φράcατο.

---

4 νέοΤ· (?, potest esse νέοτ, altero τ supra addito) cod. Lehrs ap. Kamm. l. c. versus ita constituit: . . . . . ἀλὸc μεδέοντοc | ἔcτι Ποcειδάωνοc . . . . . | ἄρμενοc εἰc δάπεδόν τε καὶ ἐν νήεccι μάχεcθαι | ἐcθλόc, καὶ πεζοῖcι καὶ ἱππήεccιν ἄριcτοc | ἐν πεδίῳ θεμένοιcι μάχην, ἐν ὄρει δέ τε χείρων, | φαινόμενοc μάλα δ' αὖ πέλεται νικηφόροc ὄρνιc, | ἕcπεροc εἰ λείην ἐπιορμένῳ ἀντιόῳη | („deest fortasse versus") ὅπλα δὲ καὶ λείην κεν ἄγων οἴκόνδε νέοιτο 5 ἀθηναία cod. 8 νυκτηγερcία cod. 17 λαθραίην cod.; corr. Vill. 22 ὧδε Bkk.; cod. δ'

ὄρνεον. ἐδήλου οὖν τὴν ἐπὶ τὰς ναῦς ὑποcτροφήν (quae Lp addit: *τὸ δὲ ἐγγὺς τῆς ἐξόδου πρὸ τοῦ πόρρω αὐτοὺς ἀποβῆναι*, in cod. B alterum schol. efficiunt). Cf. Eust. p. 804, 57 sqq., Paris. ap. Cram., III, p. 88, 22 sqq., et supra ad p. 154, 3 sqq.

7 sqq. †Eust. p. 804, 62 sqq. (unde Lp v. 275, f. 176ᵃ, fluxit): *Ζώπυροc δὲ ἀντὶ τοῦ Παλλὰc πελλὸν γράφει, ὡc ἂν εἴη ὁ φανεὶc οἰωνὸc δηλωτικὸc ἁρπαγῆc. τρία γάρ φηcι γένη ἐρωδιῶν κτλ.*

10 sqq. Per errorem in schol. Porph. ad Ω 315 relato huc recurritur: *ἐζητήθη ποίου μέμνηται ἐνταῦθα Ὅμηροc αἰετοῦ, τοῦ πυγάργου ἢ τοῦ ἀφροδιcίου ἢ πέλλου, περὶ ὧν φηcιν ἐν τῇ Ἰλιάδι Κ.*

B f. 137ᵃ ad δουρὶ v. 370. Lp f 178ᵇ c. l. ἠὲ μέν' ibid.

372. . . . . καὶ πῶς ἅμα τῇ ἀπειλῇ ἀφῆκεν; ὅτι ὀξυλαβείας ἔδει, καὶ οὐκ ᾤετο ὡς ἀπειλῇ μόνῃ πεισθήσεται.. ὑπόνοιαν δὲ αὐτῷ δίδωσιν ὡς οὐ βούλεται αὐτὸν ἀνελεῖν, ἵνα ὑπήκοον ἔχῃ πρὸς τὴν ἀνάκρισιν.

407. e schol. ad v. 167 adscripto excerpt.

*B f. 138ᵃ ad καταλέξω. L f. 117ᵇ. Cf. Phil. XVIII, p. 315, Π.

413. τὸ καταλέξω οὐκ ἔστιν ἁπλῶς ἐρῶ, ἀλλ' εἰς τέλος τοῦ λόγου ἀφίξομαι καὶ καταλέξω. ταὐτὸν γάρ ἐστι τῷ ἀτὰρ οὐ τέλος ἵκεο μύθων (I 56) καὶ ἐπεὶ ᾧ παιδὶ ἑκάστου πείρατ' ἔειπε (Ψ 350). τὸ διεξελθεῖν οὖν τὸν λόγον μέχρι τοῦ ἀπολῆξαι.

*B f. 113ᵃ ad ξύλα πολλὰ Θ 507. L f. 177ᵃ ibid., Π. Vat. ζητ. β'.

416 sqq. τοῦ ποιητοῦ πολλάκις ἐπισημαινομένου περὶ τῶν πυρῶν, ἃς οἱ Τρῶες ἐποιοῦντο ἐκ τῆς τοιαύτης τοῦ Ἕκτορος παραγγελίας (Θ 507 sqq.)·

ἐπὶ δὲ ξύλα πολλὰ λέγεσθε,
ὥς κεν παννύχιοι μέσφ' ἠοῦς ἠριγενείης
καίωμεν πυρὰ πολλά, σέλας δ' εἰς οὐρανὸν ἵκῃ,

καὶ πάλιν (I 232 sqq.)·

ἐγγὺς γὰρ νηῶν καὶ τείχεος αὖλιν ἔθεντο
Τρῶες ὑπέρθυμοι τηλέκλητοί τ' ἐπίκουροι,
κειάμενοι πυρὰ πολλὰ κατὰ στρατόν,

καὶ πάλιν (K 11. 12)·

ἤτοι ὅτ' ἐς πεδίον τὸ Τρωικὸν ἀθρήσειε,
θαύμαζε πυρὰ πολλὰ τὰ καίετο Ἰλιόθι πρό,

εἰκότως ἀσαφέστατόν ἐστι τὸ τοῦ Δόλωνος, ὅτι ἐρωτηθεὶς

πῶς δαὶ τῶν ἄλλων Τρώων φυλακαί τε καὶ εὐναί (K 408)

ἀποκρίνεται (K 416 sqq.)·

(BL) 9 L praemissum εἰς τὸ ἐπὶ δὲ ξύλα πολλὰ λέγεσθε 17 Τρῶες om. BL τηλέκλειτοί τ' L 21 ἰλόθι L 22 τοῦ om. L

(Vat.) 10 ἃς, ς del. V² ἐκ παραγγελίας τοῦ Ἕκτορος τοιαύτης 13 κεν, ν add. V² μετ' ἠοῦς, cui μέσφ' ἡ V² suprascrps. 14 εἰς om. ἵκῃ 17 τηλέκλειτοί τ' 18 στρατοῦ 20 ἤτοι om. 22 ἀσαφές ἐστι 23 δ' αἱ ἄλλων om. φάλακαί τε

---

5 sqq. Cum in cod. B schol. ad v. 413 relatum ab altero eiusdem manus scholio, quod ad Porphyrium referendum esse constat (ad p. 157, 7 edit.) excipiatur, suspicari in promptu est, Porphyrii nomen, quo scholium de *καταλέξω* agens in codice quodam inscriptum esse Dindorfius attulit, errori deberi e simili scholiorum conditione nato. Sed cum pro Porphyriana origine pugnet quod in scholiis ad Odysseam adscriptis (Q γ 97, cf. E γ 80) de eadem re iisdem fere verbis exponitur — neque enim latet, ipsa illa scholia e Quaestionibus excerpta quam saepe variis utriusque carminis locis repetita sint —, illi codici fidem non omni ex parte negaverim. Quanam autem cum quaestione scholium cohaereat investigari nequit; cogitaverit quis de ζητ. Vat. XVII (= *B Λ 121, quod in fine operis edetur) aut (quo Eust. p. 1179, 4—14 ducit) de ζητ. XXI (= *B T 183); sed ex hodierna harum quaestionum conditione nihil certi effici potest.

8 Schol. Paris. 2681 ap. Cram., A. P. III., p. 94, 31, ad *κατάλεξον* K 384: *ἀντὶ τοῦ ἀρχῆς ἀπ' ἄκρης τὰ πάντα εἶπε, διεξόδευσον· τοῦτο γάρ ἐστι τὸ κατάλεξον.*

φυλακὰς δ' ἃς εἴρεαι, ἥρως,
οὔτις κεκριμένη ῥύεται στρατὸν οὐδὲ φυλάσσει·
ὅσσαι μὲν Τρώων πυρὸς ἐσχάραι, οἷσιν ἀνάγκη,
οἵ τ' ἐγρηγόρθασι φυλασσέμεναί τε κέλονται
5 ἀλλήλοις.

τί γὰρ βούλεται τὸ ὅσσαι μὲν Τρώων πυρὸς ἐσχάραι, προδεδηλωμένου ὅτι πολλὰς πυρὰς ἔκαιον; ὃ ἀποροῦντας οὐκ ἔστι ῥᾳδίως συνιδεῖν. λύοντες οὖν λέγομεν ἡμεῖς ὅτι τῶν ἐν τῷ πεδίῳ πυρῶν νῦν οὐ ποιεῖσθαι τὸν λόγον ἀλλὰ βούλεσθαι εἰπεῖν, ὡς ὅσοι Τρῶες αὐθιγενεῖς καὶ
10 οὐ ξένοι ἀλλ' ἑστίαν ἔχοντες, ὅπερ ἐν ἄλλοις περὶ τῶν αὐτῶν λέγει (B 185)·

Τρῶας μὲν λέξασθαι ἐφέστιοι ὅσσοι ἔασι,

τουτέστιν ὅσοι πῦρ τε καὶ ἑστίας ἔχοντες, ὡς καὶ ἐν ἄλλοις (ψ 55)· ἦλθε μὲν αὐτὸς ζωὸς ἐφέστιος, τουτέστιν εἰς τὴν αὐτοῦ ἑστίαν·
15 ἑστία γὰρ ὁ οἶκος· ὃ γὰρ εἶπεν· ἦλθε μὲν αὐτὸς ἐφέστιος, μεταλαβὼν ἔφη (ψ 7)· ἦλθε δ' Ὀδυσσεὺς καὶ οἶκον ἱκάνετο. καὶ πάλιν ἀντὶ τοῦ οἴκος· ἑστίη δ' Ὀδυσσῆος ἀμύμονος, ἣν ἱκάνω (ξ 159). ὁ οὖν κεκτημένος οἰκίαν ἐφέστιος, ὁ δὲ ἄπολις καὶ φυγὰς ἀφρήτωρ ἀθέμιστος ἀνέστιός ἐστιν ἐκεῖνος (I 63). καὶ ἐπὶ τοῦ εἰς ἀλλό-

---

(**BL**) 2 κεκρυμμένη L 3 ὅσαι B 4 κέλλονται B 5 ἀλλήλοισιν L 6 ἔσχαραι L 7 ὃ ἀπορροῦντας . . . (litt. nonnullae deletae) ῥαδίως συνιδεῖν L ῥηιδίως B ante λύοντες vacuum spatium 5 fere litterarum B, λύσις L 9 βούλεσθαι e βούλεσθε corr. B, βούλεσθε L 10 λέξεων L 12 ὅσοι ἐφέστιοι, om. ἔασι, B; λέξασθε ὅσοι ἐφέστιοι, om. ἔασι, L 13. 14 τουτέστιν — ἐφέστιος om. L 14 αὐτοῦ B αὐτὴν L 17 ἑστίη τ' Ὀδ. ἀμ. ἣν ἀφικάνω L 19 ἐστιν ἐκ. om. L

(**Vat.**) 2 οὔτις κεκρ. ῥύεται humiditate deleta V^2 in text. rescrps. στρατὸν V^2 corr. e στρατιὴ οὐδὲ φυλάων 3. 4 πυρὸς — οἵδ' (sic) ἐγρηγόρθασι humiditate deleta V^2 in text. rescripsit 7 πολλ.. (2 litt. evan.) 7. 8 ῥᾷον λύοντες οὖν ἐλέγομεν ἡμ... (3 litt. evan.) περὶ τῶν ἐν πεδ. 9 ..θιγενεῖς V^1, V^2 in marg. αὐ 10 ὃ ἐν ἄλλ. φησὶ 12 .ἔξασθαι ἐφ. ὅσοι ἔασι 13 πῦρ καὶ ... ας ἔχουσιν V^1, ἔστι in marg. V^2 14 ἤτοι εἰς τὴν ἑστίαν ἑστία δὲ ὁ οἶκος 16 ἦλθο (?) δ' ὀδ. V^1, ἦλθ' ὀδυσσεὺς V^2 ἱκάνεται 17 ἱστίη τ' Ὀδυσῆος ἀμ. ἣν ἱκ. om. 19—2 ἐστιν — δαίμων om.

---

6 sqq. †*B f. 138ᵃ ad ἐσχάραι K 418: *προδεδηλωμένου ὅτι πυρὰς πολλὰς ἔκαιον. ὃ ἀποροῦντας οὐκ ἔστι ῥᾳδίως συνιδεῖν. λύοντες οὖν ἡμεῖς λέγομεν ὅτι τῶν ἐν πεδίῳ πυρῶν νῦν οὐ ποιεῖσθαι τὸν λόγον, ἀλλὰ βούλεσθαι εἰπεῖν, ὡς ὅσοι Τρῶες αὐθιγενεῖς καὶ οὐ ξένοι, ἀλλ' ἑστίαν ἔχοντες. ὅπερ ἐν ἄλλοις περὶ τῶν αὐτῶν λέγει· Τρῶας μὲν λέξασθαι* ⟨*λέξασθε* cod.⟩ *ἐφέστιοι ὅσσοι ἔασι, τουτέστιν ὅσοι πῦρ τε καὶ ἑστίας ἔχοντες, ὡς καὶ ἐν ἄλλοις· ἦλθε μὲν αὐτὸς ζῶος ἐφέστιος, τουτέστιν εἰς τὴν αὐτὴν ἑστίαν· ἑστία γὰρ ὁ οἶκος· ὃ γὰρ εἶπεν ἦλθεν αὐτὸς ἐφέστιος μεταλαβὼν ἔφη ἦλθ' Ὀδυσσεὺς καὶ οἶκον ἱκάνετο. ὁ οὖν ἔχων οἰκίαν ἐφέστιος, ὁ δὲ ἄπολις καὶ φυγὰς ἀφρήτωρ ἀθέμιστος ἀνέστιος. καὶ ἐπὶ τοῦ εἰς ἀλλοτρίαν οἰκίαν οἰκοῦντος. καὶ τὰ νῦν ὅσοι πολῖται τῶν Τρώων καὶ ἐφέστιοι καὶ ἑστιούχῳ Διὶ θύουσι. καὶ τὸ περὶ τῶν Φαιάκων εἰρημένον πᾶσι γὰρ ἐφέστιόν ἐστιν ἑκάστῳ, τουτέστιν οὐδεὶς ξένος ἐστὶν ἐνταῦθα, ἀλλὰ πάντες πολῖται ἑστίας καὶ πῦρ ἔχοντες.*

τρίαν οἰκίαν ἐνοικοῦντος ἀλλ' ἐμὲ τὸν δύστηνον ἐφέστιον ἤγαγε δαίμων (η 248). τὸ οὖν ὅσσαι μὲν Τρώων πυρὸς ἐσχάραι δηλοῖ ὅσαι Τρώων ἑστίαι, ἐξ οὗ ὅσοι Τρώων ἐφέστιοι καὶ πολῖται καὶ ἑστιούχῳ Διὶ θύουσιν — ὥσπερ καὶ ὁ Φήμιος Διὸς μεγάλου ποτὶ βωμὸν ἑρκείου (χ 334) καταφεύγει, ᾧ δηλονότι κατὰ πᾶσαν τὴν ἡμέραν ἔθυον —. ὅτι γὰρ τοὺς πολίτας εἶπε μὴ λείπειν ἐνταῦθα διὰ τῆς τοῦ πυρὸς ἐσχάρας, δηλοῖ τὰ ἑπαγόμενα (K 418 sqq)·

οἷσιν ἀνάγκη,
οἵ τ' ἐγρηγόρθασι φυλασσέμεναί τε κέλονται
ἀλλήλοις, ἀτὰρ αὔτε πολύκλητοι ἐπίκουροι
εὕδουσι· Τρωσὶ γὰρ ἐπιτροπέουσι φυλάσσειν.

ἐκ τούτων λύσεις καὶ τὸ περὶ τῶν Φαιάκων εἰρημένον· πᾶσι γὰρ ἐφέστιόν ἐστιν ἑκάστῳ (ζ 265), λέγει γάρ· οὐδεὶς ξένος ἐστίν, ἀλλὰ πάντες πολῖται καὶ ἐφέστιον πῦρ ἔχοντες. διὰ δὲ τοῦ ψιλοῦ ἐξενήνεκται, ὡς τὸ δέχεσθε δέκεσθε.

428. v. ad p. 50, 5—10.

B f. 138b ad ἀνέμοισιν. Lp f. 180a. 437. καὶ εἰ νεήλυδες ἦσαν, πῶς ἐγίνωσκε τὸ τάχος; ἢ ὡς ἀκούσας ἢ ὡς ἀποσεμνύνων πρὸς τὸ μὴ ἀναιρεθῆναι.

A c. l. λευκότεροι χειόνος θείειν δ' ἀνέμοισιν. ..... πῶς ἐδόκει εἰδέναι ὅτι ταχεῖς εἰσιν, εἴ γε νεήλυδες ἦσαν; ἢ ὡς ἀκούσας ἢ ὡς ἀποσεμνύνων, ὡς καὶ σωθησομένων αὐτῶν διὰ τῶν ἵππων μετὰ τὴν Θρᾳκῶν ἐπανάστασιν.

(BL) 2 ὅσσαι, αι in ras., B 4 ὁ Εὐφήμιος B 5 ἕρκειον L (?) 6 διὰ τῆς ex τῆς διά, quod BL praebent, mutavi; Kammer, p. 73: ὅτι γὰρ τοὺς πολ. εἶπεν ἐνταῦθα μὴ λείπειν τὰς φυλακὰς διὰ τοῦ πυρὸς ἐσχάραι, quae ad V² propius accedunt 9 κέλλονται B 10 αὗται pro αὔτε L (?) 15 δεχέσθε B δέχεσθαι δέκεσθαι L

(Vat.) 3 sqq. καὶ ὅτι τοὺς πολίτας εἶπεν ἐνταῦθα (εἶπ. ἐντ. bis scrpt.) μὴ λίπειν τὰς διὰ πυρὸς ἐσχάρας κτλ. lin. 7 V¹; V² in marg. τὰς φυλακὰς διὰ τοῦ πυρὸς ἐσχάρας 10 αὔτε ex ἄτε corr. V² πολύκλειτοι V¹; V² η supr. ει et in fine τ' add. 11 ἐπιτροπέουσι, ω spr. ο addito, V¹; ἐπιτραπέουσι V² 12. 13 ἐπίστιόν ἐστιν ἤτοι οὐδεὶς κτλ. 14 τοῦ om. δέχεσθαι δέκεσθαι, καὶ οὐχὶ οὐκί

2 sqq. †B f. 138a ad *ὅσσαι K* 418 (id. Lp f. 179b c. l. *ὅσσαι μὲν Τρώων*): *ὅσαι Τρώων εἰσὶν* ⟨om. Lp⟩ *ἑστίαι καὶ οἰκίαι. οἱονεὶ ὅσοι εἰσὶν* ⟨om. Lp⟩ *ἐθάδες Τρῶες, οὗτοι φυλάσσουσιν. ἐκ γὰρ τῆς ἑστίας τὸν πολίτην δηλοῖ. ἀνέστιος δὲ ὁ ἄπολις καὶ ἄοικος.*

†L f. 218a (c. l. *ἑσχάραι πυκναί*): ..... *τοῦτο δὲ δηλοῖ ὡς οὐδεὶς ξένος ἐστὶν ἐνταῦθα, ἀλλὰ πάντες πολῖται ἑσχάρας ἔχοντες καὶ πῦρ. ἐκ γὰρ τῆς ἑστίας τὸν πολίτην δηλοῖ.*

†Eust. *K*, p. 815, 9: *ἔχοντες οὖν ἑσχάρας οἱ ἐφέστιοι, καθὰ καὶ Πορφυρίῳ δοκεῖ, τουτέστι πολῖται, ὥσπερ ἐκ τοῦ ἐναντίου ἀνέστιος ὁ ἄπολις καὶ φυγάς.* Quae praeterea ap. Eust. leguntur in scholia Lp (p. 465 extr. Bachm.) et Paris. (A. P. III, p. 95, 30; 259, 1) transierunt.

12 sqq. †Q *ζ* 265: .... *λέγει δὲ ὅτι οὐδεὶς ξένος ἐστὶν, ἀλλ' ἅπαντες πολῖται καὶ ἐφέστιον πῦρ ἔχοντες. διὰ δὲ ψιλοῦ ἀντιστοίχου ἐξενήνεκται, ὡς τὸ δέχεσθαι δέκεσθαι καὶ οὐχὶ οὐκί. τοῦτο δὲ κατὰ διάλεκτον.*

447. ἀδύνατον τὸν οὕτω δειλὸν ⟨Bekk.; δῆλον μὴ cod.⟩ γινώκεcθαι ὑπὸ τῶν ἀριcτέων. λύεται δὲ ἐκ τοῦ ἔθους. καὶ γὰρ πλούcιον αὐτὸν ὄντα εἰκὸc εἶναι διάδηλον· καὶ οὐκ ἂν ἦν ἐν τῷ cυνεδρίῳ τοῦ Ἕκτορος μὴ τῶν ἐπιφανῶν ὤν· καὶ ἔcτιν υἱὸc κήρυκος, τοῖc δὲ τοιούτοις εἰc τὰc ἀποcτολὰc χρῆcθαι εἰώθαcιν. *B f. 138ᵇ ad Δόλων. Cf. Phil. XVIII, p. 345, Π.

καὶ πῶc ᾔδειcαν αὐτοῦ τὸ ὄνομα; εἰκὸc ἦν ὡc κήρυκος υἱὸν πολλάκιc cυμπαρεῖναι τῷ πατρί. ἢ ἠρώτηcαν κρατήcαντεc. B f. 138ᵇ ad Δόλων. Lp f. 180ᵃ.

479. v. ad Ξ 267.

515. πῶc οὐκ ἀλαός ἐcτι τοcούτων πεφονευμένων; οὐ λέγει ὅτι ἐφύλαccε τὰ πραccόμενα ⟨πραττόμενα Lp⟩· ἀπεκεκήρυκτο γὰρ ὑπὸ Διὸc μηδένα μηδενὶ cτρατεύματι βοηθεῖν. ἀλλ' ὡc εἶδεν ⟨οἶδεν Lp⟩ ἐλθοῦcαν Ἀθηνᾶν πρὸc Διομήδην, καὶ αὐτὸc ἦλθε. βραδέωc δὲ ἐνεργεῖ δεδιὼc Δία, ἡ δὲ Ἀθηνᾶ ταχέωc· εἴωθε γὰρ παραβαίνειν τὰc ἐντολὰc Διόc ⟨τοῦ Δ. L⟩. B f. 140ᵃ ad ἀλαοcκοπιὴν. L f. 221ᵃ. Lp f. 182ᵃ c. l. οὐδ' ἀλαοcκοπιήν.

532. Ζητεῖται πῶc πρῶτοc αὐτὸc αἰcθάνεται. ῥητέον ὅτι πρῶτοc αἰcθάνεται ἀγωνιῶν διὰ τὸ αὐτὸν εἰcηγητὴν γεγονέναι τῆc κατακοπῆc. ὡc οὖν γνώμην διδοὺc εἰc τὸ ἐκπεμφθῆναι τοὺc ἄνδραc οὐ μόνον ἠγωνία ὑπὲρ αὐτῶν, ἀλλὰ καὶ τῇ ψυχῇ cυναπεδήμει αὐτοῖc. Paris. 2556 (A. P. III, p. 175, 26). *B f. 140ᵇ ad κτύπον. L f. 221ᵇ.

εἰκότωc· τῶν φρονιμωτέρων γὰρ αἱ αἰcθήcειc ὀξύτεραι. ἢ καὶ B f. 140ᵇ ad πρῶτοc. L l. c.

---

14 BL inc.: πρῶτοc τοῦ ψόφου τῶν ποδῶν ᾔcθετο ἀγωνιῶν κτλ., cf. infra ad h. v. 16 δοὺc BL 17 περὶ αὐτῶν BL cυνεπεδήμει BL L post αὐτοῖc: εἰκότωc δὲ πρῶτοc ἄιε· ὀξύτεραι γὰρ τῶν φρον. αἱ αἰcθ. ἢ καὶ ὅτι κτλ., p. 160, 1; in cod. B alterum ab altero scholio satis magno intervallo diremptum: lin. 18 sqq. in summa pagina, lin. 14—17 in dextro margine inter scholia ad v. 536 et 538 relata leguntur

---

1—7 Fuisse qui difficultatis quae esse videbatur solvendae causa non *Δόλων* legerent sed *δολῶν*, Aristonicus docet, qui addit: *εἰκὸς δὲ τινῶν γινώσκεσθαι ὀνόματα, ὡς ἂν δεκαετοῦς γεγονότος χρόνου, καὶ μάλιστα τοῦ Δόλωνος. ἦν γὰρ κήρυκος υἱὸς πολύχρυσος πολύχαλκος.*

9 sqq. Quaestio in cod. Victoriano (Roemer, de schol. exeget. Iliad. cod. Venet. 453, p. 28) nonnullis verbis additis legitur; inde a lin. 12 (post *ἦλθε*) enim ita se habet: *τοσοῦτον δὲ αὐτὸν ἡ Ἀθηνᾶ προὔλαβεν, ὅσον ἔφθη τῷ Διομήδει τὴν ἀναχώρησιν παραινέσαι, Ἀπόλλων δὲ κατελθὼν οὐδὲν ἔπραξεν ἀλλ' ἕτερον ἐγείρει. βραδέως δὲ ἐνεργεῖ δεδιὼς Δία, ἡ δὲ Ἀθηνᾶ εἰωθυῖα ἐνικλᾶν τῷ Διὶ ὅτι νοήσει* (Θ 408) *καὶ πρότερον παρὰ πρόσταγμα τούτου κατελθοῦσα εἰς τὴν μάχην καὶ νῦν τῷ Διομήδει παρίσταται.* Quae, quoniam ille codex in scholiis ad Porphyrium referendis ad Venet. B auctoritatem non accedit, haud scio an aliunde addita, itaque non propius sed longius quam schol. B ab antiqua quaestionis forma absint (v. proleg.); quam ob rem inter scholia secundi ordinis retuli. Neque Eustathius (p. 821, 54: *οὐδ' ἀλαοσκοπιὴν εἶχεν Ἀπόλλων ... οὐχ ἁπλῶς, ἵνα μή τι πάθωσιν οἱ Τρῶες, ἀλλ' ἵνα μὴ ὑπό τινος τῶν κρειττόνων*) plura, quam B exhibet, legit.

14—p. 160, 3 Quaestionis formam in cod. Paris. recte servatam esse, in codd. BL intercidisse, ex altero scholio sequitur duas aperte *λύσεις* afferente.

14—17. †A v. 532 c. l. *Νέστωρ δὲ πρῶτος: πρῶτος ὁ Νέστωρ κτύπον ἄιε, ὅτι αὐτὸς γνώμην δοὺς εἰς τὸ ἐκπεμφθῆναι τοὺς ἄνδρας ὑπὲρ αὐτῶν ἀγωνιᾷ, μόνον οὐχὶ καὶ τὴν ψυχὴν ἔχων συναποδημοῦσαν.*

ὅτι τῶν ἄλλων μᾶλλον προσεῖχεν, ὡς ἂν τῆς ἐκπομπῆς τῶν κατασκόπων τὴν αἰτίαν ἐπιφερόμενος· ἔοικεν οὖν παρακαλεῖν ὁ ποιητὴς μή τινα καταφρονεῖν γήρως, συνέσεις γὰρ ἔχει πλείονας καὶ ἀρείονας.

*B f. 141ᵃ ad τρισκαιδέκατον. L f. 220ᵃ, Π. 561. πῶς εἰπὼν (v. 494. 95)·

ἀλλ' ὅτε δὴ βασιλῆα κιχήσατο, 5
τὸν τρισκαιδέκατον μελιηδέα θυμὸν ἀπηύρα,

πάλιν διηγούμενος τὰ συμβάντα φησὶ (v. 561)·

τὸν τρισκαιδέκατον σκοπὸν εἵλομεν;

ὁ γὰρ Δόλων τοῖς τρισκαίδεκα συναριθμούμενος τῶν Θρᾳκῶν τεσσαρεσκαιδέκατος ἂν εἴη. δῆλον ὅτι τὸν Ῥῆσον ἐξελὼν καὶ δώδεκα τοὺς ἑταίρους τοῦ Ῥήσου τρισκαιδέκατον μετὰ τῶν ἑταίρων τοῦ Ῥήσου εἰκότως τὸν Δόλωνα κατηριθμήσατο. τί γάρ φησιν; 10

ἵπποι δ' οἵδε, γεραιὲ, νεήλυδες, οὓς ἐρεείνεις,
Θρῄκιοι, τὸν δέ σφιν ἄνακτ' ἀγαθὸς Διομήδης
ἔκτανε (v. 558—60). 15

τοῦτον μὲν καθ' ἑαυτὸν χωρίσας ὠνόμασεν, εἶτ' ἐπάγει πὰρ δ' ἑτάρους δυοκαίδεκα, μεθ' ὧν, ἐξῃρημένου τοῦ βασιλέως, τὸν τρισκαιδέκατον σκοπὸν εἵλομεν. καὶ αὐτὸς δ' ἐπεσημήνατο ὅτι παρὰ τὸν Ῥῆσον ἀριθμεῖται τοὺς ἑταίρους καὶ οὐ σὺν τούτῳ καταλέγει τοὺς ἄλλους. ἔφη γάρ· τὸν δέ σφιν ἄνακτα ἀγαθὸς Διομήδης 20

ἔκτανε, πὰρ δ' ἑτάρους δυοκαίδεκα,

δυοκαίδεκα μὲν τοὺς ἑταίρους, τὸν δὲ σκοπὸν τρισκαιδέκατον. ἑαυτὸν δὲ κοινωνὸν θεὶς τῆς λήψεως τοῦ σκοποῦ οὐκ ἔφη ἀπεκτείναμεν ἀλλὰ εἵλομεν, ἐπεὶ ὥσπερ καὶ τοὺς ἄλλους Διομήδης ἀνεῖλε, συνέλαβε δὲ τὸν σκοπὸν Διομήδει Ὀδυσσεύς. 25

L f. 222ᵇ. *B f. 141ᵃ. πῶς οὖν, φησὶ, δεκατέσσαρας φονεύσας τρισκαιδέκατον λέγει Δόλωνα; ῥητέον οὖν ὅτι Ὅμηρος ἀεὶ τοὺς βασιλεῖς τῶν στρατιωτῶν χωρί-

---

4 πῶς φησιν εἰπὼν L 6 ἀπηῦρα B 9. 10 τεσσαρακαιδέκατος L 13. 14 γεραιὲ διοτρεφέες θρῄκιοι L ἄνακτα L 17 δυωκαίδεκα L 21 ἑτάρους ex ἑταίρους corr. L 21. 22 δυοκαίδεκα in codd. semel scriptum; pro altero Vill. ιβ' 23 κοινὸν B 24 ὥσπερ γὰρ καὶ, om. ἐπεὶ, L Διομήδης om. L 25. 26 schol. L verbo Ὀδυσσεύς finitur; etiam in schol. B post h. v. signum scholii finiti (:—); quae ibi sequuntur καὶ Ὅμηρος ἀεὶ τοὺς βασ. κτλ. (= lin. 27) cum nova linea incipiunt neque tamen signo apposito ad textum referuntur. Videtur is qui scholia *B scripsit initium scholii, quippe quod superioris scholii initio responderet, consulto omisisse

---

4 sqq. v. 495 cum 561 pugnare non fugit Aristarchum, cuius explicandi rationem noster amplectitur (v. Ariston. v. 495. 561).

†B f. 141ᵃ ad τρισκαιδέκατον v. 561: *πῶς τοῦ Ῥήσου καὶ τῶν δώδεκα ἑταίρων συναριθμουμένων τρισκαιδέκατός ἐστιν ὁ Δόλων; δῆλον οὖν ὅτι τὸν Ῥῆσον κατ' ἐξοχὴν ὑπεξεῖλεν.* Cf. Paris. 2556 v. 495 (A. P. III, p. 175, 20): *ὅτι νῦν τοῖς δώδεκα Θρᾳξὶν ἐπαριθμεῖται, τὸν Ῥῆσον τρισκαιδέκατον λέγων, πάλιν δὲ χωρίσας τὸν Ῥῆσον κατ' ἐξοχὴν τοῖς δώδεκα ἑταίροις ἐπαριθμεῖται τὸν Δόλωνα.*

22 sqq. Cf. Porph. P 125.

ζει κατ' ἐξοχήν. ἔθει οὖν κατὰ τὸν ἀριθμὸν κεχώρισται ὁ Ῥῆcος, ὡς ἐπὶ τοῦ Ζεὺς δ' ἐπεὶ οὖν Τρῶάς τε καὶ Ἕκτορα (N 1).

Λ

51. 52. . . . . τὸ δὲ ἀπορούμενον, πῶς μέγα προειπὼν ἐπιφέρει ὀλίγον, τοιοῦτόν ἐcτι· τὸ ἕτερον αὐτῶν χρονικόν ἐcτι, τὸ δὲ ἕτερον τοπικόν· ἤτοι γὰρ πολὺ τοῦ πεδίου προῆλθον αὐτῶν, οἱ δὲ ταχέωc ἐπεδίωξαν, ὡc ἂν ἐφ' ἁρμάτων ⟨ἐφαμαρτῶν cod.; corr. Bkk.⟩· ἢ τῷ χρόνῳ πολὺ προέλαβον οἱ πεζοί, οἱ δὲ ἱππεῖc τῷ καταταχῦναι ⟨καταχῦναι cod.; corr. Bkk.⟩ ὀλίγον ὄπιcθεν ἦcαν. Λ.

53. 54. ἐζήτηται πῶc ἐνεδέχετο ἔχειν τὰc νεφέλαc αἷμα· ῥητέον οὖν ὅτι τὸ τοῦ ὕδατοc λεπτότατον καὶ κουφότατον ἁρπάcαν τὸ πῦρ τὸ τοῦ ἡλίου μετέωρον ἐξήρανε καὶ κατέμιξε τῷ ἀέρι, καὶ τὸ μὲν θολερὸν αὐτοῦ καὶ βαρὺ ἐκκριθὲν ὁμίχλη γίνεται, τὸ δὲ καθαρώτατον καὶ κουφότατον γλυκαίνεται καταλελειμμένον, ἕψοντοc τοῦ ἡλίου καὶ καίοντοc· εἰ γὰρ καὶ τὰ ἄλλα τοῦ ὕδατοc, ἐὰν ᾖ ἁλμυρά, τὸ παρ' ἡμῖν πῦρ γλυκέα ἀπεργάζεται, τί χρὴ προcδοκᾶν περὶ τοῦ δυνατωτέρου πυρὸc ὃ ἥλιον λέγομεν; τὸ ἀναπεμφθὲν οὖν τοῦτο ὕδωρ μέχρι διεcκέδαcται μετέωρον φερόμενον, ὅταν εἰc τὸ αὐτὸ cυcτραφῇ, βαρούμενον κάτω φέρεται καὶ ὄμβροc γίνεται. καὶ ἡ αἰτία· ὅταν νέφεcιν ἐλαυνομένοιc ὑπ' ἀνέμου ἐμπέcῃ πνεῦμα ἐναντίον καὶ νέφη ἕτερα ὑπὸ τούτου διωκόμενα, τὰ μὲν πρῶτα cυcτρέφεται, τὰ δ' ὄπιcθεν αὐτῶν ἐπιφερόμενα παχύνεται καὶ μελαίνεται καὶ καταρραγέντα ὑπὸ τοῦ βάρουc ὄμβρον ἐγέννηcεν. εἴπερ οὖν οἱ ποταμοὶ, πολλοῦ κατ' αὐτοὺc cυντελουμένου *B f. 142ᵇ ad αἵματι. L f. 225ᵇ.

---

9 L inc.: κατὰ δ' ὑψόθεν ἧκεν ἐέρcαc αἵματι μυδαλέαc ἐξ αἰθέροc, τοῦ ὕδατοc τὸ λεπτ. κτλ. 11 κατάμιξε B 12 δὲ om. L 15 περὶ τ. δυν. om. B 16 ὅπερ B τούτου L διεcκέδαcθαι e corr. L 19. 20 ὑπὸ τοῦ διωκομένου L 20 αὐτοῖc L 22 ἐγένηcαν B πολλοῦ κατ' αὐτοῦ cυντελούμενοι L

---

2 Cf. *B f. 169ᵃ (id. L f. 268ᵃ c. l. *Ζεὺς δ' ἐπεὶ οὖν Τρῶάς τε*, A) *N* 1: *κεχώρικε* ⟨*κεχώρηκε* L⟩ *τῶν λοιπῶν Τρώων τὸν Ἕκτορα κατ' ἐξοχήν* . . . . Quod Aristarcho notatum fuisse schol. Ariston. ibid. docet.

3 sqq. Cf. schol. Ariston. *Λ* 51: *πρὸς τὸ δοκοῦν μάχεσθαι· εἰ γὰρ μεγάλως ἔφθασαν, πῶς οἱ ἱππεῖς ὀλίγον μετεκίαθον αὐτῶν;*

6—8 Aristarchum *μέγα* de tempore, *ὀλίγον* de loco accepisse, Ariston. l. c. et v. 52 docet.

22 sqq. †A *Λ* 53. 54 c. l. *ἕρσας αἵματι μυδαλέας* (id. L f. 225ᵇ): *ἐζήτηται* ⟨*δὲ* add. L⟩ *πῶς ἐνεδέχετο* ⟨*τὸ* add. L⟩ *αἷμα ἔχειν τὰς νεφέλας. καὶ λέγουσιν* ⟨*οὕτως τοῦτο* add. L⟩ *οἱ λύοντες τὸ ἀμφίβολον, ὅτι ὡς ἐπὶ μεγίστῳ πολέμῳ* ⟨post *ἀμφιβ.* L: *καὶ ἐπὶ μέγ.*, om. *πολ.*⟩ *πολλῶν ἀναιρουμένων τὸ αἷμα τούτων* ⟨*τοῦτο* L⟩ *ἐπλήρου τοὺς πλησίον ποταμούς, ἀφ' ὧν αἱ νεφέλαι λαμβάνουσαι τὸ ὕδωρ αἱματώδεις δρόσους ἔπεμπον.* Simillima duo scholia cod. Paris. 2556 (Cram., A. P. III, p. 176, 18—25).

†B f. 142ᵇ ad *αἰθέρος* (id. Lp f. 184ᵇ c. l. *ἐξ αἰθέρος*): . . . . *ἠμαγμέναι*

τοῦ φόνου, ἦcαν αἵματος ἀνάπλεοι, εἰκότωc τὸ ἀναφερόμενον ἀπ' αὐτῶν ὕδωρ γίνεται ὄμβροc αἱματώδηc, καὶ τοῦτο μυθῶδεc δοκοῦν οὐκ ἀποφεύγει τὸ πιθανόν.

84. ad Θ 1, p. 111. 112.

86. cf. Θ 53. 54.

155. Vatic. ζητ. κη'. ὡc δ' ὅτε πῦρ ἀίδηλον ἐν ἀξύλῳ ἐμπέcοι ὕλῃ. ἄξυλον ὕλην οἱ μὲν τὴν πολύξυλον ἀποδεδώκαcιν, οἱ δὲ ὁμόξυλον. δηλοῖ γὰρ, φαcὶν .... ὡc ἀκόλουθοc (ἔcτι γὰρ ὁμοκέλευθοc), καὶ ἄβρομοι (N 41) ἅμα βρόμῳ καὶ αὐίαχοι ἅμα ἰαχῇ. οὕτω καὶ ἄλοχοc καὶ ἄκοιτιc ἡ ὁμόλεκτροc καὶ ὁμόκοιτιc· καὶ ἄξυλοc οὖν ἡ ὁμόξυλοc διὰ τὸ πυκνόν. ἐμοὶ δὲ δοκεῖ ἄξυλον λέγειν οὐ κατὰ cτέρηcιν τοῦ ξύλου· ἐπάτὴν cτέρηcιν τοῦ ξύλου· ἐπάγει γάρ· οἱ δέ τε θάμνοι πρόρριζοι πίπτουcιν, ἀλλὰ κατὰ cτέρηcιν τοῦ ξυλίcαcθαι, ἵν' ἡ ἄξυλοc ὕλη,

*B f. 144ᵇ ad ἀξύλῳ, L f. 228ᵇ, Π. ἄξυλον ὕλην οἱ μὲν τὴν πολύξυλον ἀποδεδώκαcιν, οἱ δὲ ἄξυλον. δηλοῖ γὰρ, φηcὶ, τὸ ᾱ καὶ τὸ ὁμοῦ, ὡc ἐπὶ τοῦ ἀκόλουθοc (ἔcτι γὰρ ὁμοκέλευθοc), καὶ ἄβρομοι ἅμα βρόμῳ καὶ αὐίαχοι ἅμα ἰαχῇ. οὕτωc καὶ ἄλοχοc καὶ ἄκοιτιc ἡ ὁμόλεχοc καὶ ὁμόκοιτιc. καὶ ἄξυλοc οὖν ἡ ὁμόξυλοc διὰ τὸ πυκνόν. ἐμοὶ δὲ δοκεῖ ἄξυλον λέγειν οὐ κατὰ cτέρηcιν τοῦ ξύλου· ἐπάγει γάρ· οἱ δέ τε θάμνοι πρόρριζοι πίπτουcιν, ἀλλὰ κατὰ cτέρηcιν τοῦ ξυλίcαcθαι, ἵνα ἡ ἄξυλοc ὕλη, ἐξ ἧc οὐδείc πω ἐξυλεύcατο,

---

1. 2 ὑπ' αὐτῶν B, ὑπ' αὐτοῦ L; corr. Bkk. 2 γινόμενον L

7ᵃ ξύλω V¹, ά suprscr. V² ἐμπέc. (litt. eros.) V¹, οι suprascr. V² 8ᵃ. 9ᵃ ἄξυλον — πολυ humiditate deleta, rescrps. V² 10ᵃ. 11ᵃ inter φαcὶν et ὡc nonnulla tinctura adhibita deleta 11ᵃ ὡc — γὰρ hum. del. rescrps. V² 13ᵃ ἀίcχυοι ἅμα ἰακῇ cod. 15ᵃ .ξυλοc V¹, α sprascr. V² 20ᵃ πίπτ... (3 vel 4 litt. eros.) cod.

7ᵇ L in lemm.: ὡc δ' ὅτε πῦρ ἀίδηλον ἐν ἀξύλῳ 8ᵇ—11ᵇ ἀποδεδώκαcιν, ἄξυλον δὲ ἕτεροι· φηcὶ γὰρ τὸ ᾱ καὶ ὁμοῦ, ὡc ἐπὶ τὸ ἀκόλουθοc L 11ᵇ ἄβρομοc L 12ᵇ ἀίαχοι L 13ᵇ. 14ᵇ ἡ — ὁμόκοιτιc om. L 20ᵇ εὔξυλοc L 21ᵇ verbo ἐξυλεύcατο schol. L finitur; reliqua f. 229ᵃ leguntur, ubi inc.: γαμετὴ λέγεται παρὰ τὸ λέχουc ἑτέρου κτλ. (lin. 4).

⟨ἠλλαγμέναι Lp⟩ δέ εἰcιν αἱ cταγόνεc, ἐπειδὴ καὶ οἱ περὶ Τροίαν ποταμοὶ ἐκ τῶν ἀναιρουμένων αἱματώδειc ἦcαν. Idem fere Eust., p. 830, 6.

Cf. Plut. V. Hom. c. 111: .... *ὅθεν* (e nostro loco et *Π* 459) *δῆλόν ἐcτιν ὅτι τὰ ἀναφερόμενα ἀπὸ τῶν περὶ γῆν ὑδάτων ὑγρὰ ἀναπεφυρμένα τῷ ὕδατι τοιαῦτα ἄνωθεν κατηνέχθη.*

6 sqq. Cf. ad v. 354.

9 Ipse Porph. *Ξ* 200: .... *ἄξυλοc ὕλη ἡ πολύξυλοc.* Id. Suid. v. *ἀξυλία*, Et. M. p. 141, 55, Hesych. v. *ἀξύλῳ ὕλῃ*, Apollon. v. *ἀξύλῳ*, lex. Seguer. p. 413, 11, schol. A *Λ* 155, Eust. *Λ*, p. 837, 54.

10 sqq. De *ἀκόλουθοc* et *ἄκοιτιc* idem ap. Plat., Crat. p. 405 C. D.

17 sqq. Aristarchum, diple posita *πρὸc τὴν ἄξυλον ὅτι πολλὰc ἐκδοχὰc ἔcχηκεν*, in rpretatum esse *ἀφ' ἧc οὐδεὶc ἐξυλίcατο*, Ariston. *Λ* 155 docet.

† Eust. l. c.: *ἢ κατὰ Πορφύριον, ἀφ' ἧc οὐδεὶc ἐξυλεύcατο.* Cf. B f.

ἀφ' ἧς οὐδείς πω ἐξυλεύσατο. καὶ ἄκοιτις δὲ καὶ ἄλοχος ἐμοὶ δοκεῖ κυρίως ἡ παρθενικὴ λέγεσθαι, παρὰ τὸ λέχους ἑτέρου μὴ μετασχεῖν μηδὲ κοίτης. παρ' ὃ καὶ λέγει κουριδίης ἀλόχου (A 114). λοιπὸν δ' ἡ κατάχρησις καὶ ἐπὶ τὰς ἄλλας μετήγαγεν. ὥσπερ κυρίως ἀλεξῆσαι τὸ ὑπὲρ τῶν ἀλόχων βοηθῆσαι· λοιπὸν δ' ἐν καταχρήσει γέγονεν ἐπὶ τοῦ ὁπωσοῦν συμμαχεῖν. καὶ ἀίδηλον δὲ πῦρ (B 455. I 436. Λ 155) οὐκ ἔστι τὸ μεγαλόδηλον, ἀλλὰ τὸ ἀδηλοποιόν, ἐξ οὗ σημαίνει τὸ ἀφανιστικόν. οὕτω γοῦν ἔφη σὺ δὲ κτείνεις ἀιδήλως (Φ 220), ἀφανίζων καὶ ἀδήλους ποιῶν. οὐ κακῶς δὲ καὶ Σέξτος ἀίδηλον ἀποδέδωκε τὸ ἐξ ἀδήλου ἐμπεσόν.

τουτέστιν ἀφ' ἧς ξύλον οὐδεὶς ἔκοψε. καὶ ἄκοιτις δὲ καὶ ἡ ἄλοχος, ὡς ἐμοὶ δοκεῖ, κυρίως ἡ παρθενικὴ λέγεται, παρὰ τὸ λέχους ἑτέρου μὴ μετασχεῖν μηδὲ κοίτης (παρ' ὃ καὶ λέγει κουριδίης ἀλόχου, τῆς ἐκ παρθενίας ἀλλ' οὐ λέχους ἑτέρου μετασχούσης), λοιπὸν δ' ἡ κατάχρησις καὶ ἐπὶ τὰς ἄλλας μετήγαγεν, ὥσπερ κυρίως τὸ ἀλεξῆσαι τὸ ὑπὲρ τῶν ἀλόχων βοηθῆσαι· λέγει γὰρ Ἕκτωρ· ἀλλ' ἵνα μοι Τρώων ἀλόχους καὶ νήπια τέκνα προφρονέως ῥύοισθε (P 223)· λοιπὸν δὲ ἐν καταχρήσει γέγονεν ἐπὶ τοῦ ὁπωσοῦν συμμαχεῖν. καὶ τὸ ἀίδηλον δὲ πῦρ οὐκ ἔστι τὸ μεγαλόδηλον, ἀλλὰ τὸ ἀδηλοποιόν, ἐξ οὗ σημαίνει τὸ ἀφανιστικόν. οὕτως γοῦν ἔφη σὺ δὲ κτείνεις ἀιδήλως, ἀφανίζων καὶ ἀδήλους ποιῶν. οὐ κακῶς δὲ καὶ Σέκστος ἀίδηλον ἀποδέδωκε τὸ ἐξ ἀδήλου ἐμπεσόν. ἡ παραβολὴ οὖν πρὸς τὴν συνέχειαν τῶν πιπτόντων· τί δ' ὀξύτερον ἢ εὐκινητότερον πυρός;

2ª ἀλ..ος V¹, ἄλοχος V² in marg. 5ª πα.. καὶ λ.... V¹ (nonn. litt. eros.), παρ' ὃ καὶ λέγει V² in marg. 13ª τὸ, quod in lin. eros., sprascrps. V² 14ª ἀδηλοποιὸν compendio scrips. V¹, οι add. V²

10ᵇ κύριον L 12ᵇ ἵνα μὴ L 13ᵇ, 14ᵇ προφρονέον L 19ᵇ οὕτω ex ἐξ οὗ corr. L 22ᵇ sqq. οὐ κακ. δὲ ἀποδ. καὶ σέκστος τὸ ἐξ ἀδ. ἐμπ. L potest esse σίκστος B 24ᵇ sqq. haud scio an addita sint propter initium quaest. Porphyrianae in cod. B v. 269 adscriptae (f. 147ª: ἐπεὶ παραβολῆς ἐμνήσθημεν κτλ.), quae in cod. Vat. sexta numeratur et disputationem de imagine a poeta initio libri IX adhibita excipit (v. supr. p. 128)

144ᵇ ad ἀξύλῳ (id. Lp f. 186ᵇ c. l. ἐν ἀξύλῳ): *πολυξύλῳ. ἀφ' ἧς οὐδεὶς ἐξυλίσατο* ...., Apollon. l. c., Hesych. l. c.

3 sqq. Et. M. p. 50, 7: *ἄκοιτις ἡ γυνὴ ἡ ἐκ παρθενίας ἄλλης κοίτης μὴ πειραθεῖσα, ἢ ὁμόκοιτις, καταχρηστικῶς δὲ καὶ ἡ δευτέρου γάμου μετεσχηκυῖα.* Cf. ibid. p. 70, 26 *ἄλοχος* (Orion).

8 (10) Et. M. p. 59, 15: *ἀλέξω παρὰ τὴν ἄλοχον κυρίως τὸ τῇ γυναικὶ βοηθῆσαι, καταχρηστικῶς δὲ καὶ τὸ ὅπως δήποτε.*

14 (18) Apollon. v. *ἀίδηλον*: .... *ποτὲ δὲ τὸν ἀδηλοποιόν κτλ.*, cf. Et. M. 41, 32. Suid. h. v.

24 Eadem in fine schol. BLp h. v. (ad p. 162, 17 sqq.,) cf. ann. crit. ad h. l.

269. I init., p. 128.

B f. 147ᵃ ad ἀνόρουσε. 273. . . . . πῶς δὲ οὐδένα στρατηγὸν ἀνθ' ἑαυτοῦ κατέλιπεν; ἵνα μὴ προτιμήσας ἕνα τοῖς λοιποῖς ἀπέχθηται.

*B f. 148ᵇ ad ἀπέλεθρον. L f. 235ᵃ, H. 354. τουτέστιν ἀμέτρητον, ὃ οὐκ ἔστι μέτρῳ οὐδὲ πελέθρῳ μετρῆσαι. οὕτως ἐστὶ καὶ τὸ ἀμαιμάκετον, ᾧ οὐκ ἔστι μῆκος παραβαλεῖν· ἱστὸν ἀμαιμάκετον (ξ 311), ὃν ἐν ἄλλοις ἔφη περιμήκετον (β 94. 95 ?), περισσῶς μέγαν. καὶ ἡ ἀμαιμάκετος οὖν Χίμαιρα (Z 179. Π 329) τὴν μεγάλην δηλοῖ, πρὸς ἣν οὐκ ἔστι μέγεθος τῶν ὁμοίων παραβαλεῖν· πρὸς γὰρ τὰ ὁμογενῆ τὰ πρός τι· ἡ δ' ἄρ' ἔην θεῖον γένος οὐδ' ἀνθρώπων (Z 180).

356. A 104.

B f. 149ᵃ ad τοξότα. L f. 236ᵃ. Lp f. 191ᵇ. 385. ἀλλὰ καὶ οἱ θεοί, φασί, τοξόται καὶ τῶν ἡρώων οἱ κράτιστοι, Ἀπόλλων, Ἄρτεμις, Ἡρακλῆς, Εὔρυτος· ἀλλὰ καὶ ἐν τοῖς πρὸς Ἴλιον στρατευομένοις Μηριόνης, Φιλοκτήτης, Τεῦκρος. οὐχ ὅτι δὲ τοξότης

---

4 L inc.: εἰς τὸ ὦκ' ἀπέλεθρον ἀνέδραμε 12 φησὶ Lp 13 ἡρακλῆς εὕρηται L

---

2 sqq. Eadem L f. 212ᵇ et Lp (c. l. *ἐς δίφρον ἀνόρουσε*). — Quae ex cod. Vict. ap. Bekk. sequuntur: *καὶ ὁ Μενέλαος παρῆν, βασιλεὺς ὢν δεύτερος. ἔστι δὲ καὶ ἐναγώνιον· ὅ τε γὰρ φόβος μείζων διὰ τὴν ἀπουσίαν τῶν ἀριστέων καὶ ὁ πόθος Ἀχιλλέως μείζων*, non liquet utrum ad quaestionem pertineant an aliunde addita sint.

4 sqq. Haud scio an olim partem quaestionis ad v. 155 editae effecerint.

6 †H (sim. BQ) ξ 311 Dind. (*ἀμαιμάκετον*): *ᾧ οὐκ ἔστι μῆκος παραβαλεῖν. καὶ Χίμαιραν θρέψεν ἀμαιμακέτην, ᾗ οὐκ ἔστι μέγεθος παραβαλεῖν.*

12 sqq. Quaestio male decurtata tradita suppleri potest ex Eustathio, p. 851, 31 sqq., qui in codice quo usus est plura quam nobis servata sunt legit. Sed cum habeat quae illis aut de suo aut aliunde, e. c. ex Herodiano, addiderit, iudicium de singulis non constat. Id unum contenderim, Aristotelis memoriam e Porphyrio eum hausisse; eam enim ita potissimum et ad scholia nostra et ad Eustathium propagatam esse multis locis constat. Neque enim video, cur cum Rosio, Ar. ps. p. 167, pro Aristotele apud eum h. l. *Ἀριστοφάνης* legatur, ut recte Heitz, d. verl. Schrft. d. Ar., p. 273, monuit. Quod autem Rose in schol. Townl. a se collato et Victor. *Ἀρίσταρχος* (pro *Ἀριστοτέλης*) *δὲ ὡ τῷ τόξῳ σεμνυνόμενε* legi iubet, iniuria ab Heitzio impugnari videtur. Eadem enim eorum verborum explicatio (*τὸ δὲ κέρα ἀγλαέ οἱ μὲν ἀντὶ τοῦ τόξοις ἀγλαϊζόμενε*) ab Eustathio, lin. 39, ita affertur, ut cum Aristotelia illa minime cohaereat, et ab Apollonio v. *κέρα ἀγλαέ* ad ipsum Aristarchum revocatur, quod ita accipiendum esse, ut commemoraverit eam neque tamen probaverit Aristarchus, schol. A (Ariston.) *Λ* 385 docet. Cum Apollonio autem de *βοὸς κέρας* (*Ω* 81) interpretando ita consentit schol. Q *μ* 253 et ipsum Aristarchum afferens, ut negari vix possit, etiam apud Plutarchum, d. sol. anim. c. 24 (p. 977 A), iisdem fere verbis de eadem re agentem, pro *Ἀριστοτέλης* recte conici *Ἀρίσταρχος*. Restat ut moneamus, quae ad *Ω* 81 in cod. B tradita sint Aristarchea num e Porphyrio fluxerint diiudicari non posse.

13 sqq. A *Λ* 385 Nican.: *περὶ δὲ τῶν διαστολῶν εἴρηται πολλοῖς ὅτι εἰσὶν ἀμφίβολοι· ἢ γὰρ καθ' ἑαυτὸ ἕκαστον . . . . ἢ κατὰ δύο κτλ.* Cf. † Eust., p. 851, 33.

ὀνειδίζει, ἀλλ' ὅτι φαῦλος· τοῦτο γὰρ ἐμφαίνει τὸ λωβητήρ. εἶτα πάλιν τῇ τριχὶ, φησὶ, κάλλιστε ἐπὶ ἀπάτῃ παρθένων· οὐδὲ γὰρ οὐδὲ τὸ κομᾶν κακόν ἐστι καθ' ἑαυτό.

Ἀριστοτέλης δέ φησι· κέρα ἀγλαὸν εἶπεν ἀντὶ τοῦ αἰδοίῳ σεμνυνόμενον, ἐπὶ τοιούτου σημαινομένου τὴν λέξιν ἐκεῖνος νοήσας. Eust. Λ, p. 851, 52.

405. ἀσύμφορον ἀναπείθειν δεινότερον εἶναι τοῦ ἀποθανεῖν τὸ φυγεῖν. λύεται δὲ ἀπὸ τῆς λέξεως· τὸ γὰρ ἁλώω δύναται καὶ ἐπὶ τοῦ ζωγρηθῶ εἶναι. *B f. 149ᵇ ad ἁλώῳ. Cf. Phil. l. c. p. 345, *II*.

515. ἐμείωσε, φασὶ, τὸν ἔπαινον, μερικὴν αὐτῷ προσθεὶς τὴν εἴδησιν. καίτοι φησὶν ὅς ῥά τε πάσης εὖ εἰδῇ σοφίας (O 411, confus. c. ρ 384). οἱ μὲν οὖν φασιν ὅτι τὸ χειρουργικὸν καὶ τὸ φαρμακευτικὸν εὕρητο παρὰ τοῖς παλαιοῖς· τοῦ γὰρ διαιτητικοῦ Ἡρόδικος μὲν ἤρξατο, συνετέλεσε δὲ καὶ Ἱπποκράτης, Πραξαγόρας, Χρύσιππος. ἔνιοι δέ φασιν, ὡς οὐδὲ ἐπὶ πάντας τοὺς ἰατροὺς ὁ ἔπαινος οὗτός ἐστι κοινός, ἀλλὰ τὸν Μαχάονα μόνον χειρουργεῖν θέλουσι· τὸν γὰρ Ποδαλείριον διαιτᾶσθαί φασι τὰς νόσους. καὶ τεκμήριον ὅτι Ἀγαμέμνων τρωθέντος Μενελάου οὐ Ποδαλείριον καλεῖ, ἀλλὰ τὸν Μαχάονα (Δ 193). [τοῦτο ἔοικε καὶ Ἀρκτῖνος ἐν Ἰλίου πορθήσει νομίζειν ἐν οἷς φησιν· αὐτὸς γάρ σφιν ἔδωκε πατὴρ ἐνοσίγαιος πεσεῖν ἀμφοτέροις, ἕτερον δ' ἑτέρου κυδίων· ἔθηκε· τῷ μὲν κουφοτέρας χεῖρας πόρεν, ἔκ τε βέλεμνα B f. 152ᵃ ad ἰούς τ'. L f. 241ᵇ. Lp f. 191ᵃ c. l. ἰούς τ' ἐκτάμνειν. Cf. Paris. ap. Cramer., A. P. III, p. 15, 18.

3 quae in codd. sequuntur: τὸ δὲ κέρα σὺν τῷ ῖ κτλ., ex Herodiano petita sunt 4 φησι Rose, Ar. ps., p. 166; edit. φασι 9 φησὶ Lp προστιθεὶς Lp 12 εὕρηται L 15 ἐθέλουσι Lp 16 διαιτεῖσθαι Lp 16. 17 τρωθέντα Μενέλαον L 17 τὸν om. L 18 sqq. τοῦτο — νόημα, quae BLLp om., e cod. Vict. (Roemeri comitate collata) addidi; casu enim vel neglegentia in communi illorum codicum fonte intercidisse, inde apparet, quod Eustathius, qui sine ullo dubio h. l. e Porphyrio hausit, eadem ante oculos habuit (p. 849, 42 sqq.). Idem de p. 166, lin. 7—8 (ταῦτα — Ἡρακλέα) dicendum, coll. Eust. lin. 49

1 † Eust. p. 851, 41: *οἱ δέ φασι τὸ κέρα ἀγλαέ ἀντὶ τοῦ κάλλιστε τὴν τρίχα, καὶ τοῦτο οὐχ ἁπλῶς, ἀλλ' ἐπὶ ἀπάτῃ παρθένων κτλ.*, cf. Hesych. v. *κέρα ἀγλαέ*, Et. M. p. 504, 55. — Quam v. *κέρας* notionem ad glossographos Apollon. l. c. retulit; paullo aliter de ea iudicavit Aristarchus ap. Ariston. l. c. (cf. Eust. lin. 46. 49), dubitanter Herodian. (A *Λ* 385).

5 Cf. Hesych. *κέραξ· θρίξ, τόξον καὶ αἰδοῖον.*

6—8 Id. L f. 237ᵃ (nisi quod *σύμφρον* pro *ἀσύμφ.*). — Cf. B f. 149ᵇ ad *ἁλώω* (id. Lp f. 192ᵃ c. l. *αἴ κεν ἁλώω*): *τοῦτο, φησὶ, δεινότερον πάντων, εἰ ζωγρηθῶ καὶ αἰχμαλωτισθῶ· οὐδεὶς γὰρ Ἑλλήνων τοῦτο* ⟨om. Lp⟩ *πέπονθεν.*

9 Versus 515 a Zenodoto, Aristophane, Aristarcho poëtae abiudicatus; .... *μειοῖ γάρ, εἰ μόνον ἰοὺς ἐκτάμνειν καὶ φαρμακεύειν οἶδεν* (A h. v.).

11 sqq. † Eust. *Λ*, p. 859, 39 sqq.

11. 12 Cf. Porph. *Λ* 624: *πρῶτον μὲν οὖν φαμεν ὅτι τὴν δίαιταν ἠγνόουν.* Id. *I* 453: .... *τὴν δὲ περὶ τὰς διαίτας (ἐπιτηδεῦσαι ἰατρικὴν) τὸν Σηλυβριανὸν Ἡρόδικον κτλ.* Sequitur Platonem, rep. III, p. 406 A.

18 sqq. Versus primi corrupte traditi sunt, v. Kinkel, epic. Gr. fragm. I, p. 35, qui Welckerum (cycl. ep. II, p. 178) secutus non recte ad Aethiopidem fragmentum retulit.

caρκὸc ἑλεῖν τμῆξαί τε καὶ ἕλκεα πάντ' ἀκέcacθαι· τῷ δ' ἄρ' ἀκριβέα πάντ' ἐνὶ cτήθεccιν ἔθηκεν, ἄcκοπά τε γνῶναι καὶ ἀναλθέα ἰάcacθαι· ὅc ῥα καὶ Αἴαντος πρῶτος μάθε χωομένοιο ὄμματά τ' ἀcτράπτοντα βαρυνόμενόν τε νόημα.] εἰ δὲ μὴ παράγει τινὰ διαιτώμενον, οὐ θαῦμα· διὰ γὰρ τὸ ἀπρεπὲc παρῆκε τὴν δίαιταν· ἀπρεπὲc γὰρ ἦν τὸν ἥρωα πυρέττοντα παραλαβεῖν ἢ κενούμενον τὴν γαcτέρα ἢ προποτιζόμενον. [ταῦτα γὰρ κωμικά, ὡc καὶ τῷ Διονυcίῳ πεποίηται ἐν Λιμῷ τῶν νόcων Ἡρακλῆc, Ceιληνὸc δὲ κλύζειν πειρᾶται τὸν Ἡρακλέα.] ἢ μόνων τῶν ἐν πολέμῳ ἐνεργούντων μέμνηται· εἰcὶ δὲ φάρμακα καὶ χειρουργίαι. εἰ δὲ ἀπὸ τῶν ἡττόνων ὁ ἔπαινος, καὶ τοῦτο ἰατρικῆc ἐγκώμιον, τὸ καὶ τὰ ἥττω μέρη ταύτηc εἶναι πολλῶν ἀντάξια.

*B f. 152ᵇ ad λέοντα. **B f. 153ᵃ ad ὄνος (B¹). L f. 242ᵃ. A.

548 sqq. διὰ τί ὁτὲ μὲν λέοντι παραβάλλει τὸν Αἴαντα, ὁτὲ δὲ ἐν ἄλλῳ (v. 558) ὄνῳ; λύcιc. ὅτι αἱ μὲν παραβολαὶ τριῶν ἕνεκα γίνονται, αὐξήcεωc ἐνεργείαc caφηνείαc· εἰc τὸ πρόcφορον δὲ ἓν ἑκάτερον ἐτήρηcεν ὁ ποιητήc, εἰπὼν Αἴαντα καὶ φονεύοντα λέοντοc δίκην καὶ τῶν πολεμίων ἀναχωροῦντα ὡc ὄνον. ταῖc γὰρ φύcεcι τῶν ζώων καὶ τὸ ὀκνηρὸν πρὸc φυγὴν καὶ τὸ ταχὺ πρὸc μάχην τοῦ ἥρωοc δεδήλωκεν.

559. v. ad v. 548 sqq.

596. Є 7.

L f. 243ᵃ.

597. πῶc, φαcὶ, δύνανται Νηλέωc οὖcαι αἱ ἵπποι ἐπὶ τὸν Νέcτορα τὸν γέροντα φθάcαι ζῶcαι; ἢ δῆλον ὅτι τὰc ἀπογόνουc τῶν ἵππων ἐκείνων λέγει, ὥcπερ καὶ τὸ Τρώιοι φηcὶν ἵπποι (Є 222), οἱ ἀπὸ τοῦ Τρωόc, κατὰ διαδοχὴν τῶν ⟨τοῦ cod.⟩ ἀπ' ἐκείνων.

---

5 τὰ διαίτου L 6 παραβαλεῖν L 7. 8 v. p. 165, 18 sqq. 11 τὰ ἡττώμενα μ. L 12 L praem. ἀπορία A inc.: διὰ τί ὁτὲ μὲν λ., ὁτὲ δὲ ὀν. παραβ τὸν Αἴαντα; ὁτὲ (bis), spir. in ras. scrpt., B 13 ἄλλοιc B¹ λύcιc om. B¹; pro eo A ῥητέον οὖν 14 cυνεργίαc B¹, cυνεργίαc (ι in ras.) B, ἐνεργείαc Eust. suppeditat αὐξ. καὶ ἐναργ. καὶ caφ. L 15 διετήρηcεν A εἰπὼν in uno A ἄγοντα pro Αἴαντα BB¹L 16 ἀναχωρεῖν BLA 17 δέδωκεν pro δεδήλωκεν BB¹

---

7 De Dionysii fabula sive *Λιμός* sive *Λινός* inscribenda v. Meineke, fr. com. Gr. III, p. 553; V, 1, p. 91; Nauck, fr. trag. Gr. p. 617.

11 Quae in Vict. sequuntur de difficultate *ὑπερβατῷ* solvenda (meliora in altero schol. L, f. 241ᵃ = Paris. ap. Cram. l. c., lin. 12—18) ad Porph. referre non audeo; neque enim Eust. legit.

12 sqq. Cf. Eust. *Λ*, p. 861, 45 sqq., quem plura in libris suis legisse apparet.

Schol. A *Λ* 559 *ὅτι δοκεῖ μάχεσθαι· εἰ γὰρ κατεάγη πολλὰ περὶ αὐτὸν ῥόπαλα, οὐ δύναται ἡ βία τῶν τυπτόντων νηπία εἶναι κτλ.*, ad Aristonicum potius quam ad Porphyrium referendum videtur (cf. A Z 265. *Λ* 51).

16. 17 Zenodoto v. 548—57 pro spuriis habenti oblocutus Aristarchus: *ὁ μὲν γὰρ λέων πρὸς τὴν πρᾶξιν, ὁ δὲ ὄνος πρὸς τὴν ὑπομονὴν κτλ.*, (A *Λ* 548).

20 sqq. † Eust. *Λ*, p. 865, 1 sqq. — Fuisse qui difficultatis quae esse videbatur vitandae caussa scriberent *Νηλήιον* schol. Vict. h. v. perhibet.

αἱ ἀπόγονοι τῶν ἵππων ἐκείνων· οὐ γὰρ δυνατὸν ἦν φθάσαι ἐπὶ τὸν γέροντα Νέστορα τὰς ἵππους τοῦ Νηλέως ζώσας. ὥσπερ καὶ Τρώιοι ἵπποι οἱ ἀπὸ τοῦ Τρωός, κατὰ διαδοχὴν τῶν ⟨τοῦ cod.⟩ ἀπ' ἐκείνων. *B f. 153ᵇ ad Νηλήιαι.

611. διὰ τί τὸν Πάτροκλον ὁ Ἀχιλλεὺς πέμπει; ῥητέον οὖν ὅτι κατ' οἰκονομίαν. ἐπειδὴ γὰρ ἄπρακτος ἡ πρεσβεία γεγένηται, διὰ Πατρόκλου βούλεται Νέστορα κατορθῶσαι τοῦτο, ὅπερ οὐκ ἐποίησαν οἱ πρέσβεις. ὥστε προῳκονόμησε τοῦτο ὁ ποιητὴς οὕτως, ἵνα καὶ Νέστορος τὴν τῶν λόγων δύναμιν παραστήσῃ καὶ Ἀχιλλέα δείξῃ μετ' εὐλόγου προφάσεως εἰς τὸν πόλεμον ἐξάγοντα τὸν Πάτροκλον. *B f. 151ᵃ ad ἴθι νῦν. L f. 243ᵇ. A.

624. ὅλος ὁ τόπος οὗτος ἐλέγχεται ὡς παρὰ τὴν ἰατρικὴν ἱστορίαν πεποιημένος. ὅσοι μὲν οὖν λύουσιν, ὡς τῶν ἡρώων ἑτέρως εἰθισμένων θεραπεύεσθαι διὰ τὸ μὴ ταῖς αὐταῖς διαίταις τοὺς ἰατροὺς ἐπιπολάζειν χρωμένους, ἀπὸ τοῦ ἔθους ἀπολογοῦνται· ὅσοι δ' ἐλέγχουσι τὴν σύνθεσιν πάντων ἐξαλλάσσειν τὴν καθ' ἕκαστον δύναμιν, ἀπὸ τῆς λέξεως ἐπιχειροῦσιν. οἱ δὲ νῦν πάντες, οὐκ εἶναι χαλεπὸν τὸ τραῦμα οὐδὲ πρὸς θεραπείαν δίδοσθαι τὸ πόμα, τῷ δὲ κοινῷ ἔθει πίνειν οὐ μόνον τὸν Μαχάονα ἀλλὰ καὶ τὸν Νέστορα τὸ τοῖς κεκμηκόσι σκευαζόμενον ποτόν — τοιοῦτον γὰρ προσφέρειν καὶ τὴν Κίρκην τοῖς πρὸς αὐτὴν καταγομένοις (κ 234) — ἀπὸ τοῦ καιροῦ λύουσιν. *B f. 154ᵃ ad κυκεῶ. L f. 244ᵃ, *H*.

οὐ δεόντως, φασίν, ὁ Μαχάων καὶ ταῦτα ἰατρὸς ὢν τὸν κυκεῶ προσφέρεται, συνεστῶτα ἐκ μέλανος οἴνου — τοιοῦτος γὰρ ὁ Πράμνιος — καὶ τυροῦ ἐπικεκνησμένου καὶ ἀλφίτων· φλεγματώδη δὲ ταῦτα καὶ πολέμια τοῖς τραυματίαις. πρῶτον μὲν οὖν φαμεν, ὅτι τὴν δίαιταν ἡγνόουν καὶ ἀνδρειότερα ὅμως εἶχον τὰ σώματα, ὡς καὶ ἀγωνίζεσθαι τοὺς τραυματίας, εἶτα ὅτι ἀρίστου ἰατροῦ ἐστι τὸ ἰᾶσθαι μὴ μετακινοῦντα τὴν συνήθη δίαιταν. ἄλλως τε ἐξ ἐπιπολῆς ἡ πληγή· εἰ δὲ καὶ κατὰ βά- B f. 154ᵃ ad τεῦχε κυκεῶ. L f. 248ᵃ. Lp f. 196ᵇ c. l. τοῖσι δὲ τεῦχε κυκεῶ.

---

5 L praem. ἀπορία διὰ τί δὲ τ. Π. AL post πέμπει L ins. λύσις οὖν om. A 7 τοῦτο κατορθ. L, διὰ Πατρ. Νεστ. βούλεται τοῦτο κατ. A 8 οὕτως om. A 10 ἐξάγειν AL τὸν Πατρ. om. A 11 L in lemm.: χάλκεον κάνεον, ἐπὶ δὲ κρόμιον ποτῷ ὄψον ἠδὲ μέλι χλωρόν, παρὰ δ' ἀλφίτου ἱεροῦ ἀκτήν (v. 630. 31) 13 ταῖς αὐτοῦ διαίταις ἀεὶ τοὺς ἰατρ. L 15 pro λέξεως Kamm., p. 78, ἕξεως coni. 16 pro νῦν πάντες Lehrs, ad Herod. app. p. 460, συνιστάντες coni. 18 τὸν pro τὸ L 19 τοῖς ἐκεῖσε κατ. L 20 λύουσιν Lehrs l. c.; codd. λέγουσιν 21 φησιν L τὸν κυκεῶνα L 22 πράμνιος, suprascript. ει, Lp 23 ἐπικεκνησμένου, ης postea add., B; ἐπικεκνισμένου LLp 27 ἐξ ἐπιπολλῆς LLp

---

* 16 sqq. Simil. Plut., V. Hom., c. 210. — Fuerunt qui negarent, ab Homero Machaonem induci vulneratum, v. Asclep. Myrl. ap. Athen. XI, p. 493 A, cf. Eust. *A*, p. 870, 37.

24 Cf. Plat., rep. III, p. 406 A: *καὶ μὲν δή, ἔφη, ἄτοπόν γε τὸ πῶμα οὕτως ἔχοντι. Οὐκ, εἴ γ' ἐννοεῖς, εἶπον, ὅτι τῇ παιδαγωγικῇ τῶν νοσημάτων ταύτῃ τῇ νῦν ἰατρικῇ πρὸ τοῦ Ἀσκληπιάδαι οὐκ ἐχρῶντο, ὥς φασι, πρὶν Ἡρόδικον γενέσθαι.* Id. ipse Porph. *A* 515.

θους, οὐδ' οὕτως ἀδόκιμον τὸ πόμα· ῥύσις γὰρ αἵματος λειποθυμίαν ἐργάζεται· ὁ οὖν μέλας οἶνος παχύνων τοὺς χυμοὺς καὶ τὴν ἐπίρρυσιν τοῦ αἵματος τὴν ἐπὶ τὸ τραῦμα παχύνει καὶ συστέλλει· ὅθεν καὶ τοῖς κοιλιακοῖς αὐτὸν ἔνιοι προσάγουσι διὰ τὸ εἴργειν τὸ ὑγρόν. ἀλλὰ καὶ τὸ ἄλφιτον παχύνει τὰ ὑγρά. καὶ τὸ κρόμυόν ἐστι διουρητικὸν καὶ μάχεται τῇ φλεγμονῇ· ὅθεν καὶ τοῖς κυνοδήκτοις αὐθωρὸν προσάγεται. ἢ οὐ πρὸς θεραπείαν ἀλλὰ πρὸς ἀνάψυξιν ἐδίδοτο τὸ πόμα, καὶ Νέστωρ γοῦν λαμβάνει· τοῖς κακοπαθοῦσι γὰρ ἐπιτήδειος ὁ κυκεὼν τροφὴν ἅμα καὶ ποτὸν ἔχων.

L f. 245ᵇ, *H.* Cf. Paris. ap. Cram., A. P. III, p. 16.

636. 37. Νέστωρ δ' ὁ γέρων ἀμογητὶ ἄειρεν. διὰ τί πεποίηκε μόνον τὸν Νέστορα αἴροντα τὸ ἔκπωμα; οὐ γὰρ εἰκὸς ῥᾷον αἴρειν νεωτέρων ⟨νεώτερον L⟩. καὶ Στησίμβροτος οὖν φησιν, ἵνα δοκῇ εἰκότως πολλὰ ἔτη βεβιωκέναι· εἰ γὰρ παράμονος ἡ ἰσχὺς καὶ οὐχ ὑπὸ γήρως μεμάρανται, καὶ τὰ τῆς ζωῆς εὔλογον εἶναι παραπλήσια. Ἀντισθένης δέ· οὐ περὶ τῆς κατὰ χεῖρα βαρύτητος λέγει, ἀλλ' ὅτι οὐκ ἐμεθύσκετο σημαίνει· ἀλλ' ἔφερε ῥᾳδίως τὸν οἶνον. Γλαῦκος ⟨Γλαύκων dubitanter Heitz, d. verl. Schrft. d. Aristot., p. 260, 2⟩ δέ, ὅτι κατὰ διάμετρον ἐλάμβανε τὰ ὦτα, ἐκ μέσου δὲ πᾶν εὔφορον. Ἀριστοτέλης δὲ τὸ Νέστωρ ὁ γέρων ἀπὸ κοινοῦ ἔφη δεῖν ἀκούειν ἐπὶ τοῦ ἄλλος, ἵν' ᾖ· ἄλλος μὲν γέρων μογέων ἀποκινήσασκε τραπέζης, Νέστωρ δ' ὁ γέρων ἀμογητὶ ἄειρεν, πρὸς γὰρ τοὺς καθ' ἡλικίαν ὁμοίους γενέσθαι τὴν σύγκρισιν.

B f. 154ᵇ ad ἄλλος. Lp f. 196ᵇ c. l. ἄλλος μὲν μογέων.

οὐχ, ὥς τινες, ἐπὶ Μαχάονος τὸ ἄλλος ἐκδέχεσθαι χρή, ἀλλ'

---

1 εὐδόκιμον Lp ῥόσις B λειποθυμίαν, ει ο corr., B 3 καὶ στέλλει BLp 5 κρόμυον, υ in ras., B 7 post πρὸς 4 vel 5 litt. eras. B ἀνάπτυξιν Lp

---

5 † Paris. ap. Cramer., A. P. III, p. 260, 20.

7 Cf. Porph. Ξ 1: ... *τάχα γοῦν τὸν κυκεῶνα πίνειν φησὶν* (*τὸν Νέστορα*), *ὃς εἶχε καὶ οἶνον.*

10 Versus 636 diple notatus erat *πρὸς τὸ ζητούμενον, πῶς ὁ γέρων ἀμογητί, οἱ δὲ ἄλλοι μετὰ κακοπαθείας* (schol. A). — Quaestiones de ipso Nestoris poculo a grammaticis (v. Athen. XI, p. 488 A sqq.) institutas Porphyrium congessisse vel respexisse veri quidem simile est, sed neque e scholiis neque ex Eustathio probari potest.

12—18 † *B f. 154ᵇ (subiunctum schol. supra, lin. 23 sqq., edito): *Στησίμβροτος δέ φησιν, ἵνα δοκῇ εἰκότως πολλὰ ἔτη βεβιωκέναι· εἰ γὰρ παράμονος ἡ ἰσχὺς καὶ οὐχ ὑπὸ γήρως μεμάρανται, καὶ τὰ τῆς ζωῆς εὔλογον εἶναι παραπλήσια. Γλαῦκος δέ, ὅτι κατὰ διάμετρον ἐλάμβανε τὰ ὦτα, ἐκ μέσου δὲ πᾶν εὔφορον* ⟨*πανεύφορον* cod.⟩.

16 Cf. p. 169, 6—11, et Eust. *Λ*, p. 870, 32. 43.

18 Aristotelis nomen in Aristarchi mutari voluit Val. Rose, Ar. ps. p. 166, recte obloquente Heitzio, l. c., p. 260, 3. Eadem Sosibii lytici qui vocabatur ratio (Asclep. Myrl. ap. Athen., p. 493 C).

18—22 † L f. 245ᵃ (c. l. *ἄλλος μὲν μογέων*): *προσληπτέον τὸ πρεσβύτης, ἵν' ᾖ· οὐ ῥᾳδίως οὐδὲ εὐχερῶς αὐτὸ* ⟨*αὐτῷ* cod.⟩ *ἐκίνει τῆς τραπέζης τις τῶν λοιπῶν γερόντων, ἀλλὰ μογέων, ὅ ἐστιν ὀκνῶν.*

23 Fuisse qui, ut *ἄλλος* ad Machaonem referrent, *ἄλλος* vel *ἀλλ' ὃς* lege-

ἀορίστως πρὸς ἔπαινον τοῦ γέροντος· θέλει γὰρ εἰπεῖν, ὅτι παντὸς νέου
cωφρονέcτερον ἐβάcταζε τὸ ⟨τὸν Lp⟩ ποτόν. ἔνιοι δὲ ἀπὸ κοινοῦ τὸ
γέρων, ἵν' ᾖ ἄλλος μὲν γέρων μογέων ἐκίνει, ὁ δὲ γέρων Νέcτωρ
ἀμογητὶ ἄειρεν ⟨add. *B: Cτηcίμβροτος δέ φηcιν κτλ., v. ad p. 168,
5 lin. 12⟩.

τὰ γὰρ ἄχθη οὐχ οἱ ἰcχυροὶ ἀλλ' οἱ ἔμπειροι φέρουcι. διπλῶν B f. 154ᵇ ad
γὰρ τῶν ὤτων ὄντων καὶ τοῦ ποτηρίου μεγίcτου, οὐκ ἂν νέος ἀπεκί- ἀμογητὶ.
νηcεν αὐτὸ τῆς ⟨om. Lp⟩ τραπέζης, οὐ διὰ τὸ μὴ δύναcθαι, ἀλλὰ διὰ L f. 244ᵇ c. l.
τὸ πῶς μὴ εἰδέναι· εἰ γὰρ οὐχ ὡς ἔδει αὐτὸ ἦρε ⟨κῆρε L⟩, θραῦcιν ἂν ἀμογητὶ.
10 ἠπείληcε· δίχειρα γὰρ δυcὶν ἀφ' ἑκάcτης ⟨ἑκάcτοις Lp⟩ χειρὸς δακτύ- Lp f. 196ᵇ
λοις τῶν ὤτων λαμβανόμενον ἐχρῆν κινεῖν ἀκόπιυς. c. cod. l.

719. καὶ πῶς πρότερον ἐνίκηcεν; ὅτι πρὸς ἀπείρους ἦν ἡ μάχη, B f. 156ᵃ ad
τὰ δὲ νῦν πρὸς ἐπιcτήμονας. οὐ γάρ πω.

767 sqq. ἀθετοῦνται cτίχοι ιθ'. πῶς γὰρ ὧδε μὲν Πηλεὺς ἀρι- B f. 157ᵃ ad
15 cτεύειν ἐπιτάccει (v. 784), ἐν δὲ ταῖς Λιταῖς μεγαλήτορα θυμὸν ἴcχειν ἐόντες.
(I 255); ὅτι οὗ δέονται, τούτου ὑπομιμνήcκουcιν· ὁρᾷ γὰρ ὁ Νέcτωρ, L f. 249ᵃ.
ὡς ἐλώφηcε νῦν τῆς ὀργῆς. καὶ διὰ τί Πηλεὺς τοὺς περὶ Νέcτορα οὐ
φιλοφρονεῖται, ἀλλ' Ἀχιλλεύς (Λ 777); cπουδάζει ἀποδεῖξαι Ἀχιλλέα
τότε μὲν προθύμως ὑποδεξάμενον ⟨—ος L⟩, νῦν δὲ ἀποδοκιμάζοντα.
20 αὔξει δὲ νῦν τὸν Πάτροκλον ὡς δεόμενος ⟨δεξόμενος L⟩ αὐτοῦ, καὶ
ἠρέμα διδάcκει, ὅτι cύμμαχος ⟨cυμμάχῳ L⟩ τῷ Ἀγαμέμνονι πέμπεται,
οὐχὶ προcθήκη τῆς cυμμαχίας ⟨τοῦ ins. L⟩ Ἀχιλλέως. ἐν καιρῷ δὲ
ἐδήλωcε τὰ ⟨om. L⟩ τῆς cτρατολογίας, ὅτι οἱ ἀριcτεῖς εἰς τὸ ⟨τὸν L⟩
λαὸν ἀγείρειν ἐκπέμπονται.

25 786. τὸ γενεῇ μὲν ὑπέρτερός ἐcτιν Ἀχιλλεύς οὐ λέγει, ὅτι *B f. 157ᵇ ad
γενεῇ.
L f. 249ᵇ, II.

25 L inc.: τέκνον ἐμόν, γενεῇ μὲν κτλ.

rent, schol. A v. 636 (Herodian.) docet, cf. Asclepiad. l. c. p. 493 A; Eust. p. 870, 35. — Verum Aristarchus et post eum Ptolemaeus Ascalonita viderunt, quorum interpretationi ea respondent, quae h. l. legimus: *ἀλλ' ἀορίστως πρὸς ἔπαινον τοῦ γέροντος*. Neque enim causa adest, cur cum Lehrsio scholii Herodianei verba ita mutentur, ut Aristarchus et Ptolemaeus eandem quam Aristoteles et Sosibius rationem secuti sint.

1 Verba *θέλει γὰρ κτλ.* ex uberiore scholio male excerpta esse, ex Eustathio, p. 870, 45, concludendum videtur. Dicit enim: *φασὶ δὲ καὶ τὴν τοῦ πίνειν δυσχέρειαν προμηθῶς ἐπιτετηδεῦσθαι τῷ ποτηρίῳ, ἵνα σωφρόνως καὶ ἐφεκτικῶς, οὐ μὴν ἀπεριμερίμνως καὶ ἀθρόως ἐπιχαίνοντες, ἐκεῖθεν πίνοιεν. βούλεται οὖν συμβολικῶς λέγειν ὁ ποιητής, ὡς ὁ γέρων Νέστωρ παντὸς ἐγκρατέστερόν τε καὶ σωφρονέστερον τὸ ποτήριον σὺν τῷ ποτῷ ἐβάσταζεν.*

6—11 Glauci reddunt rationem in primo scholio breviter adumbratam.

14 sqq. Versus 767—87 Aristarchum Aristophanis exemplum secutum obelo notasse schol. Ariston. v. 767 docet, a quo inter alias eaedem difficultates, quae hic solvuntur, afferuntur. Ad Pium grammaticum scholium nostrum Hiller, Phil. XXVIII, p. 102, retulit, qua de re cf. proleg.

20 sqq. Verba scholii inde ab *αὔξει δὲ νῦν* aliunde illata esse videntur.

τῇ γεννήσει σοῦ ἐστιν ὑπερέχων, ἵν' ᾖ πρεσβύτερος, ὥς τινες τῶν τραγικῶν ἤκουσαν· πῶς γὰρ ἂν ἐπήγαγε· πρεσβύτερος δὲ σύ ἐσσι; ἀλλ' ὑπερτέραν γενεὰν λέγει οὐ τὴν χρόνῳ ὑπερέχουσαν, ἀλλὰ γένους ἀξίᾳ, ὥς που ἔφη· τὸν μὲν ἀρείω

καλλείπειν, σὺ δὲ χείρον' ὀπάσσεαι αἰδοῖ εἴκων, 5
ἐς γενεὴν ὁρόων (Κ 237—39),

καὶ ἐπάγει· μηδ' εἰ βασιλεύτερός ἐστι. τὸ γενεῇ ὑπέρτερος ἔφη ἐν ἄλλοις· Τρώων εὐηγενέων (Ψ 81) καὶ εὐηγενέος Σώκοιο (Λ 427), καὶ τὸ ἐναντίον· τῷ οὐκ ἄν με γένος γε κακὸν καὶ ἀνάλκιδα φάντες (Ξ 126). 10

B f. 159ᵃ ad ἐκτανύσας. L f. 251ᵃ. Lp f. 199ᵇ c. l. ἔνθα μιν ἐκτανύσας.

843. διὰ τί ἐκτανύει καὶ οὐχ ἑστῶτος βελουλκεῖ; ἠδύνατο μὲν καὶ ἑστῶτος βελουλκῆσαι, ἀλλ' οὐ μόνον τοῦ βελουλκεῖν ἔδει· συναγέντος γὰρ τοῦ βέλους ἔνδοθεν τοῦ μηροῦ, οὐκ ἄλλως ἦν αὐτὸ ἐκβληθῆναι ἢ διὰ χειρουργίας, ὅθεν φησὶ τὸ τάμνε μαχαίρῃ· καὶ δῆλον ὡς μαχαίρῃ τὸ σῶμα τεμὼν ἐκβάλλει αὐτό. 15

B f. 159ᵃ ad ῥίζαν. L f. 251ᵃ. Lp f. 199ᵇ c. l. ἐπὶ δὲ ῥίζαν βάλε.

846. τινὲς Ἀχιλλείαν τὴν βοτάνην λέγουσι. καὶ πόθεν αὐτῷ τὸ φάρμακον; ἴσως μὲν συμπεριφέρει τὴν ῥίζαν ὡς χρήσιμον εἰ ἐντύχοι τραυματίᾳ φίλῳ, καὶ μάλιστα εἰκὸς αὐτὸν νῦν εἰληφέναι, ὅτι ἐπὶ τραυματίαν ἔρχεται. τάχα δὲ ἐκ τοῦ παρακειμένου λειμῶνος τὴν ῥίζαν ἔλαβεν ἔμπειρος ὤν. ἴσως δὲ καὶ θεράπων πεμφθεὶς κατὰ τὸ σιωπώμενον ἐκόμισεν. 20

L f. 251ᵃ.

ἐζήτηται δὲ καὶ τὸ ὁποία ἦν ὅλως ἡ ῥίζα, ᾗ αὐτὸν κατέπασσε. λέγουσιν αὐτὴν εἶναι τὴν καλουμένην ἀριστολοχίαν, ἣν καὶ ἴσχαιμον καλοῦσιν.

B f. 159ᵃ ad χερσί. L f. 251ᵃ. Lp f. 199ᵇ c. l. χερσὶ διατρίψας.

847. διὰ τί χερσὶ καὶ οὐ μᾶλλον λειαντικοῖς ὀργάνοις; ὅτι οὐκ ἔδει πολλῆς λεπτότητος τῷ φαρμάκῳ, τοῦ αἵματος, ὥς φησι, κελαρύζοντος καὶ ἀποπτύοντος τὸ λεπτὸν καὶ χνοῶδες. τῷ δὲ Μενελάῳ ἐπιπάσσει τὸ φάρμακον (Δ 219), βραχείας οὔσης τῆς τοῦ τραύματος φορᾶς. 25

---

1 ἐστιν om. L 4 ἀξίαν codd.; corr. Vill. 5 καλλιπεῖν L 6 εἰς L 9. 10 τὸ οὐκ ἄν με εἶναι γένος κτλ. L 12 τὸ βελ. ἐδ. BLp συνεαγέντος BL 13 αὐτῷ L 14 μαχαίρᾳ LLp 16 ἀχίλλειαν BL, Lp accentu caret 17 ἐντύχῃ LLp 18 τραύματι L αὐτῷ νῦν Lp 20 θεραπεύων Lp 27 ἐπιτάσσει L, τῷ δὲ μελάνῳ ἐπιτάσσει Lp

---

3. 4. Sequitur Aristarchum, A v. 786 (Ariston.).

16—21 et 25—28 in cod. A in unum scholium (v. 846) coaluerunt iisdem fere verbis usum; initio alterius partis quaestionis forma abiecta est. In fine additur: *ἄλλοι δὲ αὐτὴν ἀριστολόχειάν φασιν, ἣν καὶ ἴσχαιμον προσαγορεύουσιν* (cf. lin. 23). Cf. Eust. *Λ*, p. 887, 36—41.

16—21 †L f. 251ᵃ v. 846 (c. l. *ἐπὶ δὲ ῥίζαν βάλε πικρήν*): *πρὸς δὲ τοὺς ζητοῦντας, πόθεν εἶχε τὴν ῥίζαν ὁ Πάτροκλος, ἔστι λέγειν, ὅτι ἤτοι κατὰ τὸ σιωπώμενον μεταπέμπεται αὐτήν· ἡ γὰρ ἀρχαία ἰατρικὴ βοτανικὴ* ⟨*βοτάνη* cod.⟩ *ἦν. ἤτοι εἰκὸς αὐτὸν ὡς ἰατρὸν ἐπιφέρεσθαι πρὸς τὰς ἐπικαίρους χρήσεις. ἢ ὅτι ἐκ τοῦ πεδίου ἀνείλετο αὐτήν.* Id. Paris. 2767, A. P. III, p. 245, et schol. min. (huic quidem ea subiuncta, quae lin. 22—24 edidimus); brevius Par. 2894, p. 260.

M

10 sqq. Ὄφρα μὲν Ἕκτωρ ζωὸς ἔην καὶ μήνι' Ἀχιλλεύς, *B f. 158ᵇ ad ὄφρα.
καὶ Πριάμοιο ἄνακτος ἀπόρθητος πόλις ἔπλε, L f. 253ᵃ.
τόφρα δὲ καὶ μέγα τεῖχος Ἀχαιῶν ἔμπεδον ἦεν. A f. 151ᵇ c. l.

ἀπορίαν εἰκότως παρέσχε τὰ ἔπη ταῦτα, ἃ περὶ τοῦ τείχους τῶν Ἀχαι-
5 ῶν ὁ ποιητὴς ἀναπεφώνηκεν. τὸ γὰρ τεῖχος τῶν Ἀχαιῶν οὐκ ἔμενεν
ἔμπεδον ἐφ' ὅσον ὁ μὲν Ἕκτωρ ἔζη καὶ ἐμήνιεν Ἀχιλλεύς, ἡ δὲ τοῦ
Πριάμου πόλις ἀνάλωτος ἔμενε, μετὰ δὲ τὴν ἅλωσιν Ἰλίου καὶ τὸν
ἀπόπλουν τῶν Ἀχαιῶν τότε κατηρείφθη· ἔτι γὰρ τοῦ πολέμου συν-
εστῶτος καὶ Ἀχιλλέως μηνίοντος, Ἕκτορος δὲ περιόντος καὶ ἀριστεύ-
10 οντος, ὑπὸ τῶν Τρώων τὸ τεῖχος τῶν Ἀχαιῶν κατηρείφθη καὶ διοδεύ-
σιμον γέγονε τοῖς πολεμίοις· ὁ μὲν γὰρ Σαρπηδὼν τὰς ἐπάλξεις αὐτοῦ
καὶ μέρος τι καταβέβληκεν, ὁ δὲ Ἕκτωρ τοὺς ὀχῆας αὐτοῦ καὶ τὰς πύ-
λας διέρρηξεν, ὁ δὲ Ἀπόλλων σχεδὸν ὅλον αὐτὸ διέλυσε. φησὶ γὰρ
ἐπὶ μὲν Σαρπηδόνος· ὄφρα. Cf. Phil. XVIII, p. 315, *II*.

15 Σαρπηδὼν δ' ἄρ' ἔπαλξιν ἑλὼν χερσὶ στιβαρῇσιν
ἕλχ', ἡ δ' ἕσπετο πᾶσα διαμπερές, αὐτὰρ ὕπερθε
τεῖχος ἐγυμνώθη, πολέεσσι δὲ θῆκε κέλευθον
(M 397—99),

ἐπὶ δὲ τοῦ Ἕκτορος· ὄφρα μὲν Ἕκτωρ ζωός.

20 ὣς Ἕκτωρ ἰθὺς σανίδων φέρε λᾶαν ἀείρας,
αἵ ῥα πύλας εἴρυντο πύκα στιβαρῶς ἀραρυίας.
στῆ δὲ μάλ' ἐγγὺς ἰὼν καὶ ἐρεισάμενος βάλε μέσσας,
εὖ διαβάς, ἵνα μή οἱ ἀφαυρότερον βέλος εἴη,
ῥῆξε δ' ἀπ' ἀμφοτέρους θαιρούς· πέσε δὲ λίθος εἴσω
25 βριθοσύνῃ, μέγα δ' ἀμφὶ πύλαι μύκον, οὐδ' ἄρ' ὀχῆες
ἐσχεθέτην, σανίδες δὲ διέτμαγεν ἄλλυδις ἄλλῃ
λᾶος ὑπαὶ ῥιπῆς. ὁ δ' ἄρ' ἔσθορε φαίδιμος Ἕκτωρ,
κέκλετο δὲ Τρώεσσιν, ἐλιξάμενος καθ' ὅμιλον,
τεῖχος ὑπερβαίνειν· τοὶ δ' ὀτρύνοντος ἄκουσαν·
30 αὐτίκα δ' οἱ μὲν τεῖχος ὑπέρβασαν, οἱ δὲ κατ' αὐτὰς
ποιητὰς ἐσέχυντο πύλας (M 453. 54; 57—62; 67—70),

ἐπὶ δὲ τοῦ Ἀπόλλωνος καὶ τῶν Τρώων·

τῇ ῥ' οἵγε προχέοντο φαλαγγηδόν, πρὸ δ' Ἀπόλλων

1—3 versus om. A (ubi schol. in marg. exter. ab alia manu litteris minoribus scriptum est) et L 4 εἰκότως om. L παρέχει A 5 ὁ Ὅμηρος ἀναπεφώνηκεν A, h. l. versibus ὄφρα μὲν — ἦεν additis 5. 6 τὸ γὰρ — ἔμπεδον om. A 6 ἐμήνι' L Ἀχ. δὲ ἐμήνιεν A 8 κατηρίφθη L, κατερίφθη A ὅτι γὰρ A 9 μὲν ante μηνίοντος ins. A L 10 κατηρίφθη L, κατερίφθη A 12 τοὺς ὀχ. αὐτοῦ om. A (Dind.) 13—p. 172, 10 φησὶ γὰρ — ἔχουσι om. A 24 θερούς, supra scrpt. αι, L 25 ἄρα L 27 ὑπὸ L 29 ὀτρύνοντα L 30 κατ', τ e θ fact., L 31 εἰσέχυντο L 33 φαλαγγιδόν, ο ex ω fact., L

αἰγίδ' ἔχων ἐρίτιμον, ἔρειπε δὲ τεῖχος Ἀχαιῶν
ῥεῖα μάλ', ὡς ὅτε τις ψάμαθον παῖς ἄγχι θαλάσσης
ἢ ἀθύρματα νηπιέῃσιν
ἂψ αὖτις συνέχευε ποσὶ καὶ χερσὶν ἀθύρων.
ὥς ῥα σύ, ἤιε Φοῖβε, πολὺν κάματον καὶ ὀϊζὺν 5
σύγχεας Ἀργείων (O 360—66).

οἱ δὲ Πανέλληνες τοῖς γεγενημένοις μαρτυροῦντές φασι συμφώνως·

τεῖχος μὲν γὰρ δὴ κατερήριπεν, ᾧ ἐπέπιθμεν,
ἄρρηκτον νηῶν τε καὶ αὐτῶν εἶλαρ ἔσεσθαι,
οἱ δ' ἐπὶ νηυσὶ θοῇσι μάχην ἀλίαστον ἔχουσι (Ξ 55—57). 10

τὸ καταρριφὲν οὖν τεῖχος οὐχ ὑπὸ ἀνθρώπων μόνων ἀλλὰ καὶ θεῶν ἐν τῷ τῆς μήνιδος χρόνῳ, τοῦτο λέγειν ἀσφαλὲς καὶ ἀρηρὸς ἐν τῷ τοῦ πολέμου καιρῷ διαμεμενηκέναι μέχρι πορθήσεως Ἰλίου ἄπορον. εἰς λύσιν οἱ μὲν οὖν γραμματικοὶ κατὰ τοῦ πλείστου μέρους ἀξιοῦσι λέγειν ἔμπεδον· ὀλίγον γὰρ εἶναι τὸ σαλευθὲν ὑπὸ τῶν Τρώων. ἀγνοοῦσι 15 δὲ οὗτοι, ὅτι τινά, κἂν ἐκ μέρους πάθῃ, οὔτ' ἔμπεδά ἐστιν οὔτ' ἀρηρότα. καὶ ἀμφορεὺς διατρηθείς, κἂν σχεδὸν ὅλον τὸ κύτος ἄθραυστον ᾖ, οὐκέτι ἐστὶν ἔμπεδος ἀμφορεὺς ἀλλ' ὄστρακον, καὶ τεῖχος, ὃ μηκέθ' οἷον φυλάσσειν τοὺς τειχίσαντας, οὐκέτ' ἂν εἴη ἔμπεδον τεῖχος ἀλλὰ σωρὸς λίθων. μήποτ' οὖν ἡ ἔμπεδον λέξις οὐκ εἴληπται νῦν μεταφορι- 20 κῶς ἐν ἴσῳ τῷ ἀσφαλὲς καὶ ἀρηρός, οὐδέ ἐστιν ὅμοιον τῷ οὐδέ μοι ἦτορ ἔμπεδον ἀλλ' ἀλαλύκτημαι (K 93) οὐδὲ τῷ τοὶ δ' ἄρ' ἔσαν δίδυμοι, ὁ μὲν ἔμπεδον ἡνιόχευεν (Ψ 641), ἀλλὰ κυρίως νῦν ἐξενήνεκται, τὸ πέδον ἐχούσης ἐντεταγμένον τῆς λέξεως, ὥστε σημαίνοι ἂν τὸ ἐν τῷ πεδίῳ κείμενον καὶ μὴ ἀλίπλοον· ἀντέθηκε γὰρ τὸ ἔμπε- 25 δον τῷ ἁλιπλόῳ, τὸ ἐν τῷ πεδίῳ πρὸς τὸ αὖθις ἁλίπλουν γενόμενον· οὐ γὰρ ἔφη· τόφρα δὲ καὶ μέγα τεῖχος ἀπόρθητον ἦν καὶ ἄθραυστον, ἀλλ' ἔμπεδον, καὶ πάλιν· οὔτι πολὺν χρόνον ἔμπεδον ἦεν (M 9). τί οὖν πάσχει ὕστερον; τῶν ποταμῶν πάντων, φησίν,

ὁμόσε στόματ' ἔτραπε Φοῖβος Ἀπόλλων, 30
ἐννῆμαρ δ' ἐς τεῖχος ἵει ῥόον· ὗε δ' ἄρα Ζεὺς

1 αἰγίδα ἔχων ἐρίτυμον ἔριπε δὲ κτλ. L 2 ῥεῖθα L 8 κατήριπεν codd. 10 μάχον L 11 καταριφὲν A (hinc pergens) et L μόνον AL 14 ἀπὸ τοῦ πλ. μέρ. A 15 Τρώων in cod. B postea pallidiore atram. additum; fuisse videtur vacuum spatium; ὑπὸ τῶν τροφῶν L 16 οὔτε ἐστὶν ἔμπ. οὔτε ἀρ. AL 18 ἢ in cod. B postea pallidiore atram. add. καὶ τεῖχος οὐκέθ' οἷόν τε κρύπτειν τοὺς τειχ. A; id. L, nisi quod οἷόν τε φυλάσσειν habet 20 ἔμπεδος BL 21 ἀραρός A οὐδέν ἐστιν BL 22 ἀλύκτημα L οὐδὲ — δίδυμοι om. A ἦσαν B 24 ἐξενήνεκτο L ὅτι pro τὸ A 26 γιγνόμενον A 28 οὗτοι L 31 εἰς L υἷε AB Ζεὺς, acc. in ras., B

24 Apollon. v. *ἔμπεδον: .... ποτὲ δὲ ἐν τῷ πέδῳ, οἷον τῷ ἐδάφει· τόφρα δὲ καὶ μέγα τεῖχος Ἀχαιῶν ἔμπεδον ἦεν.* Eust. *M*, p. 889, 13: *ἤτοι ἁπλῶς ἐν τῷ πέδῳ ἑστώς.* Etym. M. p. 335, 49: *ἔμπεδον· ἑδραῖον, ἰσχυρόν· ἐκ τοῦ πέδον, ἡ γῆ· πρὸς ἀντιδιαστολὴν τῶν ἐν τῇ θαλάσσῃ.*

cυνεχές, ὄφρα κε θᾶccον ἁλίπλοα τείχεα θείη.
αὐτὸς δ' ἐννοcίγαιος ἔχων χείρεccι τρίαιναν
ἡγεῖτ', ἐκ δ' ἄρα πάντα θεμείλια κύμαcι πέμπε,
φιτρῶν καὶ λαῶν, τὰ θέcαν μογέοντεc Ἀχαιοί,
λεῖα δ' ἐποίηcεν παρ' ἀγάρροον Ἑλλήcποντον
(M 24—30).

ὥcτε εἰ καὶ πεπτωκὸς ἦν τὸ τεῖχος, ἀλλ' ἐπὶ τῷ πέδῳ ἦν τὰ πτώματα καὶ τὰ θεμέλια· ὕcτερον δὲ πάντα δι' ὕδατός φηcιν εἰc θάλαccαν ἐξενεχθῆναι. cυνεcτώcηc δὲ τῆc πόλεωc οὐδὲν τοῦ τείχουc ἁλίπλουν γέγονεν, οὐδ' ὅτε Ξάνθοc ἐπλημμύρει κατ' Ἀχιλλέωc. καὶ τὸ κατὰ μεταφορὰν δ' ἔμπεδον, τὸ cημαῖνον τὸ ἀκίνητον, ἀπὸ τῶν ἐν τῷ πέδῳ μενόντων ἀκινήτων λέγεται. τὸ δὲ τεῖχοc καθ' αὑτὸ μὲν ἐκινήθη, ἐκ μέντοι τοῦ πεδίου οὐ κατηνέχθη εἰc θάλαccαν, ὅπερ φηcὶν αὐτὸ ὕcτερον παθεῖν.

διὰ τί cχεδὸν ὅλου καταλυθέντοc τοῦ τείχουc ἐν τῷ πολέμῳ, πρῶτον μὲν ὑπὸ Cαρπηδόνοc· *B f. 158ᵇ ad ὄφρα. L f. 251ᵇ, *H.*

Cαρπηδὼν δ' ἄρ' ἔπαλξιν ἑλὼν χερcὶ cτιβαρῇcιν
ἕλχ', ἡ δ' ἕcπετο πᾶcα διαμπερέc, αὐτὰρ ὕπερθε
τεῖχοc ἐγυμνώθη (M 397—99),

μετὰ δὲ ταῦτα ὑπὸ τοῦ Ἀπόλλωνοc·

προπάροιθε δὲ Φοῖβοc Ἀπόλλων
[ῥεῖ' ὄχθαc] καπέτοιο βαθείηc ποccὶν ἐρείπων
ἐc μέccον κατέβαλλε, γεφύρωcεν δὲ κέλευθον
(O 355—57), καὶ μετ' ὀλίγον πάλιν·

ἔρειπε δὲ τεῖχοc Ἀχαιῶν
ῥεῖα μάλ', ὡc ὅτε τιc ψάμαθον παῖc ἄγχι θαλάccηc·
ὥc ῥα cύ, ἤιε Φοῖβε, πολὺν κάματον καὶ ὀϊζὺν
cύγχεαc Ἀργείων (O 361. 62. 65. 66)·

πῶc οὖν, πεπτωκότοc τοῦ μέρουc τοῦ τείχουc, φηcὶν ὁ ποιητήc·

ὄφρα μὲν Ἕκτωρ ζωὸc ἦν καὶ μήνι' Ἀχιλλεύc,
τόφρα δὲ καὶ μέγα τεῖχοc Ἀχαιῶν ἔμπεδον ἦεν,

ὅτε δέ, φηcὶν, ἑάλω ἡ πόλιc,

Ἀργεῖοι δ' ἐν νηυcὶ φίλην ἐc πατρίδ' ἔβηcαν·
δὴ τότε μητιόωντο Ποcειδάων καὶ Ἀπόλλων
τεῖχοc ἀμαλδῦναι (M 10—12. 16—18);

ῥητέον οὖν ὅτι ἔμπεδον οὐ τὸ ἑδραῖον καθὰ νῦν cημαίνει ἡ λέξιc, ἀλλὰ κυρίωc τὸ ἐν τῷ πεδίῳ· καὶ πεπτωκὸc δὲ τὸ τεῖχοc ἐν τῷ πεδίῳ

---

1 cυννεχεc A, cυνεχῶc L 5 ἐποίηcε περὶ γὰρ ῥόον L 7 πεδίῳ L 8 φηcιν post θάλαccαν AL 10 ἐπλήμμυρε A ἀχιλλέα A καταφορὰν L 11 πεδίῳ AL 12 κατ' αὐτὸ L 13 οὐ om. A ἐπὶ θάλ. AL αὐτὸc AL 14 schol. L extremis libri A versibus adscriptum est, praemissis verbis ζήτει εἰc τὴν ἀρχὴν τοῦ M ὄφρα μὲν Ἕκτωρ ζωὸc ἦν 16 ἄρ' om. BL 17 ἕπετο BL 21 ῥεῖ' ὄχθαc om. BL ποcὶν BL 22 μέcον BL 23 καὶ μὲν ὀλ. πάλ. L 25 ῥεῖα βάλ' L 32 πατρίδα L 35 καὶ ἀπόρθητον post ἑδρ. ins. L καὶ νῦν codd.

ἔκειτο. οὐκ εἰς πτῶιν οὖν τινα ἡ ἀναβολή, ἀλλ' εἴς τε τὴν τοῦ παντὸς πτῶιν καὶ εἰς τὴν ἐκ τοῦ πεδίου ἐκβολήν. τὸ γὰρ ἐπάγγελμα·

ὄφρα κε θᾶσσον ἁλίπλοα τείχεα θείη·

καὶ πάντα τὰ θεμέλια κύμασι πέμπε,

λεῖα δ' ἐποίησεν παρ' ἀγάρροον Ἑλλήσποντον,
αὖτις δ' ἠιόνα μεγάλην ψαμάθοισι κάλυψε,
τεῖχος ἀμαλδύνας (M 26—32).

ἀντίκειται οὖν τὸ ἀμαλδῦναι τὸ τεῖχος, ὅπερ ἐστὶν ἀφανίσαι ἐκ τοῦ τόπου ἐν ᾧ ἦν, τῷ ἔμπεδον εἶναι. οὐκ ἂν οὖν τὸ ἔμπεδον σημαίνοι τὸ ὀρθὸν ὅλον καὶ ἀκίνητον, ἀλλὰ μόνον τὸ πεδίῳ κείμενον. οὕτω καὶ Ἄρατος ἐπὶ τῶν φυτῶν τῷ ἔμπεδον κέχρηται, εἰπών (phaen. v. 13)· ὄφρ' ἔμπεδα πάντα φύωνται, ἀντὶ τοῦ ἐν πεδίῳ καὶ τῇ γῇ κείμενα.

*B f. 159ᵇ ad ἐννῆμαρ. 25. διὰ τί τὸ τεῖχος οἱ μὲν Ἀχαιοὶ μιᾷ ἡμέρᾳ ἐποίησαν, ὁ δὲ Ἀπόλλων καὶ ὁ Ποσειδῶν ἐννέα ἡμέραις κατέβαλον; ἄλογον γὰρ τὸ μὲν χαλεπώτερον ῥᾳδίως τοὺς ἀνθρώπους ποιῆσαι, τὸ δὲ ῥᾷον, τὸ καταβαλεῖν τοῦ οἰκοδομῆσαι, τοὺς θεοὺς μόλις· ῥητέον δέ· οὐκ εἰς τὸ καταβαλεῖν ταῖς ἐννέα ἡμέραις κέχρηται, ἀλλ' εἰς τὸ ἁλίπλοα γενέσθαι, καὶ τὰ θεμέλια καὶ εἰς τὴν θάλασσαν κατενεχθῆναι

φιτρῶν καὶ λάων, τὰ θέσαν μογέοντες Ἀχαιοί (v. 29),

καὶ ἔτι λειῶσαί τε τὸν τόπον καὶ

αὖθις δ' ἠιόνα μεγάλην ψαμάθοισι καλύψαι (v. 31),

οὐ μὴν τὰ πρὸς τὸ καταβαλεῖν συνηρτημένα εἰς τὸ τέλειον τοῦ ἀφανισμοῦ καὶ τῆς ἠιόνος τὴν εἰς τὸ ἐξ ἀρχῆς ἀποκατάστασιν. ἅμα δὲ καὶ τῷ ποιητῇ ἡ μὲν τῶν Ἀχαιῶν τειχοποιία οὐ παρεῖχε τὴν διατριβήν· οὐ γὰρ εὐπρεπὲς τοὺς ἀριστέας ποιῆσαι λιθοφοροῦντας· ἡ δὲ τῶν θεῶν μεγαλοπρεπής· τοῖς γὰρ ποταμοῖς καὶ τῇ τριαίνῃ διέλυον τὸ τεῖχος. Καλλίστρατος δὲ ἡξίου ἓν δ' ἦμαρ ἐς τεῖχος γράφειν, δασύνοντας τὸ ἕν, ἐπεὶ μηδέποτε καθ' ἑαυτὸ τὸ ἐννῆμαρ ὁ ποιητὴς εἴρηκεν, ἀλλὰ πάντως ἐπάγων τὴν δεκάτην· ἐννῆμαρ μὲν ἀνὰ στρατόν, τῇ δεκάτῃ τε (A 53. 54).

*B f. 159ᵇ ad ἐννῆμαρ. L f. 252ᵇ, H. ἄλογον τοὺς μὲν ἀνθρώπους ποιῆσαι ⟨om. B⟩ μιᾷ ἡμέρᾳ τὸ τεῖχος, τοὺς δὲ θεοὺς ἐννέα ἡμέραις καθελεῖν. οἱ μὲν οὖν ἐκ τῆς λέξεως λύουσι· τὸ γὰρ ἐννῆμαρ εὐεπιπτώτως λέγουσι λέγειν Ὅμηρον. οἱ δὲ δασύνουσιν, ἵνα ᾖ ἓν ⟨ἑνὸς L⟩ ἦμαρ. οἱ δὲ ἀπὸ τοῦ καιροῦ, ὅτι τότε βουλόμενος παντάπασιν ἐξαλεῖψαι τὸ τεῖχος πλασθὲν ὑπ' αὐτοῦ

3 ὄφρά κε B 4 πέμπει L 5 λείαν B 8 ὅπέρ ἐστιν B 12 ἐν τῷ πεδ. καὶ ἐν τῇ γῇ κείμ. L 14 ἄλ. γὰρ τὸ μὲν γὰρ χαλ. cod.; corr. Vill. 15 ῥᾴδιον cod.; corr. Bkk. 22. 23 οὐ μὴν — ἀποκατάστασιν corrupte tradita sunt; Kamm., p. 79, coni.: οὐ μὴν οὖν εἰς τὸ καταβαλεῖν, ἀλλ' εἰς τὰ πρὸς τὸ καταβαλεῖν συνηρτημένα εἰς τὸ τέλ. τοῦ ἀφ. κτλ. 25 pro εὐπρεπὲς in cod. ἀπρεπὲς esse videtur

27 Cum Callistrato Crates Mallota ap. Eust. *M*, p. 890, 35, consentit eadem res, omisso auctore, in schol. A h. v. (id. brevius L f. 253ᵃ).

τοcοῦτον χρόνον ἐποίηcε τῆc καθαιρέcεωc. οἱ δὲ ἀπὸ τοῦ προcώπου· οὐ γὰρ πρέπει τοὺc ἀριcτέαc εἰcάγειν τειχοδομοῦνταc ἐν πολλαῖc ἡμέραιc, ἀπρεπεcτέραc οὔcηc τῆc ὑπηρεcίαc.

103. πολλάκιc ἀπὸ διαφόρων κλίcεων cυνέμπτωcιc γενομένη πλανᾷ τοὺc πολλούc, ὡc ἑνὸc ὄντοc τοῦ cημαινομένου, ὥcπερ ἔχει τὸ εἵcαντο. cημαίνει γὰρ καὶ τὸ ὑπέλαβον, καὶ τὸ ἐπορεύθηcαν, καὶ ἴcοc καὶ ὅμοιοc γενόμενοc· ἀλλὰ τὸ μὲν ἀπὸ τοῦ εἴδω, τὸ δὲ ἐπορεύθη ἀπὸ τοῦ ἔω, τὸ δὲ ὡμοιώθη ἀπὸ τοῦ ἐίcκω. τὸ μὲν οὖν δηλοῖ τὰ τοιαῦτα· εἵcατο δ' ὡc ὅτε ῥινὸν ἐν ἠεροειδέι (ε 281), ὑπέλαβεν — τὸ δὲ ὡc ῥινόν, ὡc δέρμα ὑπέλαβε τὰ ὄρη τῶν Φαιάκων· οὐ γάρ ἐcτιν ὡc ἐρινεόc· ἦν γὰρ ὡc ὅτε ἐρινόc —, καὶ τὸ εἴcομαι αἴ κε τύχοιμι (χ 7), ἀπὸ τοῦ εἴδω, εἴcομαι, καὶ ἀπὸ τοῦ εἰδῆcαι· τὸ δὲ εἰcάμενοc Κάλχαντι δέμαc (N 45), ὁμοιώcαc, καὶ τῷ μιν ἐειcάμενοc (B 22), καὶ εἵcατο δὲ φθογγήν (B 791), ἀντὶ τοῦ ὡμοίωcε, καὶ εἰδόμενοc Ἀκάμαντι θοῷ (Є 462). [τὸ μέντοι εἵcατο νηῶν ἐπ' ἀριcτερά (M 118) ἀπὸ τοῦ ἴω γέγονεν, ἀφ' οὗ καὶ τὸ ἴομεν· cημαίνει γὰρ τὸ ἐπορεύθη.]

τὸ δὲ εἵcατο ἀντὶ τοῦ ὑπέλαβεν ἐκ τοῦ εἴδω, ὁ μέλλων εἴcω. τὸ δὲ εἵcατο ἀντὶ τοῦ ὡμοίωται ἀπὸ τοῦ ἐίcκω. τὸ δὲ εἵcατο ἀντὶ τοῦ ἐπορεύθη ἀπὸ τοῦ ἔω. ὡcαύτωc κἀν τῷ αὐτὰρ ἐγὼ Ζεφύροιο καὶ ἀργεcτᾶο Νότοιο εἴcομαι, ἤγουν πορεύcομαι, ἐξ ἁλόθεν χαλεπὴν ὄρcουcα θύελλαν (Φ 334). ὁμοίωc δὲ ἔχει καὶ τὸ ὅθι οἱ καταείcατο γαίῃ (Λ 358), ἀντὶ τοῦ κατεπορεύθη καὶ ἐν τῇ γῇ ἐπάγη, ἐπεcτηρίχθη, καὶ ἐν ἄλλοιc· ἐν γαίῃ ἵcταντο (Λ 574). καὶ εἴcομαι ἀντὶ τοῦ γνώcομαι, ὡc τὸ εἴcομαι αἴ κέ μ' ὁ Τυδείδηc (Θ 532).

*B f. 161ᵃ ad εἵcαντο. L f. 254ᵇ, Π. Cf. Paris. (A. P. III, p. 17, Π) h. l. et EPQT ε 281.

6 cημαίνει δὲ L ἴcοc B 8 verbo τοιαῦτα schol. L finitur; reliqua in eo cod. f. 255ᵇ leguntur 9 ῥινὸν ἓν μέροc ἰδεῖν ὑπέλαβεν BL; verum cod. T (Odyss.) suppeditavit 11 τὸ γὰρ εἴcομαι L 14 δὲ om. L ἀντὶ τοῦ om. L 15. 17 v. infra ad lin. 18 sqq. 15 γὰρ ante νηῶν ins. L 19 ὡμοίωcεν L 20 ἔω pro ἔω L 21 ἤτοι L 24 quae post ἵcταντο sequuntur, in uno B exstant 25 εἴ καί μ' ὀδύ (ita fere) B

6 sqq. Aristarchus diplen posuit *ὅτι πολλὰ cημαίνει τὸ εἵcατο· νῦν μὲν τὸ ὥρμηcε καὶ ἐπορεύθη, ἀπὸ τοῦ εἶμι, ἐν ἑτέροιc δὲ ἐφάνη, εἵcατο δ' ὡc ὅτε ῥινόν, καὶ τὸ γνῶναι, εἴcομαι αἴ κέ μ' ὁ Τυδείδηc* (A *M* 118, cf. Lehrs, Ar. p. 148; id. fere B f. 161ᵇ ad *εἵcατο M* 118, L f. 254ᵇ ibid., Paris. ap. Cramer., p. 17, 2).

10. 11 *ἐρινόν* h. l. idem esse quod *ἐρινός* Aristarchus censuit, v. schol. *ε* 281, Eust. *ε*, p. 1536, 12.

18 sqq. Verba inde a *τὸ δὲ εἵcατο* cum superioribus non cohaerere, sed alterum esse scholium eandem rem quam ea quae antecedunt continens, quod casu cum illis coaluerit, nemo non videt. Utrum aeque ac superiora e Porphyrio petita sint an aliunde fluxerint, diiudicari nequit. Neque veri dissimile est, etiam illa *τὸ μέντοι εἵcατο — ἐπορεύθη* (lin. 15—17) ab utraque scholii parte separanda esse; eandem enim rem, quae et lin. 23 et lin. 20 legitur, tradunt;

B f. 161ᵃ ad Ὑρτακίδης. Lp f. 201ᵇ c. l. ἀλλ' οὐχ Ὑρτακίδης.

110. βαρβαρικὴ ἡ ἀπείθεια. μιμούμενος δὲ τὴν ἀλήθειαν ὁ ποιητὴς ἕνα γοῦν τὸν ἀπειθοῦντα εἰσάγει· διὰ τί δὲ ἕνα τοῦτον; ὅτι μάλιστα τοῖς ἵπποις ἠγάλλετο, κατατέλλει οὖν τὴν τῶν πολλῶν ἀλαζονείαν.

*B f. 161ᵇ ad ἀναπεπταμένας. L f. 256ᵃ.

122. τὸ ἀναπεπταμένας εἶχον ἀνέρες οὐκ ἔστιν ἀντὶ τοῦ ἠνεῳγμένας μόνον, ἀλλ' ἠνεῳγμένας κατεῖχον αὐτάς, ὅπως τοὺς μὲν φίλους εἰσδέχωνται, τῶν δ' ἐχθρῶν βιαζομένων ἐπικλείωσιν. αὐτὸς δὲ τὴν λύσιν δέδωκε σαφέστερον ἐπὶ τοῦ Πριάμου παραστήσας, ἔνθα φησὶ

πεπταμένας ἐν χερσὶ πύλας ἔχετ', εἰσόκε λαοὶ
ἔλθωσιν προτὶ ἄστυ πεφυζότες·
αὐτὰρ ἐπεί κ' ἐς τεῖχος ἀναπνεύσωσιν ἀλέντες,
αὖθις ἐπιθέμεναι σανίδας πυκινῶς ἀραρυίας (Φ 531 sqq.).

*B f. 161ᵇ ad πύλησι. L f. 256ᵃ, *H.*

127 sqq. ἐν τῇ τειχομαχίᾳ τεταράχθαι δοκεῖ τὰ ἔπη ταῦτα· Ἀσίου ἐπελθόντος κατὰ τὰς πύλας τῷ τείχει, ἐπιλέγει ὁ ποιητὴς περὶ αὐτοῦ τε καὶ τῶν μετ' αὐτοῦ·

νήπιοι, ἐν δὲ πύλῃσι δύ' ἀνέρας εὗρον ἀρίστους,
υἷας ὑπερθύμους Λαπιθάων αἰχμητάων,
τὸν μὲν Πειριθόου υἷα, κρατερὸν Πολυποίτην,
τὸν δὲ Λεοντῆα, βροτολοιγῷ ἶσον Ἄρηι.
τὼ μὲν ἄρα προπάροιθε πυλάων ὑψηλάων
ἕσταν, ὡς ὅτε τε δρύες οὔρεσιν ὑψικάρηνοι
(M 127—132).

διὰ γὰρ τούτων εἰπὼν τὸν Λεοντέα καὶ Πολυποίτην πυλάων προπάροιθεν ἑστάναι ὡς δρῦς, ἀναμένοντας ἐπερχόμενον μέγαν Ἄσιον οὐδὲ φέβοντο (v. 136), εἶτα ἐπάγων περὶ τῶν κατὰ τὸν Ἄσιον·

οἱ δ' ἰθὺς πρὸς τεῖχος ἐύδμητον, βόας αὔας
ὑψόσ' ἀνασχόμενοι, ἔκιον μεγάλῳ ἀλαλητῷ
Ἄσιον ἀμφὶ ἄνακτα καὶ Ἰαμενὸν καὶ Ὀρέστην
Ἀσιάδην τ' Ἀδάμαντα Θόωνά τε Οἰνόμαόν τε
(v. 137—40),

πάλιν ποιεῖ τοὺς περὶ τὸν Λεοντέα καὶ Πολυποίτην ἔνδον ἐόντας, οὓς πρόσθεν ἔξω ἑστάναι ἔφη· ἐπάγει γάρ·

---

5 ἔχον L 9 ἔχει τ' εἰσόκε L 11 ἀλέντες codd. 14 παρ' αὐτοῦ L 19 βροτολοιγὸν L 21 ὡς ὅτε δρῦες B (text. habet ὡς ὅτε τε δρύες) 23 λέοντα L προπάροιθεν πυλάων L 24 ἑστᾶναι B μετερχόμενον L 24. 25 οὐδ' ἐφέβοντο L 31 λέοντα L 32 ἑστᾶναι B

---

neque neglegendum est, in iis verbi, quod et antea et postea ἕω dicebatur, alteram formam ἵω (v. Et. M. 301, 12 sqq.) afferri.

1—12 Scholium ad v. 122 traditum fragmentum esse quaestionis, e solutione lin. 8 commemorata sequitur; verisimile est, eam, ut quaestionem ad v. 110 servatam (ceterum vix dignam hoc nomine), olim cum ampliore fragmento ad v. 127 sqq. tradito cohaesisse (cf. imprimis p. 178, 2).

1—4 Cf. Eust. *M*, p. 895, 30.

οἱ δ' ἤτοι εἴωϲ μὲν ἐυκνήμιδαϲ Ἀχαιοὺϲ
ὄρνυον ἔνδον ἐόντεϲ ἀμύνεϲθαι περὶ νηῶν·
αὐτὰρ ἐπειδὴ τεῖχοϲ ἐπεϲϲυμένουϲ ἐνόηϲαν
Τρῶαϲ, ἀτὰρ Δαναῶν γένετο ἰαχή τε φόβοϲ τε,
5 ἐκ δὲ τὼ ἀίξαντε πυλάων πρόϲθε μαχέϲθην,
ἀγροτέροιϲι ϲύεϲϲιν ἐοικότε (v. 141—46),

καὶ πληρώϲαϲ τὴν παραβολὴν ἐπάγει·

ὡϲ τῶν κόμπει χαλκὸϲ ἐπὶ ϲτήθεϲϲι φαεινὸϲ
ἄντην βαλλομένων (v. 150. 51).

10 διὰ γὰρ τούτων φαίνεται ταραχὴ τῶν ἐπῶν, πρότερον μὲν ὡϲ ἔξω ἑϲτώτων, αὖθιϲ δὲ ὡϲ ἔνδον ὄντων καὶ ἐξιόντων. ὅθεν οἱ μὲν ἠξίουν προτάττειν ταῦτα τὰ ἔπη·

οἱ δ' ἤτοι εἴωϲ μὲν ἐυκνήμιδαϲ Ἀχαιούϲ,

ἵν' ᾖ τὸ ἀκόλουθον τοιοῦτον·

15 ἐν δὲ πύλῃϲι δύ' ἀνέραϲ εὗρον ἀρίϲτουϲ,
υἷαϲ ὑπερθύμουϲ Λαπιθάων αἰχμητάων·
οἱ δ' ἤτοι εἴωϲ μὲν ἐυκνήμιδαϲ Ἀχαιοὺϲ
ὄρνυον (v. 127. 8; 141. 2)·

εἶτα ϲυνάψαντεϲ τοὺϲ ἐφεξῆϲ, ὧν ἡ ἀρχὴ

20 αὐτὰρ ἐπειδὴ τεῖχοϲ,
Τρῶαϲ, ἀτὰρ Δαναῶν,
ἐκ δὲ τὼ ἀίξαντε,
ἀγροτέροιϲι ϲύεϲϲιν,
ἀνδρῶν ἠδὲ κυνῶν,
25 ὡϲ τῶν κόμπει χαλκὸϲ ἐπὶ ϲτήθεϲϲι φαεινὸϲ
ἄντην βαλλομένων,
λαοῖϲι καθύπερθε (143—47; 51—53),

εἶτα ἀνατρέχουϲιν ἐπὶ τὸ τὼ μὲν ἄρα προπάροιθε (v. 131), καὶ καταβάντεϲ τοὺϲ δέκα ϲτίχουϲ ἄχρι τοῦ Ἀϲιάδην τ' Ἀδάμαντα (v.
30 140) ἐπάγουϲιν οἱ δ' ἄρα χερμαδίοιϲι (v. 154) καὶ τὰ ἑξῆϲ.

Ἡφαιϲτίων δὲ διπλῆν τὴν γραφὴν εἶναι ἔφη καὶ δεῖν παραγράφειν ἢ τοὺϲ δέκα ϲτίχουϲ τοὺϲ ἀπὸ τοῦ τὼ μὲν ἄρα προπάροιθεν (v. 131) μέχρι τοῦ Ἀϲιάδην τ' Ἀδάμαντα (v. 140) ἢ τοὺϲ ιγ' τοὺϲ ἀπὸ τοῦ οἱ δ' ἤτοι εἴωϲ μὲν ἐυκνήμιδαϲ Ἀχαιούϲ (v. 141)
35 μέχρι τοῦ λαοῖϲι καθύπερθε (v. 153). μήποτε δὲ, κἂν οὕτωϲ μένῃ ἡ γραφὴ καὶ ἡ τάξιϲ, οὐδὲν ἄτοπον, πρότερον μὲν εἰπόντοϲ τοῦ ποιητοῦ ὅτι περὶ τὰϲ πύλαϲ ἦϲαν οἱ περὶ τὸν Πολυποίτην (ἐν δὲ πύλῃϲι

---

1 οἱ δ' ἤτοι εἰϲ (in ras.) μὴν L 2 ὄρνυον γὰρ ἔνδον ἐόντεϲ L 3 ἀπεϲϲυμένουϲ L 4 γένετ' L, id. B in texta 5. 6 ἀίξαντεϲ et ἐοικότεϲ L 12 τὰ ἔπη ταῦτα L 13 εἰϲ (ο corr.) μὲν L 25 χαλκὸϲ — φαεινὸϲ om. L 31. ἡφαιϲτίαν L δεῖν in ras. B; καὶ δὴ παρ. L 31. 32 pro παραγράφειν Bekk. περιγράφειν coni. 32 τοὺϲ ἀπὸ τούτου B 33 ἢ τοὺϲ δεκατρεῖϲ L 35 μήποτε δὴ B

δύ' ἀνέρας εὗρον ἀρίστους, v. 127), ἐπισημηναμένου τε ὅτι καὶ ἔξωθεν ἑστῶτας εὗρον, εἶτα καὶ ἐπαναδραμόντος, ὅπως περὶ τὰς πύλας ἔχοντες τούς τε ἔσω παρώρμων, ἐπιόντας βλέποντες τοὺς περὶ τὸν Ἄσιον, αὐτοί τε προεκδραμόντες ἀνέμενον πάντες ἔξω τὸν Ἄσιον.

καὶ γὰρ οὗτος εἷς τρόπος ἑρμηνείας, ἐκ τῶν ὕστερον ἀρξάμενον ἀναδραμεῖν εἰς τὰ πρῶτα καὶ πάλιν συνάψαι ταῦτα τοῖς ὑστέροις. καὶ ἔστι συνήθης ὁ τρόπος τῆς ἑρμηνείας τῷ ποιητῇ. οὕτως γὰρ εὐθὺς κατ' ἀρχὰς τὴν μῆνιν εἰπὼν κεφαλαιωδῶς, ὅσων κακῶν αἰτία γέγονε τοῖς Ἕλλησιν, ὕστερον ἐπὶ τὰ αἴτια ἀνατρέχει ταύτης καὶ ἐπεξεργάζεται δι' ὅλης τῆς ποιήσεως τὰ κατ' αὐτήν. οὕτω καὶ περὶ τῆς νόσου εἰπών·

Λητοῦς καὶ Διὸς υἱός· ὁ γὰρ βασιλῆι χολωθεὶς
νοῦσον ἀνὰ στρατὸν ὦρσε κακήν, ὀλέκοντο δὲ λαοί,
οὕνεκα τὸν Χρύσην ἠτίμασεν ἀρητῆρα
Ἀτρεΐδης (A 9 sqq.),

ἑξῆς ἐπέξεισι, πῶς ἐπράχθη τὰ κατὰ τὴν νόσον. καὶ ἐνταῦθα τοίνυν εἰπών, ὅτι περὶ τὰς πύλας εἶχον οἱ περὶ τὸν Λεοντέα καὶ ἀνέμενον πρὸ τῶν πυλῶν ἑστῶτες ἐπερχόμενον τὸν Ἄσιον, ἐπαναδραμὼν ἐξηγεῖται τὰ κατὰ μέρος, ὅτι τέως μὲν ἔνδον ἦσαν προτρεπόμενοι τοὺς Ἀχαιοὺς ἀμύνεσθαι περὶ νηῶν, εἶτα, ἐπειδὴ ἐθεάσαντο τοὺς περὶ τὸν Ἄσιον ἐπιόντας καὶ πεφευγότας τοὺς Ἕλληνας, αὐτοὶ ἀΐξαντες πυλάων πρόσθε μαχέσθην (M 145). τὰ οὖν κεφαλαιωδῶς ἐκτιθέμενα προλαμβάνειν εἴωθε τὸ συμπέρασμα· τὰ δὲ ἀνάπτυξιν ἔχοντα πολλῶν εἰς τὴν ἀρχὴν ἀναδραμόντα οὕτω κάτεισιν ἐπὶ τὸ τέλος.

B f. 162ᵇ ad πεπλήγετο. 162. ἀδύνατον τοῦτο ἐπὶ ὡπλισμένου· ἔστι δὲ μόνον τῆς λύπης δηλωτικόν, ὡς ἐν ὀχλήματι γενόμενον.

B f. 162ᵇ ad ἄλλησι. L f. 258ᵃ. Lp f. 202ᵃ c. l. ἄλλοι δ' ἀμφ' ἄλλησιν. 175—81 sqq. ἀθετεῖ Ἀρίσταρχος, πρῶτον μὲν διὰ τὸ πύλας ἄλλας ὀνομάζεσθαι· ἀρέσκει γὰρ αὐτῷ μίαν εἶναι· εἶτα διὰ τὸ ἀργαλέον δέ με ταῦτα· φησὶ γὰρ ὅτι καὶ μὴν ἔφρασε τὴν τειχομαχίαν. εἶτα καὶ διὰ τὸ Λαπίθαι· οὐ γὰρ δεῖ ⟨e δὴ corr. B⟩, φησί, καὶ ⟨om. L⟩ τοὺς πατέρας καὶ τοὺς υἱοὺς Λαπίθας καλεῖν. Πῖος δὲ ἀπολογούμενος πρὸς τὰς ἀθετήσεις Ἀριστάρχου ταῦτά φησιν, ὅτι Ἄσιος μὲν περὶ τὴν μίαν πύλην τὴν ἱππήλατον ἐμάχετο, οἱ δὲ περὶ αὐτὸν περὶ τὰς μικρὰς

---

2 ἐπαναδραμόντες B, ἐπαναδραμόντα L; corr. Bkk. περὶ del. Kamm., p. 81 3 τούς τε ὄντος (supra scrpt. ἔσω) L pro παρώρμων Bkk. παρορμῶντες coni. 4 αὐτοί Bkk; codd. αὐτοῦ ἔξω πάντες L 12 νοῦσον om. B 13 ἠτίμης' L 15 ἐπεξίασι L 16 λέοντα L 20 ἀΐξαντε L 21 πρόσθεν B

---

5 sqq. Cf. Porph. *A* 1, p. 1, 6.

24. 25 Idem fere, sed peius traditum, Lp f. 202ᵇ (c. l. ὦ πεπλήγετο μηρώ): *ἀδύνατον τοῦτο κτλ., ἔτι δὲ μόνον τῆς λύπης δηλωτικόν, ὡς ἐν σχήματι γενόμενον.*

26 sqq. Rationes Aristarchi, quibus Pius obloquitur, melius schol. Ariston. v. 175 tradidit (cf. Lehrs, Ar. p. 125).

πύλας· τῷ δὲ ἄλλας μικρὰς εἶναι οὐδεὶς εὖ φρονῶν ἀντείποι· πῶς γὰρ τοσοῦτον πλῆθος ἐν τῷ φεύγειν διὰ μιᾶς εἰσήει; τὸ δὲ ἀργαλέον δέ με ταῦτα πάνυ μετρίως φησὶν εἰρῆσθαι ⟨εἰρ. φης. L⟩· ἀνδρῶν γὰρ ἀναιρουμένων κατάλογον ⟨κατὰ λόγον Lp⟩ διεξιὼν καὶ τρόπους τῶν
5 ἀναιρέσεων καὶ λόγους τῶν ἀναιρούντων καὶ πιπτόντων καὶ συμπτώματα τῆς τύχης καὶ πολυμερῆ μάχην, εἰκότως ἐνδείκνυται δυσχερῆ τὴν τούτων διήγησιν. τὸ δὲ Λαπίθαι γελοιότατον ⟨γελοιότερον L⟩· πῶς γὰρ ἄλλως ἦν ὀνομάσαι ⟨corr. ex ὀνομᾶσαι B⟩ τοὺς τῶν Λαπιθῶν υἱοὺς ἢ τῷ πατρικῷ ὀνόματι;

10 200. Ζητεῖται δὲ, πῶς ὁ Ζεὺς ἐπικρατεστέρους θέλων ποιῆσαι τοὺς Τρῶας σημεῖον αὐτοῖς κωλυτικὸν ἐπιπέμπει· φησὶ γάρ· ὄρνις γάρ σφιν ἐπῆλθε περησέμεναι μεμαῶσι. ῥητέον οὖν, ὅτι νίκην μὲν ἐβούλετο τοῖς Τρωσίν, ἐξελεῖν δὲ τὸ δέος τῶν Ἑλλήνων· οὐ γὰρ κατὰ προαίρεσιν αὐτοὺς ἰδίαν ἐμίσει, ἀλλὰ χαριζόμενος Θέτιδι. *B f. 163ᵃ. L f. 258ᵃ. Lp f. 202ᵃ. A.

15 253. πῶς οὐ λέγει ἀπ' ἄλλων ὁρῶν τὴν τῶν ἀνέμων θύελλαν ἐξεγείρεσθαι ἀλλ' ἐκ τῶν Ἰδαίων; καὶ λέγομεν, ὡς διὰ τὸ ὑλικὸν πρωταίτιον. αἴτιον γὰρ καὶ ἀρχὴ τῶν ἀνέμων τὸ ὕδωρ· ἐπεὶ γοῦν καὶ ἡ Ἴδη πολυπίδακος φαίνεται, εἰκότως ἀπ' αὐτῆς ἡ τῶν ἀνέμων θύελλα ἐξεγείρεται. Lp f. 203 c. l. ἀπ' Ἰδαίων.

20 258. ὁ Ἀρίσταρχος ἐπὶ κλιμάκων ἀκούσας καὶ τὸ προκρόσσας ἀποδιδοὺς ἐπὶ τῶν νεῶν κλιμακηδόν (τῷ ῥα προκρόσσας ἔρυον, Ξ 35), τὸ πύργων ἔρυον ἀποδίδωσιν ἐπὶ τοὺς πύργους ἔρυον, ἀποδιδοὺς ἀνεῖλκον [ὡς κλειστῶν καὶ συγκαμπτῶν οὐσῶν τῶν κλιμάκων]. *B f. 164ᵇ ad κρόσσας. L f. 260ᵃ, Π.

10 scholium *B scholio manus prioris (ad λήθετο, v. 203, p. 502, 27—30 Dind.) subiunctum est; in A haec praecedunt: ἐπ' ἀριστερὰ λαὸν ἐέργων] ὑποχωρῆσαι συμφέρον προσημαίνων· ἀριστερὰ γὰρ σημεῖα τὰ ἀπαίσια, δεξιὰ δὲ τὰ συμφέροντα δὲ om. L 11 καταλυτικὸν BLLp 12 καὶ ῥητέον ὅτι A 21 κλημακιδὸν L 23 ὡς — κλιμάκων Kamm., p. 82, recte uncinis inclusit; v. infra ad. h. v.

1 Cf. Porph. Θ 58.

10—14 Cf. schol. Vict. M 209 (Bkk.) ex eadem quaestione verbis nonnihil mutatis excerptum.

15 sqq. De solutione allegorica v. ad p. 13, 8. — Similia, sed omissa quaestionis forma, Eust. h. l. attulit: *ἀπὸ Ἰδαίων δὲ ὀρέων ὄρνυται ἀνέμου θύελλα διὰ τὸ ἐκείνων καὶ πολυπίδακον καὶ πολυπόταμον* (p. 902, 59), quibuscum iungenda videntur, quae paullo ante leguntur (lin. 52): *Ζεὺς δὲ ἐγείρειν ἀνέμου ἐνταῦθα θύελλαν λέγεται καὶ κονίην φέρειν ἰθὺς νηῶν, ἢ ὁ εἰς εἱμαρμένην ἐκλαμβανόμενος, ἢ μᾶλλον ὁ ἀήρ.*

20. 21 De Aristarchi verbi *κρόσσαι* explicandi rationibus v. Lehrs, Ar. p. 225, et ap. Friedl., Ariston. p. 210; de *πρόκροσσος* id. ibid. et Friedl., p. 228.

23 Cf. alter. schol. *B f. 164ᵇ ad *κρόσσας* (id. L f. 260ᵇ): *τινὲς* ⟨om. L⟩ *κρόσσας λέγουσιν* ⟨*λέγονται* L⟩ *ὄργανά τινα πρὸς τειχομαχίαν ἐπιτήδεια ἔχοντα ἔνδον ἀνάβασιν καλυπτομένην, ἕως ἂν εἰς τοὺς πύργους ἀνέλθῃ ὁ τειχομαχῶν. τὸ δὲ πύργων ἔρυον κτλ.* (v. ad p. 180, 1). Eadem ap. Eust., p. 903, 18, ita tradita sunt, ut cum Aristarchi interpretatione (lin. 10: *Ἀρίσταρχος δὲ πολε-*

παραμυθεῖται δὲ ἐξ Ὁμήρου τὸ πύργων ἔρυον ἀποδιδοὺς ἀντὶ τοῦ ἐπὶ τοὺς πύργους ἔρυον, ἐκ τούτων·

οἱ δὲ μένοντες
ἕσταςαν, ὁππότε πύργος Ἀχαιῶν ἄλλος ἐπελθὼν
Τρώων ὁρμήςειεν (Δ 333–5),

ἀντὶ τοῦ ἐπὶ τοὺς Τρῶας ὁρμήςειεν· οὕτω καὶ τὸ πύργων ἔρυον ἀντὶ τοῦ ἐπὶ τοὺς πύργους ἔρυον, καὶ ἀκόντιςαν Ἰδομενῆος (N 502). οὐκ εἰςὶ δὲ κρόςςαι αἱ κλίμακες, ἀλλὰ μᾶλλον οἱ ἐξέχοντες λίθοι ἐν τοῖς πύργοις, οὓς ποιοῦςιν εἰς τὸ ἐμποδίζειν τὰς τῶν μηχανημάτων ἐμβολάς. οὕτω καὶ κροςςοὺς ἱματίων λέγομεν τοὺς ἐξέχοντας στήμονας· καὶ πρόκροςςαι δὲ αἱ νῆες αἱ μὴ ἐπ' ἴςου στίχου εἱλκυςμέναι ἀλλ' ἐξέχουςαί εἰςιν, ἐφ' ὧν διὰ τὸ μὴ πάντας ἔχειν ἰςαρίθμους * * * * * στήλας τε προβλῆτας ἐμόχλεον (M 259), τοὺς λεγομένους προμαχῶνας.

438. Π 558.

---

1 δὲ om. L ἀντὶ τοῦ om. L 4 ὁπότε L ἀχαιὸς L 6. 7 ἀντὶ τοῦ post ἔρυον om. L 10 κρόςςους codd. ἱμάτια λέγ. τὸν ἐξέχοντα στήματα L 10. 11 προκρόςςαι B καὶ πρόκροςςαι δὲ λέγονται v. L 12 ἴςχειν L lacunae quam post ἰςαρίθμους statui in codd. vestigium non exstat; Kamm., p. 82, ultima ita constituit: ἀλλ' ἐξέχουςαί εἰςι διὰ τὸ μὴ πάςας ἔχειν ἴςας ῥυθμούς. Quae sequuntur ex alio scholio influxisse existimavit 13 ἐμόχλευον codd.

μικὰς κλίμακας ὑποτρόχους τὰς κρόσσας νοεῖ, ἤτοι μηχανὰς κλιμακώδεις, cf. schol. min. *M* 444) minime cohaereant. Sequitur igitur vel hinc, verba *ὡς κλειστῶν — κλιμάκων*, quae supra uncinis inclusimus, Aristarcheis male adiecta esse.

1 sqq. †*B (v. ad p. 179, lin. 23): ..... *τὸ δὲ πύργων ἔρυον ἐπὶ τοὺς πύργους λέγει· εἷλκον γὰρ τὰ ὄργανα πρὸς τοὺς πύργους· ἐπάλξεις δὲ οἱ προμαχῶνες.*

†B f. 164ᵇ ad *κρόσσας* (id. Lp f. 203ᵇ c. l. *κρόσσας μέν*): *τὰς πολεμικὰς κλίμακας· λείπει δὲ ἡ κατά, ἵν' ᾖ κατὰ τῶν πύργων ἔρυον.* (Add. *B: *οἱ δὲ τοὺς ἐν τοῖς πύργοις ἐξέχοντας λίθους*, in Lp alia sequuntur, = B p. 505, 4. 5 Dind.). *Κατὰ τῶν πύργων* h. l. eodem sensu accipiendum esse quo *ἐπὶ τοὺς πύργους*, vel e schol. Porphyriano ad *Δ* 334 edito sequitur.

8 sqq. *κρόσσας* idem esse quod *κεφαλίδας* ipse Aristarchus in commentariis docuerat. — Eust. p. 903, 12: *οἱ δέ τινές φασιν, ὅτι κρόσσαι αἱ τῶν πύργων ἔξοχαί, ὡς καὶ κροσσοὺς ἱματίων φαμέν.* Ad *κροσσοὺς ἱματίων* etiam ap. Apollon., Hesych., Etym. M. recurritur.

13 †*B (f. 164ᵇ) v. 259: *ἤτοι τοὺς προμαχῶνας* (subiuncta scholio manus prioris ad *στήλας*: *στήλας τοὺς θεμελίους παρὰ τὸ ἐπ' αὐτῶν τὸ τεῖχος ἵστασθαι. οἱ δὲ τὰς ἀντηρίδας*).

PORPHYRII

QUAESTIONUM HOMERICARUM

AD

ILIADEM PERTINENTIUM

RELIQUIAS

COLLEGIT DISPOSUIT EDIDIT

HERMANNUS SCHRADER.

FASC. II.

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI.
MDCCCLXXXII.

LIPSIAE: TYPIS D. G. TEUBNERI.

Google

N

3. Αὐτὸς δὲ πάλιν τρέπεν ὅσσε φαεινώ. ἀδύνατόν φασιν· εἰ γὰρ ἀπετράπη ἀπὸ τῆς Ἰλίου ἐπὶ τὴν Μυσίαν κατὰ τὰ τῆς Ἀσίας ἔθνη, ἀδύνατον τὴν Θρᾴκην καθορᾶν οὖσαν ἐν τῇ Εὐρώπῃ. λύεται δὲ ἐκ τῆς λέξεως· οὐ γὰρ λέγει τὴν Θρᾴκην αὐτὸν βλέπειν, ἀλλὰ τὴν Θρᾳκῶν γῆν, ἧς ἦσαν ἄποικοι, κατοικοῦντες δὲ Ἀσίαν, Βιθυνοί τε καὶ οἱ Θυνοί, Θρᾳκῶν ἄποικοι.

*B f. 169ᵃ ad πάλιν. L f. 269ᵃ, *H*.

18. εἰ συνεχῆ, φησί, προέβαινε, πῶς παρακατιών φησι τρὶς μὲν ὀρέξατο (v. 20); ἢ τάχα τὸ κραιπνά ἀντὶ τοῦ πρόθυμα καὶ ἰσχυρά.

B f. 169ᵃ ad κραιπνά.

20 sqq. ἐζήτηται διὰ τί εὐθέως οὐ πορεύεται εἰς Τροίαν ὁ Ποσειδῶν, ἀλλὰ τὸν χρόνον δαπανᾷ πορευθεὶς εἰς Αἰγάς. ῥητέον οὖν ὅτι δυοῖν ἕνεκα πραγμάτων μεμηχάνηται αὐτῷ ἡ ἀποδημία, πρῶτον μὲν ἵνα ἀποπλανήσῃ τὸν Δία ὡς ἀπολελοιπὼς τὸν πόλεμον, δεύτερον δὲ ἵνα καθοπλισθῇ εἰς τὸν τοῦ Διὸς πόλεμον, ἐὰν ἄρα φωραθεὶς εἰς τὴν συμμαχίαν κινδυνεύσῃ.

*B f. 169ᵃ ad ἐνοσίχθων v. 10. L f. 268ᵇ. A f. 164ᵃ.

..... τίνος δὲ ἕνεκεν ἐπὶ τὰς Αἰγὰς ἄπεισι, καὶ δυνάμενος ἐν Τροίᾳ εὐθὺς γενέσθαι μετὰ τὸ λιπεῖν τὴν Σαμοθρᾴκην; ἴσως οὖν πρὸς κατάπληξιν τῶν Τρώων ἄπεισι τὸ ξίφος ληψόμενος .....

B f. 169ᵃ ad τρὶς μέν. Lp f. 208ᵇ c. l. τρὶς μὲν ὀρέξατ'.

---

1 εἰς τὸ αὐτὸς δὲ πάλιν τρέπεν κτλ. L 2 μισίαν καὶ τὰ τῆς Ἀσ. L 5 κατοικοῦσι δὲ L βηθυνοὶ BL θῦοὶ (ο corr.) L 6 Θρᾳκ. ἄπ. del. Kamm., p. 83 9 οὐκ εὐθείᾳ A, εὐθέως (supra scripto οὐκ vel μὴ) L 10 εἰς om. A καὶ ῥητέον ὅτι AL 11 πραγμάτοιν L 13 τοῦ om. A 14 κινδυνεύῃ A

---

4 Aliter Eust. *N*, p. 916, 54 sqq.

7. 8 Idem schol. Lp (f. 208ᵇ, c. l. *κραιπνὰ ποσί*), ubi *ὀρέξετο* pro *ὀρέξατο* legitur. Simil. Vict. f. 228ᵃ (in fine: *ἀντὶ τοῦ πρόθυμα καὶ σπουδαῖα*).

17 Addit nonnulla Vict. (f. 228ᵃ, qui in iis quae antecedunt cum BLp fere congruit): *ἢ ὁπλιεῖται ὡς οὐκ ἀνεξόμενος* ⟨*—μένου?*⟩ *Διός. ἢ τῷ ἐπιτερπεῖ τῆς φράσεως τὸ τῆς μάχης στυγνὸν διαλύει. ἢ ἀναχωρεῖ ὅπως μὴ ὑπόνοιαν δῷ τοῖς Τρωικοῖς* ... Quae quoniam ex parte iis quae altera quaestione h. l. edita continentur respondent, haud scio an ad ipsum Porphyrium referenda sint, quamvis illa *ἢ τῷ ἐπιτερπεῖ — διαλύει* (cf. Eust., p. 918, 4 sqq.) a ratione eius aliena esse videantur. Qua de re utcunque statuetur, quaestiunculam a Vict. v. 23 (pertinet ad v. 34) servatam (... *διὰ τί δὲ τοὺς ἵππους καταλιμπάνων αὐτοὺς καὶ θᾶττον βαδίζων; ἢ οὖν καλλιγραφῆσαι βούλεται ὁ ποιητὴς τὴν ὁδὸν αὐτοῦ, ἢ προπαρασκευάζεται τῷ Διί* ...) nihil esse nisi eandem quam huc attulimus in alteram formam redactam apparebit.

34. v. ad p. 183, 17.

A f. 165ᵃ. L f. 270ᵃ. 70. . . . . πῶς δὲ, φησὶν, ὁ Ποσειδῶν οὐκ ἔλαθε τὸν Αἴαντα; καὶ ῥητέον ὅτι φαντασίαν τινὰ παρέχει τὸ θεῖον ἑαυτοῦ.

B f. 172ᵇ ad οἰσόμενος. L f. 273ᵇ 168. . . . . διὰ τί δὲ οὐκ ἄλλον πέμπει, ἀλλ' αὐτὸς ἄπεισιν; ὅτι ἐν τῷ θορύβῳ κεχώρισται τῶν δορυφόρων, καὶ ἡ σκηνὴ πλησίον ἦν, καὶ οἱ πεμπόμενοι οὐχ ὁμοίως ταχεῖς, καὶ παρὼν δὲ ὅμοιος ἦν τῷ μὴ παρόντι δόρυ μὴ ἔχων . . . . .

295. Ψ 269.

340 (= Vat. Ζητ. θ') edit. in fine operis.

*B f. 176ᵃ ad ἔριδος. L f. 280ᵃ, Π, εἰς τὸ οἱ δ' ἔριδος. 358—60. ἐν τοῖς οὕτω λεγομένοις

τοὶ δ' ἔριδος κρατερῆς καὶ ὁμοιίου πτολέμοιο
πεῖραρ ἐπαλλάξαντες ἐπ' ἀμφοτέροισι τάνυσσαν,
ἄρρηκτόν τ' ἄλυτόν τε, τὸ πολλῶν γούνατ' ἔλυσεν

δυνατώτερα καὶ τολμηρότερα ἀπὸ τῶν εἰς πέρατα σχοινία συμβαλλόντων καὶ εἰς δεσμὸν ἐπαλλαττόντων τὰ πέρατα, ἔπειτα τεινόντων μετενήνοχεν, ἔριδος, λέγων, καὶ πολέμου τὰ πέρατα ἐναλλάξαντες καὶ δήσαντες ἐτάνυσαν ἐπ' ἀλλήλους, οὕτως ἰσχυρῶς τὴν ἔριν τῷ πολέμῳ συνδήσαν-

---

2 A (c. l. οἰωνιστής) praemittit οἰωνοσκόπος, quod L om. δὲ om. L ὁ Ποσ. post τὸν Αἴαντα L 4 B praemittit: οἰσόμενος ἑαυτῷ, quae L in lemmate habet δὲ om. L 6 ὁ (pro καὶ) παρ. δὲ L 7 de iis quae in codd. sequuntur v. infr. ad lin. 4 sqq. 11 οἵδ' L πολέμοιο L 12 τάνυσαν L 14 σχοινίων L 15 ἀπαλλαττόντων L 17 ἐτάννυσαν L

---

2 sqq. Cf. Porph. Γ 396. 7.

4 sqq. Simillimum est schol. Vict. (f. 232ᵇ): *διὰ τί δὲ οὐκ ἔπεμψεν ἐπὶ δόρυ ἀλλ' αὐτὸς ἄπεισιν; ἢ ὅτι ἐν τῷ θορύβῳ κεχώρισται τῶν δορυφόρων καὶ πλησίον ἦν ἡ σκηνή, καὶ οἱ πεμπόμενοι οὐχ ὁμοίως ταχύνουσι, καὶ παρὼν ὅμοιος ἦν τῷ μὴ παρόντι δόρυ οὐκ ἔχων. τὸ δὲ ὅλον διὰ τὸ ἀναπαῦσαι τοὺς ἀκροατὰς ἀπὸ τῆς μάχης τοῦτο πράττει ὁ ποιητής, ὅπερ ἔσται Ἰδομενέως αὐτῷ συμβαλόντος.* — Postrema verba (*τὸ δὲ ὅλον κτλ.*) docent non multum esse fidendum iis quae BL addunt: *τοὺς μὲν οὖν ὡς τραυματίας πιθανῶς ὁ ποιητὴς τοὺς δὲ καὶ ὅπλων ἐνδεεῖς ποιεῖ*: utroque scholio aliena adhaesisse videntur. Certius etiam de extremis schol. BL verbis (*δύο δὲ εἶχε δόρατα κτλ.*) iudicandum est, quae in Vict. novo lemmate (*ὃ οἱ κλισίηφι λέλειπτο*) a reliquis disiuncta sunt.

16 Secundum Didymum (A v. 359) Aristarchus, sive *ἐπ' ἀμφοτέροισι* sive *ἐπ' ἀλλήλοισι* legeretur, ita accepit. Aliter id. ap. Ariston. (ibid.): *ὅτι παραλληγορεῖ, δύο πέρατα ὑποτιθέμενος, ἕτερον μὲν ἔριδος ἕτερον δὲ πολέμου, ἐξαπτόμενα κατ' ἀμφοτέρων τῶν στρατευμάτων*, quam interpretandi rationem Crateti schol. B h. v. (id. LLp Vict.) tribuit. Illam etiam Alexander Cotyaensis secutus est, v. schol. A (f. 171ᵃ) v. 358, quod Lehrs, qu. ep. p. 11, e Porphyrio fluxisse existimavit: *ὁ λόγος· οἱ δὲ τὸ πέρας τοῦ πολέμου καὶ τῆς ἔριδος συνάψαντες ἐπέτειναν ἀμφοτέροις, οἷον ἀμφοτέρωθεν. μετενήνεκται μὲν οὖν ἀπὸ τῶν δεσμῶν, τῷ δὲ ἐπαλλάξαι ἐπὶ τοῦ συνάψαι χρῶνται καὶ τῶν πεζολόγων τινές, πλεονάζει δὲ Ἀριστόξενος ὁ μουσικός, ἐπηλλαγμένα λέγων τὰ συνημμένα· οὕτως ὁ Κοτυαεύς.* Mihi de origine ita ut in textum recipere velim non liquet. — Neque extremo schol. B h. v. (f. 176ᵃ, id. L f. 279ᵇ,

τες, ὡς τὸν δεσμὸν τοῦτον ἄρρηκτον μὲν εἶναι καὶ ἄλυτον αὐτοῖς, πολλῶν δὲ γούνατ' ἔλυσε. σκέψαι δὲ εἰ μὴ κακοζήλως εἶπε τὸν μὲν δεσμὸν ἄρρηκτον καὶ ἄλυτον, πολλῶν δὲ γούνατ' ἔλυσεν, ἐν δὲ ἄλλοις οὐκ ἔφη ἄρρηκτον ἀλλ' ἐν δ' αὐτοῖς ἔριδα ῥήγνυντο
5 βαρεῖαν (Υ 55), καὶ ἐν ἄλλοις.

443. τὸ σπαίρειν καὶ τὸ σκαίρειν τινὲς συγχέουσι, ταὐτὸν δηλοῦν νομίζοντες, καίπερ Ὁμήρου διακρίνοντος· τὸ μὲν γὰρ σπαίρειν μετὰ τοῦ ᾱ κατὰ Ἀττικὴν συνήθειαν λέγει ἀσπαίρειν· ἀσπαίροντα δ' ἔπειτα (μ 254) καὶ ἀσπαίροντα λαβών (τ 229) καὶ ἥ ῥά οἱ ἀσπαίρουσα
10 καὶ οὐρίαχον πελέμιξεν ἔγχεος (N 443) καὶ ἥσπαιρ' ὡς ὅτε βοῦς (N 571). τὸ δὲ σκαίρειν οὐκέτι μετὰ τοῦ ᾱ· μολπῇ δ' ἰυγμῷ τε ποσὶ σκαίροντες ἕποντο (C 472). ἔστιν οὖν ἡ διαφορὰ ὅτι τὸ μὲν σπαίρειν καὶ ἀσπαίρειν ἄμουσόν τινα δηλοῖ κίνησιν, ὃ γίνεται ἐν ἰχθύσι καὶ τῷ δεδεμένῳ κατὰ τὸν ποιητὴν βοῖ, τὸ δὲ σκαίρειν ἔμ-
15 μουσον κίνησιν ὀρχηστικὴν καὶ εὔρυθμον. οἶμαι δ' ἔγωγε καὶ τῶν ἰχθύων τὸν σπάρον καὶ τὸν σκάρον κατὰ διαφόρους ἐννοίας προσηγορεῦσθαι, τῆς κινήσεως οὐχ ὁμοίας ἑκατέρων γινομένης. τὸ δὲ σκαίρω πάντως ὀξυτέρας, ἀφ' ἧς καὶ τὴν πολύσκαρθμον Μύριναν προσεῖπεν ὁ

*B f. 178ᵃ ad ἀσπαίρουσα L f. 283ᵃ, *H.* Vict. f. 245ᵃ (ad v. 571).

---

4 βαρείην L 8—10 post ἀσπαίρειν Vict. haec tantum: ἀσπαίροντα λαβών καὶ ὡς ἐνταῦθα. τὸ δὲ σκαίρειν κτλ. 10 πολέμιζεν L 14 ἰχθῦσι B δεδεμένω B 16 τὸν σπαίροντα καὶ τὸν σκαίροντα L διαφόρου Vict. 17 οὐχ ὁμοίως ἑκατέρῳ γινομένης, τῷ δὲ σκάρῳ Vict. 18 post ὀξυτέρας in B sequitur φωνῆς, quod verbum delendum esse punctis circum positis is qui scholium scripsit significavit. Concludas ex eo verbo, in archetypo eius codicis eundem versum Oppianeum, qui scholio excerpto male immixtus est, proxime fuisse, ad quem oculus male aberraverit ἀφῆς pro ἀφ' ἧς L πολύκαρθμον L μύ-

---

Lp f. 215ᵃ) quae leguntur: *πῶς δὲ ὁ Ζεὺς ἀπεστραμμένος ὢν συμβάλλει τὴν μάχην; κτλ.*, recepi, quoniam schol. Vict. (f. 238ᵇ) haec tantum habet: *ἀπέστραπται γὰρ ὁ Ζεύς. ἀλλ' ἐπὶ τὸν νοῦν αὐτοῦ κτλ.*

6 sqq. †B f. 259ᵃ ad *σκαίροντες* Σ 572 (id. fere Townl. ap. Cram., A. P. III, p. 289, 28, et cum eo congruens Vict. f. 358ᵃ): *τὸ σπαίρειν ὁ ποιητὴς κατὰ Ἀττικοὺς ἀσπαίρειν φησὶ μετὰ τοῦ ᾱ, οἷον ἀσπαίροντα λάων ⟨λαὸν* B*⟩, ἥσπαιρ' ὡς ὅτε βοῦς, τὸ δὲ σκαίρειν οὐκέτι. τὸ μὲν οὖν σπαίρειν ἄμουσόν τινα δηλοῖ κίνησιν, ὃ τινες ἐν ἰχθύσι ⟨ἰχθῦσι* B*⟩ καὶ τῷ δεδεμένῳ βοῖ λαμβάνουσι, τὸ δὲ σκαίρειν ἔμμουσον κίνησιν ὀρχηστικὴν καὶ εὔρυθμον. οἶμαι δὲ ἔγωγε καὶ τῶν ἰχθύων τὸν σπάρον καὶ τὸν σκάρον οὕτω προσηγορεῦσθαι ⟨—ρεῦθαι* B*⟩, τῆς κινήσεως οὐχ ὁμοίως ἑκατέρῳ γινομένης, τῷ δὲ σκάρῳ πάντως ὀξυτέρας. [καὶ Ὀππιανὸς ἐν τοῖς Ἁλιευτικοῖς* (I, 134. 5) *φησι· καὶ σκάρος, ὃς δὴ μοῦνος ἐν ἰχθύσι ⟨ἰχθῦσι* cod.*⟩ φθέγγεται ἰκμαλέην λαλιὴν ἀφείς]. καὶ τὴν πολύσκαρθμον Μύριναν ⟨μύρινναν* B*⟩ ὁ Λυκόφρων* (243) *φησὶ ⟨φησὶν ὁ ποιητὴς* recte Townl. et Vict.*⟩ μίαν τῶν Ἀμαζόνων. καὶ εὐσκάρθμους ἵππους ὁ ποιητὴς καλεῖ ⟨*om. *ὁ ποιητ. καλ.* Townl.; in Vict. man. post. verba inde ab *εὐσκάρθμους* in marg. scripsit*⟩*. — Transierunt eadem in Epimer. An. Ox. I, p. 391, Etym. M. 722, 51; pauciora ap. Eust. Σ, p. 1164, 30. — Ceterum cf. ad *ζητ.* 33 (in fine libri).

18 A B 814: . . . . *Μύρινα δὲ Ἀμαζόνος ὄνομα*, cf. Strab. XII, 8, 6, p. 573.

ποιητὴς (B 814) μίαν τῶν Ἀμαζόνων, ὥς φαcι, καὶ εὐcκάρθμους ἵππους (N 31). ἀπὸ δὲ τοῦ αὐτοῦ ἐν τῇ cυνηθείᾳ τὸ cκιρτᾶν καὶ cκαρδαμυκτεῖν τοὺc ὀφθαλμοὺc εἴρηται.

470. ad Ζητ. ιγ' (in fine operis).

B f. 179ᵃ ad γάνυται. 493. ..... πῶc δὲ τοὺc τοcούτουc ἡγεμόναc ἑνὶ κτίλῳ εἴκαcεν; ὅτι πάντων ἡγεμονικώτατοc ἦν Αἰνείαc.

B f. 179ᵃ ad ἀκόντιcεν. 502. εἰ αὐτοcχεδὸν ὡρμήθηcαν, πῶc ἀκοντίζει; ὑποκεχωρήκει γὰρ Ἰδομενεὺc ὡc πόρρωθεν ἀγωνιούμενοc.

*B f. 179ᵇ. L f. 285ᵇ. A f. 174ᵃ. 521. ἐζήτηται δὲ πῶc θεὸc ὢν ὁ Ἄρηc οὐκ ᾔδει περὶ τοῦ υἱοῦ. ῥητέον οὖν ὅτι παρὰ τῷ ποιητῇ οἱ θεοὶ cωματικῶc λαμβανόμενοι ἀνθρωποειδῶc ἐφίcτανται· ἀθανacίᾳ γὰρ διαφέροντεc μόνον ἀνθρώπων τοῖc αὐτοῖc ἐνέχονται πάθεcιν.

643. Ε 576.

658. 59. ibid., ad p. 84, 24 sqq.

686. v. Herm. XIV, p. 248.

745. Θ 233, p. 122, 15; ibid. ad lin. 22.

814. in fine operis ad Ζητ. 34.

*B f. 186ᵃ ad βουγάιε. L f. 295ᵇ, *H*. Cf. HQ c 79. 824. τὸ βουγάιον ἀκουcτέον διὰ τὸ ὑπερμεγέθη ἔχειν βοείαν ⟨βοίειαν L⟩ ἀcπίδα, ὡc εἰ ἔλεγεν· ὁ γαίων ἐπὶ τῇ ἀcπίδι, ὡc κύδεϊ γαίων (A 405). ἐπὶ δὲ τοῦ Ἴρου·

νῦν μὲν μήτ' εἴηc βουγάιε μήτε γένοιο

(c 79), χαριεντιζομένου ἀκουcτέον διὰ τὸ μέγεθοc, ὡc ὑπερμεγέθη ἂν ἔχοντοc ἀcπίδα. λέγει δέ· μὴ εἴηc μέγαc μηδὲ γένοιο μέγαc, ᾧ ὅμοιον τὸ ἢ μάλα Ἴροc ἄιροc (c 73), ἀπαγγέλλων ὅτε πού τιc ἀνώγοι

ραιναν B, μυρίνναν L 1 μία Vict. ἃc φαcι B 2. 3 ἐν cυνηθείᾳ τὸ cκ. καὶ τὸ cκαρδ. Vict. cκαρδαμικτεῖν L 9 scholium *B subiunctum est scholio man. prioris ad βριήπυοc v. 521 relato, A (c. l. οὐδ' ἄρα πώ τι πέπυcτο) praemittit verba οὐδέποτε ἐμεμαθήκει δὲ om. L 11 ἐπίcτανται BL 11. 12 ἀθαν. μόνη διαφέροντεc τῶν ἀνθρ., τοῖc δ' αὐτοῖc ἐν. πάθ. A

5—8 Eadem sine ulla fere varietate in codd. L (f. 284ᵇ) et Lp (f. 217) c. l. *γάνυται δ' ἄρα* et *πρῶτος ἀκόντισεν*, prius etiam in Vict. (f. 243ᵃ), leguntur.

9 sqq. Cf. Vict. (f. 243ᵃ) v. 521: .... *οὐδ' ἄρα πώ τι πέπυστο δὲ εἶπεν, ἐπεὶ ἀνθρωποπαθεῖς οἱ Ὁμηρικοὶ θεοί* ...., quae verba schol. B (Dind. IV, p. 26, 16), quod L et Lp sequuntur, male contraxit.

19 Cf. B f. 186ᵃ ad *βουγάιε* (id. A f. 180ᵃ, L f. 295ᵇ, Lp f. 224ᵃ c. eod. lemm.): .... *ἢ ἐπὶ τῇ ἀσπίδι γαίων* ...., Eust. *N*, p. 962, 3.

20—22 Aliter BQ *σ* 79: *ἐπὶ μὲν τοῦ Αἴαντος ἐπὶ τῇ βοΐ γαίων, ὅ ἐστι τῇ ἀσπίδι· νῦν δὲ χαριεντιζόμενος ἐπὶ τῷ γαυριῶντι τῇ ἀναισθησίᾳ φησί.* Cf. Eust. *σ*, p. 1838, 4.

23. 24 Porph. in quaestione in cod. B ad Z 201 relata (= Vat. *ζητ. ια'*), in fine operis edenda: .... *πόθεν οὖν Ἴρος καλεῖται; οὕνεκ' ἀπαγγέλλεσκε κιών, ὅτε πού τις ἀνώγοι.* Nostro loco sine dubio male excerpto, nisi casu verba *ᾧ ὅμοιον* — *ἀνώγοι* adhaeserunt, dicere videntur: qui neque nunc neque postea Irus erit (= *μηδὲ εἴης μηδὲ γένοιο*) neque nuntii munere fungetur.

(c 7). τούτῳ ⟨B ex οὕτωϲ corr.⟩ ὅμοιον τὸ οὕτω γάρ κεν δή μοι ἐυκλείη τ' ἀρετή τε εἴη ἐπ' ἀνθρώπουϲ ἅμα τ' αὐτίκα καὶ μετέπειτα (ξ 402), ταὐτὸ τῷ εἴη καὶ γένοιτο.

Ξ

1. ..... ἐζήτηται δὲ πῶϲ ὁ Νέϲτωρ ἐπὶ τοϲοῦτον πίνει, ἀρξάμενοϲ ἀπὸ τῶν ἐϲχάτων τῆϲ Λ. καὶ ῥητέον ὅτι οὐ τοϲοῦτον χρόνον ἔπινεν, ἀλλ' Ὅμηροϲ, κατὰ παρέκβαϲιν ἀπαγγείλαϲ τὰϲ πράξειϲ, βουληθεὶϲ δὲ ἐπὶ τὸν Νέϲτορα μεταβῆναι, πάλιν ἀπὸ ταύτηϲ τῆϲ πράξεωϲ ἤρξατο, ἀφ' ἧϲπερ αὐτὸν καὶ κατέλιπε ποιοῦντα.

A f. 180ᵇ c. l. Νέϲτορα δ' οὐκ ἔλαθεν. L f. 296ᵇ. Cf. Paris. ap. Cramer., A. P. III, p. 18, 32.

ἀκολάϲτωϲ, φαϲί, καὶ ὡϲ μέθυϲοϲ πίνει. τάχα γοῦν τὸν κυκεῶνα πίνειν φηϲίν, ὃϲ εἶχε καὶ οἶνον. τινὲϲ δὲ ϲτίζουϲιν εἰϲ τὸ ἰαχή, καὶ τὸ ἑξῆϲ οὕτωϲ· ἀλλὰ καὶ πρὸϲ τὸν Ἀϲκληπιάδην πίνοντα ἔφη. ὁ δὲ Ἀρίϲταρχοϲ ἀντὶ τοῦ ὁμοίωϲ τῷ Μαχάονι, ὡϲ τὸ ϲὺ δὲ χαῖρε καὶ ἔμπηϲ (ε 205), παρών τε καὶ ἀπών, τόν τε πέρ πλεονάζειν, ὡϲ τὸ ἔφυγόν περ αἰπὺν ὄλεθρον (ρ 47).

B f. 186ᵇ ad πίνοντά περ. L f. 296ᵃ c. l. πίνοντα. Lp f. 224ᵃ. Cf. Paris. l. c. lin. 25.

5. ad Λ 624 (in Addendis ad p. 167, 27 sqq.).

74 sqq. ἐζήτηται πῶϲ ὁ Ἀγαμέμνων οὕτωϲ ἀϲτρατήγωϲ φυγεῖν προϲτάϲϲει τοῖϲ Ἕλληϲι, λέγων νῆεϲ ὅϲαι πρῶται [καὶ τὰ ἑξῆϲ]. ῥητέον οὖν, ὅτι ὁ Ἀγαμέμνων γινώϲκων αὐτοὺϲ μὴ φευξομένουϲ διὰ τὴν οἰκείαν ἀρετήν, καὶ ὅτι οὐδὲ λαθεῖν ἠδύναντο τοὺϲ πολεμίουϲ, ἐπι-

B f. 188ᵃ ad πρῶται v. 75. L f. 299ᵃ c. l. ἦν καὶ τῇ (v. 78). A f. 182ᵃ c. l. ἦν καὶ τῇ.

---

4 quae A praemittit: ϲφόδρα ϲυνετῶϲ εἰϲάγεται ὁ Νέϲτωρ κτλ., in L altero scholio continentur iis quae supra edidimus subiuncto; L praem. ἀπορία ἐπιτοιοῦτον A, ἐπὶ τοϲοῦτον χρόνον L 5 ante καὶ ῥητ. L λύϲιϲ ins. 6 παρέκτασιν L 6. 7 βουληθείϲ τε ἐπὶ τὸν Ν. πάλιν ἐπανελθεῖν ἀπὸ ταύτηϲ κτλ. L 9 schol. Lp, quod subiunctum est alteri scholio ad eund. versum pertinenti (= IV, p. 38, 7—9 Dind.), inc.: τὸ δὲ πίνοντα ἀκολάϲτωϲ φηϲὶ καὶ κτλ. γοῦν, γ postea add., B; οὖν Lp 11 ἔφην Lp ὁ in ras. (fuit maior littera; an signum schol. finiti?) B 13 πλεονάζει L Lp 14 addit Paris. (lin. 30) ὡϲ ἐπιπολαίαϲ δὲ οὔϲηϲ τῆϲ πληγῆϲ κτλ., e schol. Λ 624 Porphyriano excerpta, quae B scholio ad v. 5 pertinenti (p. 38, 24 Dind.), a Porphyrio alieno, subiungit 16 L. praem. ἀπορία, A: ἐὰν ὅλωϲ καὶ δι' αὐτῆϲ ἐζήτηται δὲ πῶϲ κτλ. AL ἀϲτρατηγήτωϲ post Kamm., p. 87, L. Dindorf 17 καὶ τὰ ἑξ. addidi, codd. om.; praeter ea λέγων om. L, λέγων — πρῶται om. B 18 ante ῥητ. L ins. λύϲιϲ ὁ om. A 19 οὔτε (om. ὅτι) A ἠδύνατο BL

---

11. 12 Collato schol. Vict. (f. 252ᵇ) verba inde a lin. 11 ita exhibente: *τινὲϲ δὲ τὸ ἔμπηϲ εἰϲ γαῖάν τε καὶ οὐρανόν* (Ξ 174), *ϲὺ δὲ χαῖρε καὶ ἔμπηϲ, ὁμοίωϲ παρών τε καὶ ἀπών, τόν τε πέρ πλεονάζειν, ὡϲ ἐν τῷ μηδέ μοι ἤτορ ἐνὶ ϲτήθεϲϲιν ὄρινε φυγόντι περ αἰπὺν ὄλεθρον*, sequitur hanc scholii partem et hic et illic decurtatam esse, ita ut suspicari in promptu sit, quae in pleniore quaestione ex Aristarcho de v. *ἔμπηϲ* notionibus allata essent, male huic loco interpretando adhibita esse (cf. Lehrs, Ar. p. 142). Sed dubitari potest, num haec verba e Porphyrio petita sint (v. ann. crit. lin. 11).

τρέπει αὐτοῖς φεύγειν, ἵνα μὴ δόξῃ παρὰ δύναμιν κατέχων αὐτοὺς ἕνεκα τοῦ καθ' ἑαυτὸν χρησίμου αἴτιος γίνεσθαι τοῦ πάντας ἀπολέσθαι, τοὐναντίον δὲ εὔνοιαν ἑαυτῷ πορίζηται διὰ τὸ πᾶν ὁτιοῦν αἱρεῖσθαι ποιεῖν, καὶ ὑπομένειν καὶ τὴν ἐκ τῆς φυγῆς ἀδοξίαν ἕνεκεν τῆς ἐκείνων σωτηρίας.

B f. 188ᵃ ad ὅσαι v. 75. L f. 299ᵃ. Lp v. 74.

ἢ νοσῶν οὐχ ὁρᾷ τὸ χρειῶδες, ἢ τῶν ἀριστέων πειρᾶται· οἶδε γὰρ ὅτι ἐν ἡσυχίᾳ μὲν τῶν πραγμάτων κειμένων ὑποπίπτουσι τοῖς ὑπερέχουσιν ἕκαστος, κινδύνου δὲ ἐπιγενομένου δηλοῦσι τὴν προαίρεσιν, οὐδὲν τῆς οἰκείας ἀσφαλείας προτιμῶντες. καὶ ἰδίως μὲν αὐτὸς πάλιν δοκιμάζειν βούλεται. καὶ πρὸς σώφρονας ὁ λόγος, καὶ οὐκ εὐθὺ πηδήσουσι πρὸς πρᾶξιν. βούλεται δὲ παρακληθῆναι ἑαυτῷ τὸν στρατόν, ἀλλὰ διὰ τῶν ἡγεμόνων· δι' ἑαυτοῦ γὰρ οὐκ ἐδύνατο, ὡς τοῦ παρόντος κινδύνου διὰ τὴν Ἀχιλλέως μῆνιν τὴν αἰτίαν φέρων.

**B f. 188ᵇ ad ἐγγὺς ἀνὴρ v. 110. L f. 300ᵃ. A f. 182ᵇ c. l. ἐγγὺς ἀνήρ.

109. ἐζήτηται διὰ τί νῦν Διομήδης συμβουλεύει καὶ οὐχ ὁ Νέστωρ. ῥητέον οὖν ὅτι τὸ μὲν γῆρας ἐν τοῖς δεινοῖς ἐστιν ἐπισχετικόν, ἡ δὲ νεότης θαρσαλεωτέρα. ἄλλως τε καὶ Διομήδης ἐν τῇ προτέρᾳ βουλῇ (I 32 sqq.) θαυμασθεὶς νῦν μᾶλλον τεθάρρηκε καὶ προήρπασε τῶν πρεσβυτέρων τοὺς λόγους.

**B f. 189ᵃ. L f. 300ᵇ.

114 sqq. [καὶ] διὰ τί νῦν ὁ Διομήδης ἑαυτὸν γενεαλογεῖ; ῥητέον οὖν ὅτι πάνυ ῥητορικῶς· δεῖ γὰρ ἐν ταῖς συμβουλαῖς προαποδεικνύειν, ὡς εἰσὶν οὐχ οἱ τυχόντες ἀλλὰ πολλῷ κρείττους, ἵν' οὕτως ὡς ἂν καλλίονες εἰπόντες πείσωνται.

*B f. 189ᵇ ad μέγ'. A f. 183ᵃ.

147. πῶς δέ, φησίν, ὁ Ποσειδῶν ὁμοιωθεὶς πρεσβύτῃ ὑπὲρ τὴν ἡλικίαν ἐφθέγγετο; ῥητέον ὅτι τῇ μὲν ὄψει πρεσβύτης ἐφαίνετο, τῇ δὲ φωνῇ τὴν τοῦ θεοῦ δύναμιν ἐπεδείκνυτο.

B f. 189ᵇ ad ἄυσεν.

..... πῶς δὲ ὁ κλέπτων τὴν μάχην βοᾷ; ἐπεὶ εἶπεν· ἠχὴ δ' ἀμφοτέρων ἵκετ' αἰθέρα καὶ Διὸς αὐγάς (N 837).

---

1 αὐτοὺς A κατέχειν AL, κατέχων (ων ex ειν corr.) B αὐτοὺς om BL ἕνεκεν τοῦ καθ' ἑαυτοῦ χρ. A 2 γενέσθαι A τῷ πάντας ἀπ. B, τοὺς πάντ. ἀπ. A 3 αὐτῷ B 5 ὁρᾶι (ι in ras. adscr.) B 9. 10 καὶ οὐκ εὐθὺς πηδήσαντας πρὸς πράξεις L 13 ἐζήτ. νῦν διὰ τί ὁ Δ. L καὶ οὐ Νέστωρ A 14 ῥητέον δὲ ὅτι A δεινοῖς om. A, addito post τοῖς signo, quo indicaretur deesse verbum in margine addendum, quod addere is qui schol. scripsit oblitus est 15 θαρσαλεώτερον AL συμβουλῇ AL 16 προήρπακεν AL 18 scholium **B (uno ∴ signo interiecto) subiunctum est alteri scholio **B ad πλαγχθείς v. 110 relato (IV, p. 45, 3—11 Dind.), unde καὶ illud, quod initio eius legitur, explicatur; idem verbum eodem loco in L legi, in quo alterum scholium in pagina antecedenti scriptum est, inde explicatur, quod e libro cod. B simillimo transcriptus est; id. cod. ante καὶ habet ἀπορία ante ῥητέον L λύσις, om. οὖν 21 πείσονται L 22 δὲ om. A ποσειδῶν, ῶ corr. ex ῶ, A 23 φθέγγεται A καὶ ῥητέον ὅτι A δὲ post φωνῇ A 24 ἐνεδείκνυτο A

---

5 sqq. Eadem fere Vict. f. 255ᵃ, cum quo †Eust. Ξ, p. 967, 44 sqq. verbo paene tenus congruit.

25. 26 Huc retuli propter Eust. Ξ, p. 972, 58: *εἰ δὲ σιγᾶν ἔδει αὐτὸν τὴν μάχην κλέπτοντα καὶ μὴ κατὰ χιλιάδας βοᾶν, ἀλλὰ καὶ τούτου δίχα κατὰ τοὺς*

200. πῶς πολλάκις Ὅμηρος τὴν γῆν ἄπειρον εἰπών, διὰ τούτων· ταί μιν φέρον ἐφ' ὑγρὴν [ἠδ' ἐπ'] ἀπείρονα γαῖαν (α 97. 8), καὶ πάλιν· γαῖαν ἀπειρεσίην (Υ 58), πάλιν διὰ τῆς Ἥρας· εἶμι γὰρ ὀψομένη πολυφόρβου πείρατα γαίης; μάχεται γὰρ τὸ ἅμα μὲν αὐτὴν πεπερασμένην ἅμα δ' ἀπείρονα ἀποφαίνεσθαι. εἰ μὲν οὖν ἡ τοῦ ἀπείρου φωνὴ ἓν σημαινόμενον περιεῖχε, τὸ κατὰ ποσὸν ἀδιεξίτητον καὶ ἀπειρομέγεθες, ἐναντιολογία ἂν ἦν· πῶς γὰρ ἡ ἀπειρομεγέθης γῆ πέρατα ἂν ἔχοι; ἐπειδὴ δὲ τὸ ἄπειρον πολλαχῶς λέγεται, ἄτοπον ἂν εἴη, πλειόνων ὄντων τῶν σημαινομένων, ἐφ' ἓν ἀποταξαμένους ἐλθεῖν, καὶ τοῦτο μαχόμενον. δεικτέον οὖν κατὰ ποῖον σημαινόμενον τὴν πεπερασμένην ἐνδέχεται καὶ ἄπειρον λέγειν. ἡ τοίνυν τοῦ ἀπείρου φωνὴ τάσσεται μὲν καὶ κατὰ ποσόν. διττὸν δὲ τοῦτο, ἢ κατὰ μέγεθος ἢ κατὰ πλῆθος· κατὰ μέγεθος μέν, ὅταν ζητῶμεν εἰ ἄπειρος ὁ κόσμος, κατὰ πλῆθος δέ, ὅταν εἰ ἄπειροι οἱ κόσμοι, ὡρισμένοι μὲν κατὰ μέγεθος, κατὰ δὲ πλῆθος ἀδιεξίτητοι ὄντες. σημαίνει δὲ τὸ ἄπειρον καὶ τὸ πεπερασμένον μὲν τῇ ἑαυτοῦ φύσει, ἡμῖν δ' ἀπερίληπτον, ᾧ δὴ σημαινομένῳ χρῆται Ὅμηρος, ὅταν λέγῃ· Κρήτη τις γαῖ' ἔστι μέσῳ ἐνὶ οἴνοπι πόντῳ, καλὴ καὶ πίειρα, περίρρυτος, ἐν δ' ἄνθρωποι πολλοὶ ἀπειρέσιοι (τ 172—4), καὶ ἐπὶ τοῦ Χρύσου δὲ τὰ ἄποινα ὑπὲρ τῆς θυγατρὸς κομίσαντος φέρων φησὶν ἀπερείσι' ἄποινα (Α 13), ὅπερ ἐστὶ πολλὰ τῷ πλήθει. τρία μὲν οὖν ταῦτα σημαινόμενα ἐκ τῆς τοῦ ἀπείρου φωνῆς κατὰ ποσὸν δεδήλωται. σημαίνει δὲ καὶ ἐπὶ τοῦ κατὰ τὸ εἶδος διαφέροντος καὶ ἄγαν καλοῦ, ὡς παρ' Ἡσιόδῳ ἐν Γυναικῶν καταλόγῳ ἐπὶ τῆς Ἀγήνορος παιδός· Δημοδόκης, τὴν πλεῖστοι ἐπιχθονίων ἀνθρώπων μνήστευον καὶ πολλὰ καὶ ἀγλαὰ δῶρ' ὀνόμηναν, ἴφθιμοι βασιλῆες, ἀπειρέσιον κατὰ εἶδος (Hes. fr. 41 Marksch.; 58 Göttl.)· τὸ γὰρ ἀπειρέσιον ἐν τούτοις ἐπὶ τοῦ κατ' εἶδος ἐξόχου καὶ καλοῦ ἄγαν τέτακται. δυνατὸν δὲ καὶ τὰ ὑπὸ τοῦ Χρύσου κομισθέντα οὕτως ἀπερείσι' ἄποινα λέγεσθαι, οἷον ὑπερβαλλόντως καλὰ καὶ περικαλλῆ. λέγεται δὲ ἄπειρον κατ' ἄλλο

*B f. 190ᵇ ad ὀψομένη πολυφόρβου.

2 ἠδ' ἐπ' om. cod. 3 post πάλιν Kamm., p. 88, λέγει ins. 7 ἀπειρομεγεθὲς cod. 14 ante ἄπειροι in cod. ras. unius litt. 19 ἐπὶ, ι in ras., cod. 21 ὅπέρ ἐστι cod. 22 pro σημαίνει Kamm., p. 89, e schol. α 98 λαμβάνεται 25 ἐμνήστευον cod.; corr. Kamm. 26 δῶρα ὀνόμηναν cod.

τὴν ἀπορίαν λύοντας ἡ τῶν στρατοπέδων ἠχὴ πρὸ μικροῦ ἵκετ' αἰθέρα καὶ Διὸς αὐγάς. — Idem quod B scholium Lp (f. 227ᵃ, c. l. *μέγ' ἄυσεν*) et Vict. (f. 257ᵃ) exhibent, nisi quod hoc verba *καὶ — αὐγάς* om., illud *βλέπων* pro *κλέπτων* habet.

1 sqq. Attulit nonnulla ad hoc schol. H. J. Polak, ad Odyss. eiusque scholiast. curae sec., Lugd. Bat. 1881, p. 37 sqq.

20 Cf. Apollon. v. *ἀπερείσια*: *ἄπειρα τῷ πλήθει, πολλά.*

29 †B f. 1ᵇ ad *ἀπερείσι' A* 13 (scriptum a manu recentiore): *τὸ ἄπειρον σημαίνει καὶ τὸ ὑπερβαλλόντως καλὸν καὶ περικαλλές, ὡς ὁ Πορφύριος.* Cf. Manuel Moschop. ibid. (p. 694, 27 ed. Bachm.): . . . . *ἢ ὑπερβαλλόντως καλά.*

cημαινόμενον καὶ ἐπὶ τοῦ κατὰ cῶμα κυκλοτεροῦc τε καὶ cφαιροειδοῦc· τῶν γὰρ πεπερασμένων ἃ μὲν πρὸc πέραcι λέγεται ὡριcμένοις πεπεράνθαι, ἃ δὲ οὔ· ὡc φέρε ἃ ἀπὸ γραμμῶν ἢ οἷον τοῦ τετραγώνου, πρὸc πέραcι μέν ἐcτι τοῖc ἀπό του καὶ ἐπί τι· δύο γὰρ ὄντων περάτων, τὸ μέν ἐcτιν ἀρχὴ ἀφ' οὗ, τὸ δὲ τέλοc εἰc ὅ· ἐcτι γὰρ ἐπ' αὐτοῖc τὸ πόθεν ποῖ. τῆc δὲ ὅληc τοῦ κύκλου περιφερείαc ******* οὐκέτι· πᾶν γὰρ ὃ ἄν τιc ἐπινοήcῃ cημεῖον, ἀρχή τέ ἐcτι καὶ πέραc· ξυνὸν γὰρ ἀρχὴ καὶ πέραc ἐπὶ κύκλου περιφερείαc κατὰ τὸν Ἡράκλειτον. τοῦ τοίνυν κύκλου κατὰ τὴν περιφέρειαν ὄντοc πεπερασμένου καὶ μὴ ἀπείρου κατὰ τὸ διεξίτητον, οὐκ ἂν λέγοιτο πρὸc πέραcιν αὐτὴ πεπεράνθαι. κατὰ δὲ τὸ μὴ ἔχειν ποθέν ποι διάφορα πέρατα πᾶν τε τὸ ληφθὲν ἀρχὴν εἶναι καὶ πέραc ἄπειρον ἐκάλουν τὸν κύκλον· ὡcαύτωc δὲ καὶ τὴν cφαῖραν οὔτε ἄπειρον καὶ ἀδιεξίτητον οὖcαν κατὰ μέγεθοc οὔτε κατὰ ἀριθμόν, κατὰ δὲ τὸ μὴ πέραcι διαφόροιc ἀφορίζεcθαι. ***** τῆc φωνῆc κατὰ τὰc cυντάξειc ἄλλα τε καὶ ἅπερ δὴ καὶ τὸ πολύ cημαινούcηc· οὕτωc γὰρ ἀχανὲc πέλαγοc (Plut. Alex. 31?) τὸ μέγα πάνυ, καὶ ὁ ἐν Δελφοῖc θεὸc ἀφήτωρ (I 404) ὁ πολυφήτωρ καὶ πολλὰc

---

2. 3 πεπεράcθαι cod.; corr. Kamm. ἃ ante ἀπὸ inserui; cod. om. 4 ἀπὸ τοῦ καὶ ἐπὶ τί cod. 5 ἐπ' αὐτῆc cod.; corr. Vill. τὸ πόθεν ποῦ cod. 6 post περιφερείαc in cod. ras. 40 fere litt. (integra linea ante eam quae verbo οὐκέτι incipit et post περιφερείαc 9 litt. erasae sunt) 11 πόθεν ποῖ διαφοράν πέρατα cod., διάφορα corr. Bkk. 14 lacuna quam statui in cod. non est; apparet transire Porphyrium ad rationem difficultatis solvendae ea verbi ἄπειροc ut sit idem quod πολύπειροc notione nitentem, cf. schol. α 98 (quod huic subiunximus): ἄπειροc ὁ κύκλοc καὶ ἡ cφαῖρα λέγεται ἢ διὰ τὸ μὴ πέραcι διαφόροιc ἀφορίζεcθαι κατὰ cτέρηcιν τοῦ ᾱ, ἢ διὰ τὸ πολλὰ πέρατα ἔχειν κατ' ἐπίταcιν τοῦ ᾱ 15 ἄλλά τε ἅτερ δὴ καὶ τὸ πολὺ κτλ. cod.; mutavi dubitanter; ἀτὰρ δὴ Vill.

---

8 sqq. Heraclit. alleg. 47 extr.: *ἔτι γε μὴν μετὰ τῶν ἄλλων ἀπείρονα γαῖαν ὀνομάζει καὶ πάλιν ἐπὶ τῆς Ἥρας· εἶμι γὰρ ὀψομένη πολυφόρβου πείρατα γαίης, οὐ δή που μαχομέναις δόξαις πρὸς αὐτὸν στασιάζων, ἀλλ' ἐπειδὴ πᾶν σφαιροειδὲς σχῆμα καὶ ἄπειρόν ἐστι καὶ πεπερασμένον· τῷ μὲν γὰρ ὅρον τινὰ καὶ περιγραφὴν ἔχειν εὐλόγως αὐτὸ πεπεράνθαι νομιστέον, ἄπειρον δ' ἂν ὁ κύκλος ὀνομάζοιτο δικαίως, ἐπειδήπερ ἀμήχανόν ἐστι δεῖξαι πέρας ἐν αὐτῷ τι· τὸ γὰρ νομισθὲν εἶναι τέλος ἐξ ἴσου γένοιτ' ἂν ἀρχή.* Quae licet cum iis quae h. l. a Porphyrio disputantur quam maxime congruant (qua de re v. Prolegg., cap. III), tamen post Bernaysium (d. Heraclit. Briefe, p. 146), cui assentiuntur Schuster (Act. soc. phil. Lips. III, p. 173), Bywater, p. 29, Patin (in libro inscripto Festschrift f. L. Urlichs, p. 57), dubitari nequit, quin ab hoc Heracliti Ephesii verba afferantur; *ξυνὸν* enim illud a Plotino, Enn. VI, 5, 10, usurpatum, quo Mehler, Her. all., p. 101, 3, nisus locum hic obvium ad allegoriarum scriptorem retulit, cuius verba Porphyrius hac voce usus circumscripserit, vix recte se habet; nam pro *διὸ καὶ ξυνὸν τὸ φρονεῖν κτλ.* scribendum esse ibi videtur: *διὸ ἀεὶ συνὸν τὸ φρονεῖν, οὐ τὸ μὲν ὧδε τὸ δὲ ὧδι ὄν· γελοῖον γὰρ καὶ τόπου δεόμενον τὸ φρονεῖν ἔσται.*

17 †* B f. 122ᵇ ad *ἀφήτορος* I 404: .... *ἢ* ⟨in ras.⟩ *τοῦ πολυφήτορος, τουτέστι τοῦ πολλὰς φήμας ἀφιέντος, ὃ καὶ ἄμεινον.*

ἀφιεὶς φήμας, οὐχ ὁ μηδεμίαν, καὶ ἄξυλος ὕλη (Λ 155) ἢ πολύξυλος. οὕτω καὶ ἄπειρος κύκλος ὁ πολυπείρων· οὗ γὰρ ἂν ἔλθῃ τις, τοῦτο αὐτὸ τὸ πέρας ἐστί. σημαινούσης δὲ τῆς ᾱ καὶ τὸ ἴσον, ὡς τὸ ἀρρεπές τὸ ἰσορρεπές, καὶ ἀτάλαντον (e. c. B 627) τὸ ἰσοτάλαντον, δύναται καὶ ἀπείρων ἰσοπέρατος εἶναι, ὅτι ὅμοιος πάντῃ κατὰ τὰ πέρατα. τὸ δὲ ἴσον ἐπὶ μόνων σχημάτων κύκλου τε καὶ σφαίρας γίνεται· ὅμοια γὰρ ταῦτα πάντοθεν διὰ τὸ τὴν ἐκ μέσου πρὸς τὸ πέρας ἴσην ἀποχὴν εἶναι πάντῃ. διὰ τοῦτο δὲ καὶ ὁμοιομερὴς ἥ τε τοῦ κύκλου περιφέρεια καὶ ἡ τῆς σφαίρας ἐπιφάνεια· καὶ τὸ ὅμοιον πάντῃ ἐπὶ μόνων τῶν σχημάτων τούτων λέγεται. εὐλόγως οὖν οἱ παλαιοὶ ἐπὶ τὸ προσαγορεύειν τόν τε κύκλον καὶ τὴν σφαῖραν ἀπείρονα προήχθησαν. οὕτω καὶ Ἀριστοφάνης Δαναΐσι (fr. 247 D.)· δακτύλιον χαλκοῦν φέρων ἀπείρονα ἔφη· ἔστι δὲ ὁ ἀπείρων δακτύλιος καὶ ὁ κρίκος ὁ ἀσυγκόλλητος καὶ πέρας μὴ δεικνύς, ἀρχήν τε καὶ τέλος· οἱ γὰρ σφενδόνας ἔχοντες, εἰς ἃς οἱ λίθοι ἐντίθενται ἢ σφραγῖδες, οὔκ εἰσιν ἀπείρονες· οὐ γάρ ἐστιν ὁμοιομερής. ὁμοίως δὲ καὶ Αἰσχύλος τὰς ἐν κύκλῳ ἑστώσας ἐν ἀπείρονι σχήματί φησιν ἵστασθαι· ὑμεῖς δὲ βωμὸν τόνδε καὶ πυρὸς σέλας κύκλῳ περίστητ' ἐν λόχῳ τ' ἀπείρονι εὔξασθε (fr. 407 D.)· τοῦτο δέ ἐστιν ἐν τάξει κατὰ κύκλον· ὁ γὰρ λόχος ἐστὶ τάξις, ἐπεὶ καὶ ὁ λοχαγὸς ταξίαρχος. καὶ Εὐριπίδης (Orest. 25) ἐπὶ τοῦ συνερραμμένου πανταχῇ χιτῶνος καὶ κατὰ τοῦτο ὁμοίου (πέριξ οὖν ἡ Κλυταιμνήστρα τὸν Ἀγαμέμνονα ἐνέδυσεν)· ἡ πόσιν περιβαλοῦσ' ὑφάσματι ἀπείρονι· καὶ ἐπὶ τοῦ αἰθέρος κυκλοτεροῦς ὄντος εἰπὼν ὁρᾷς τὸν ὑψοῦ τόνδ' ἀπείρον' αἰθέρα, ἐπήγαγε κατὰ τί ἄπειρον εἴρηκεν, ὅτι κατὰ τὸ τὴν γῆν ἔχειν πέριξ ὑγραῖσιν ἀγκάλαις (fr. 935 D.). μήποτε δὲ καὶ ὅταν Ὅμηρος λέγῃ δεσμοὶ μὲν τρὶς τόσσοι ἀπείρονες ἀμφὶς ἔχοιεν (θ 340), οἱ ἀπείρονες δεσμοὶ οὐ σημαίνουσι πλῆθος ἀλλὰ

2 οὗ Vill.; οὐ cod. 3 ἴσον cod. ἀρεπὲς cod. 4 ἰσορεπές cod. 6 ἴσον cod. 7 τὸ ante τὴν inserui 12 δαναοῖσι cod., e schol. α 98 corr. Kamm., p. 90 18 περίστητε cod. 20 συναραμένου cod.; corr. Vill. 22 ἢ πόσιν cod. 24 ἀπείρονα cod. 26 τόσοι, altero σ supra scrpt., cod. 26. 27 ἀμφὶ σ' ἔχοιεν cod.

1 *ἄξυλος ὕλη* ab ipso Porphyrio *Λ* 155 (p. 162, 16) aliter accipitur.

4 Cf. ad p. 122, 11.

10 sqq. Cf. Eust. *H*, p. 690, 43: *καὶ ὅτι καθ' Ὅμηρον μὲν ἀπείρων ἡ ὅλη γῆ, ὅ ἐστι σφαιροειδὴς καὶ στρογγύλη* .... (simil. Lp *H* 446); Hesych. v. *ἄπειρον*: ... *περιφερές, στρογγύλον, διὰ τὸ μήτε ἀρχὴν μήτε πέρας ἔχειν.* Bekk. An. p. 420, 18: ..... *ἐλέγετο δὲ ἀπείρων καὶ ἄπειρος παρὰ τοῖς Ἀττικοῖς καὶ τὸ περιφερὲς ἁπλῶς σχῆμα.*

20 sqq. Etym. M. 120, 45 (*ἄπειρος*): ..... *λέγει δὲ Ὦρος ὅτι σημαίνει χιτῶνα διέξοδον μὴ ἔχοντα, ὡς παρὰ Σοφοκλεῖ ἐν Πολυξένῃ* (fr. 473 D.)· *χιτών σ' ἄπειρος ἐνδυτήριος κακῶν, καὶ παρ' Εὐριπίδῃ ἐν Ὀρέστῃ· ἢ πόσιν ἀπείρῳ περιβαλοῦσ' ὑφάσματι.*

27— p. **192**, 22 (*οἱ ἀπείρονες δεσμοὶ — καὶ σφαιροειδοῦς*) paucissimis mutatis in schol. HQ ad *θ* 340 leguntur.

τοὺς ἰcχυρούς, οἵ εἰcιν ἔγκυκλοι καὶ κρικωτοί· πρὸς γὰρ τὴν ἐρώτηcιν ἡ ἀπόκριcις ἔcται κατὰ λόγον τοῦ cημαινομένου οὕτωc ἀποδοθέντος· ἤρετο μὲν γὰρ αὐτὸν εἰ θέλοι δεcμοῖcι κρατεροῖcι πιεcθεὶc εὕδειν παρὰ τῇ Ἀφροδίτῃ, ὁ δὲ ἀποκρίνεται· εἴη μοι πολλάκιc τοcούτοιc δεcμοῖc δεθέντα εὕδειν, ἴcον τῷ πολυπλαcίοιc καὶ πρὸc τούτοιc ἀπείροcιν, ἐν ταὐτῷ λέγων τῷ ἰcχυροῖc· τοῦτο γὰρ αὐτὸc ἐπύθετο· ἦ ῥά κεν ἐν δεcμοῖc ἐθέλοιc κραταιοῖcι πιεcθεὶc εὕδειν (θ 336); τὸ δὲ ἰcχυροῖc δηλοῖ διὰ τῆc ἀπείρονοc φωνῆc, ἀναφέρων ἐπὶ τοὺc κρικωτοὺc καὶ ταύτῃ δυcλύτουc. ὡc γὰρ ἀλλαχοῦ εἶπε πέδαc ἀρρήκτουc ἀλύτουc (N 36), οὕτωc ἐνταῦθα τοὺc ἀπείροναc δεcμοὺc τοὺc ἀλύτουc διὰ τὸ ἐν κύκλῳ περιέχειν. εἰ γὰρ ἀπείρονεc ἀκούοιμεν ὡc ἄπειροι πλήθει, ἄλογοc ἔcται ἡ ἀπόφαcιc, τρὶc τόccουc εἰπεῖν καὶ ἀπείρουc· τὸ γὰρ τρὶc τόccουc πολλαπλάcιόν ἐcτι, τὸ δὲ καθ' ὁποcονοῦν πολλαπλάcιον οὐκ ἄπειρον. ὥcτε ἅμα δεcμοί τε εἶεν ἂν καὶ τὸ πλῆθοc ἄπειροι· ὁ γὰρ δεcμὸc cυνοχὴν καὶ δέcιν ὑπαγορεύων τοῦ κατὰ πλῆθοc ἀπείρου κεχώρικται. ὅλωc τε ἡ ἐρώτηcιc οὐ περὶ πλήθουc ἀλλὰ περὶ δυνάμεωc· εἰ γὰρ βουληθείη δεcμοῖcι κρατεροῖc πιεcθεὶc εὕδειν ἐρωτᾷ, οὐχὶ πολλοῖc. ἄλογον δὲ πρὸc τὸ πολλοῖc ὅπερ οὐκ ἐπύθετο ἀποκρίνεcθαι, πρὸc δὲ τὸ κρατεροῖcι μηδὲν φάναι. λέγοι ἂν οὖν τὸ μὲν τρὶc τόccουc πολλαπλαcίουc, ἀπείροναc δὲ τοὺc κραταιούc, ὥcτε τὸ ἄπειρον καὶ ἐπὶ cχήματοc πεπεραcμένου καθ' Ὅμηρον τίθεται. καὶ ἔcτι τοῦ κυκλοτεροῦc ἴδιον καὶ cφαιροειδοῦc, εἴγε καὶ αὐτὸc πείρατα γαίηc φηcὶ καὶ ἀπείρονα γαῖαν, ἀδύνατον δὲ καὶ ἐπὶ τοῦ κατὰ μέγεθοc ἢ κατὰ ποcὸν ἀδιεξιτήτου ἀπείρου τίθεcθαι πέραc, ἐπὶ δὲ τοῦ περιφεροῦc οἷόν τε. ὥcτε cυνάγεται, εἴπερ ἡ γῆ πεπεραcμένη ῥηθεῖcα ἄπειροc πάλιν ἐῤῥήθη, μὴ διὰ τὸ μὴ ἐξίτητον αὐτὴν εἶναι κατὰ μέγεθοc εἰρῆcθαι ἄπειρον, διὰ δὲ τὸ cφαιροειδῆ εἶναι, καὶ τοιαύτην αὐτὴν κατὰ cχῆμα ὑπειλῆφθαι τῷ Ὁμήρῳ. εἰ δὲ καὶ ἀπειρέcιοc ὡc μέγαc ἀκούοιτο καὶ ἀπερίληπτοc εἰc γνῶcιν ἡμετέραν, οὐδ' οὕτωc ἀντιπίπτει κατὰ τὴν πρόc τι cχέcιν· πολλὴ μὲν γὰρ οἰκουμένη τῆc καθ' ἡμᾶc ἠπείρου, πολλὴ δὲ θάλαcca, πολλὴ δ' ἀντίπερα ταύτηc χέρcοc διειργομένη τῷ τοῦ Ὠκεανοῦ χεύματι (μέccῳ γὰρ μεγάλοι ποταμοὶ καὶ δεινὰ ῥέεθρα, Ὠκεανὸν

3 ἤρητο vel εἴρητο cod.; corr. Bkk. 5 ἴcον cod. 10 οὕτωc coni. Buttm. ad θ 340; cod. τοῦτο 12. 13 τόcουc (utroque loco altero c supra scrpt.) cod. 13 ὁπωcοῦν cod.; rectum schol. θ 340 suppeditare Kamm., p. 91, vidit 19 λέγοι ἂν οὖν τὸ τρὶc μὲν τρὶc τόcουc (altero c supra scrpt.) πολλαπλ. cod. 21 sqq. καὶ ἔcτι τοῦ κτλ., ex initio scholii nonnulla male hic repetita esse videntur 22 πειρᾶται γαίηc cod.; corr. Vill. 25 ἐρήθη cod. 26 μὴ ante ἐξίτητον om. cod.; sensu postulante addidi 29 οὐδ' οὕτωc ἀντιπίπτει πρόc τι κατὰ τὴν cχέcιν aut οὐδ' οὕτωc ἀντιπ. κατὰ τὴν πέραcι πεπεραcμένην cχέcιν coni. Kamm., p. 92; haud scio an medela loci corrupti e p. 193, 14. 15 petenda sit

25 sqq. †**B f. 270[a] ad *ἀπειρεcίην* T 58: *τὴν πέρας μὴ ἔχουcαν, διὰ τὸ cφαιροειδῆ εἶναι* (sed cf. ann. crit. ad lin. 21 sqq.).

μὲν πρῶτον, ὃν οὔπω ἔστι περῆσαι, λ 157)· τῆς δ' οἰκουμένης αὐτῆς εἴ τις ἐπίδοι τὰ μεγέθη καθόλου τε καὶ κατὰ μέρη, καὶ τῆς θαλάσσης τά τε πελάγη καὶ τοὺς κόλπους τοὺς μεγάλους τε καὶ μικρούς, πολλοῦ χρόνου δέοιτ' ἂν πρὸς τὴν διήγησιν. κἂν μέντοι ἀπειρεσίη λέγοιτο διὰ τὸ κάλλος, οὐδ' οὕτως ἀντιπίπτει τῇ φύσει αὐτῆς τὸ σημαινόμενον, καθάπερ τοῖς διαγράφειν τὰ κατ' αὐτὴν βουλομένοις ἐστὶ πρόδηλον.

Ex eadem quaestione additis nonnullis, quae aliunde illata esse videntur, excerptum est schol. α 98, quod in cod. E secundum Dindorfium (cf. idem in praef., p. XXX) ita legitur:

ἀπείρονα γαῖαν] τὴν πέρας μὴ ἔχουσαν διὰ τὸ εἶναι στρογγυλοειδῆ ἢ σφαιρικὴν καὶ κυκλικήν· ἢ καθ' ὅσον πρὸς ἡμᾶς ἄπειρός ἐστιν, εἰ καὶ τῇ φύσει πεπέρασται· τεταρτημόριον γὰρ μόνον τῆς γῆς οἰκεῖται. ἢ ἀντὶ τοῦ περικαλλής, καθάπερ τοῖς διαγράφειν τὰ κατ' αὐτὴν βουλομένοις ἐστὶ πρόδηλον. λαμβάνεται γὰρ τὸ ἄπειρον καὶ ἐπὶ τοῦ κατὰ τὸ εἶδος διαφέροντος καὶ ἄγαν καλοῦ, ὡς παρ' Ἡσιόδῳ ἐν Γυναικῶν καταλόγῳ ἐπὶ τῆς Ἀγήνορος παιδός· Δημοδόκης, τὴν πλεῖστοι ἐπιχθονίων ἀνδρῶν μνηστεύοντο καὶ πόλλ' ἀγλαὰ δῶρ' ὀνόμηναν, ἴφθιμοι βασιλῆες, ἀπειρέσιον κατὰ εἶδος. ἰστέον δὲ ὅτι ἄπειρος ὁ κύκλος καὶ ἡ σφαῖρα λέγεται ἢ διὰ τὸ μὴ πέρασι διαφόροις ἀφορίζεσθαι κατὰ στέρησιν τοῦ ᾱ, ἢ διὰ τὸ πολλὰ πέρατα ἔχειν κατ' ἐπίτασιν τοῦ ᾱ. οὐ γὰρ ἂν ἔλθοι τις τοῦτο ἐπ' αὐτὸ πέρας ἴσως ἔχον διὰ τὸ ἰσοπέραστον εἶναι διὰ τὴν ἐκ τοῦ μέσου πρὸς τὸ περιέχον ἴσην ἀπόστασιν κατ' ἰσότητα του ᾱ. οὕτως Ἀριστοφάνης Δαναΐσι· δακτύλιον χαλκοῦν φέρειν ἀπείρονα ἔφη, δηλῶν τὴν σφενδόνην μὴ ἔχοντα πέρας καὶ διὰ τοῦτο ὁμοιομερῆ ὄντα. ὁμοίως καὶ Αἰσχύλος τὰς ἐν κύκλῳ ἑστώσας καὶ ἀπείρονι σχήματί φησιν ἵστασθαι· ὑμεῖς δὲ βωμὸν τόνδε καὶ πυρὸν γέρας κύκλῳ παρίστατε ἐν λόχῳ τ' ἀπείρονι εὔξασθε, τουτέστιν ἐν τάξει κατὰ κύκλον. ὁ γὰρ λόγος (?) ἐστὶ τάξις, ἐπεὶ καὶ λοχαγὸς ὁ ταξίαρχος.

212. πῶς ἡ ἄλλους ἐξαπατῶσα ἀπατᾶται νῦν; ἢ ὅτι οὐκ ἀλεξιφάρμακον ἀπάτης ἡγεῖσθαι δεῖ τὸν κεστόν· ἔστι γὰρ μόνης συνουσίας περιποιητικός, φιλοτιμουμένη δέ φησι περὶ αὐτοῦ τὸ ὅ τι φρεσὶ σῇσι μενοινᾷς (v. 221). οὐδὲν οὖν κωλύει αὐτήν τε ἀπατᾶσθαι καὶ ἄλλους

B f. 190ᵇ ad ἔοικε. L f. 303ᵇ. Lp f. 228ᵇ c. l. τὴν δ' αὖτε προσέειπε. Vict. f. 260ᵇ.

31 Vict. s. ullo intervallo scholio v. 230 (v. ad p. 194, 15 sqq.) subiunctum ὅτι om. Vict. 32 οὐσίας Lp Vict. 33 φιλοτιμουμένης BL post μενοινᾷς add. Vict.: ὡς καὶ Ἀλκίνους· σὺ μὲν δεδμημένος ὕπνῳ λέξαιε (sic) καὶ τὰ ἑξῆς 34 ἐκώλυεν Vict.

11. 12. Cf. Eust. *H*, p. 690, 43: *καὶ ὅτι καθ' Ὅμηρον μὲν ἀπείρων ἡ ὅλη γῆ, ὅ ἐστι σφαιροειδὴς καὶ στρογγύλη.*

22 sqq. *οὐ γὰρ ἂν ἔλθῃ τις, τοῦτ' ἂν αὐτῷ πέρας ἴσως ἔχοι — ἢ διὰ τὸ ἰσοπέρατον εἶναι* correxit Polak, p. 39.

31 sqq. Cf. Porph. *O* 13.

ἀπατᾶν δύνασθαι. ἢ δίδωσι τὸν κεστόν, ὅπως τῇ ἀπουσίᾳ τῆς Ἥρας ἀκίνδυνοι εἶεν Τρῶες.

*B f. 191ᵃ ad φιλότης. L f. 304ᵇ. Cf. Paris. ap. Cramer., A. P. III, p. 19, 29, et HQθ 288.

216 sqq. διὰ τί τὰ ἐρωτικὰ ἐν ἱμάντι φησὶν Ὅμηρος κατεστίχθαι· ἔνθ' ἔνι μὲν φιλότης, ἐν δ' ἵμερος; φησὶν οὖν Σάτυρος, ὡς ἐπεὶ πληγῶν ἄξια δρῶσιν οἱ ἐρῶντες· Ἀπίων δέ, ἐπειδὴ δεσμοῖς ἐοίκασι καὶ βρόχοις οἱ ἔρωτες καὶ τὰ τῶν ἐρώτων πάθη· Ἀρίσταρχος δέ, ὅτι ἄχρι τοῦ δέρματος διικνεῖται τὰ ἐρωτικὰ πάθη τήκοντα τοὺς ἐρῶντας καὶ ἀποξύοντα διὰ τῆς στύψεως τὰ μέλη.

A c. l. Λῆμνον δ' εἰσαφίκανε. L f. 304ᵃ. Lp v. 230.

230. διὰ ποίαν αἰτίαν ἐν τῇ Λήμνῳ μάλιστα ὁ Ὕπνος διατρίβει; ῥητέον οὖν ὅτι Λήμνου μὲν ἦν δεσπότης Ἥφαιστος, γυνὴ δὲ τούτου Χάρις, Πασιθέας δὲ τῆς Χάριτος ἀδελφῆς ἐρωτικῶς ἔχων ὁ Ὕπνος ἐκεῖ διέτριβεν. ταύτην οὖν αὐτῷ ἐπαγγέλλεται γυναῖκα δώσειν Ἥρα. δύναται δὲ καὶ φυσικώτερον λυθῆναι, ὅτι οἰνοφόρος ἡ Λῆμνος, καθὼς λέγει· νῆες δ' ἐκ Λήμνοιο παρέστασαν οἶνον ἄγουσαι (H 467), τοῖς δὲ πολυποτοῦσι μάλιστα ὁ ὕπνος παρέπεται.

B f. 191ᵇ ad v. 231. Lp l. c., c. l. ἔνθ' Ὕπνῳ ξύμβλητο.

πολυοίνων ὄντων καὶ φιλοίνων τῶν Λημνίων εἰκότως ἐκεῖσε διατρίβει ὁ Ὕπνος· καὶ γὰρ πολὺν ἔχουσιν οἶνον, ὥστε καὶ τοῖς Ἕλλησι χορηγεῖν· καὶ γὰρ καὶ οἱ Λήμνιοι, ὡς οἱ παῖδες Αἰγύπτου, ὑπὸ τῶν γυναικῶν διὰ τὴν πολλὴν ἀναιροῦνται ἀκρασίαν. εἴωθε δὲ ὁ Ὕπνος ἐπὶ πάντας καὶ μᾶλλον ἐπὶ τοὺς μεθύσους ἐνδιατρίβειν.

1 ἢ δίδωσι κτλ. in uno Vict. 3 L inc.: ἱμάντα ποικίλον ἔνθα δέ οἱ θελκτήρια πάντα τέτυκτο, ἔνθ' ἔνι μὲν φιλότης ἐν δ' ἵμερος ἐν δ' ὀαριστύς. ἀποροῦσι διὰ τί κτλ. καὶ ante ἐν ins. L φησὶν ὁ Ὅμ. L post ἵμερος ins. ἐν δ' ὀαριστύς L Σάτυρος μὲν οὖν (om. φησὶ) ἐπεὶ L 6 δίκασαν pro ἐοίκασι L πάθη, η e corr., B 9 L praem. ἀπορία, id. in marg. λύσις et infra ἱστορία 10 ὁ Ἥφ. L 11 ἀδελφὸς L ἐκεῖσε L 12 ταύτην δὲ αὐτῷ ἐπαγγέλλεται L 12 ἡ Ἥρα L λύεται δὲ καὶ φυσ. L 14 δ' om. A φέρουσαι A 15 ὁ om. A ἕπεται L 18 ὡς οἱ ins. Edv. Schwartz, de schol. Hom. ad histor. fab. pertinent., p. 14

3 sqq. Cf. ad Ξ 314 sqq.

4 Eust. Ξ, p. 979, 49: .... *αἴνιγμά φασιν αὐτὸν* (*τὸν κεστὸν*) *εἶναι τοῦ πληγῶν καὶ ἱμάντων ἄξια τοὺς φαύλως ἐρῶντας πάσχειν.*

6 Aristarchi nomen errori deberi contenderim, quamvis Lehrs, Ar. p. 200, pro genuino habuisse videatur. Quae Aristonico auctore de cesto Veneris ad eundem referuntur v. ibid., p. 193.

16 sqq. Transierunt amplificata in schol. Vict. f. 260ᵇ: *φίλοινοι γὰρ ὡς ἀπόγονοι Θόαντος τοῦ Διονύσου* ⟨*Διονυσίου* cod.⟩. *καὶ Εὔνεως οἶνον πέμπει* (*H* 468)· *καὶ Ὀδυσσεὺς ἀπὸ Θρᾳκῶν τὸν οἶνον δέχεται* (*σ* 197)· *καὶ οἱ σὺν Ῥήσῳ κοιμώμενοι ἀνῃρέθησαν* (*K* 470)· *καὶ οἱ Λήμνιοι ὑπὸ τῶν γυναικῶν· καὶ οἱ Ἀχαιοὶ ἐν Λήμνῳ πίνουσι κρητῆρας ἐπιστεφέας οἴνοιο* (*Θ* 230). *ἢ διὰ Πασιθέαν τὴν γυναῖκα Ἡφαίστου πάρεστιν αὐτὸς λιπαρῶν τυχεῖν τῆς ἀδελφῆς· τὸ δὲ χαλκεῖον Ἡφαίστου ἐν Λήμνῳ. οἱ δὲ ὅτι Φιλοκτήτης ἐδεῖτο αὐτὸν* ⟨*ἔδει τὸν αὐτὸν* cod.⟩ *εἶναι ἐκεῖ διὰ τὰς ὀδύνας. οἱ δὲ ἐκ τύχης συντετυχηκέναι. τινὲς δὲ γράφουσιν ἐρχομένῳ κατὰ φῦλα βροτῶν ἐπ' ἀπείρονα γαῖαν. πῶς ἡ ἄλλους ἐξαπατῶσα κτλ.* (schol. v. 212). — Cf. Eust. Ξ, p. 980, 58 sqq.

246. πῶς Ἡσιόδου (theog. 116) πάντων πρῶτον εἰπόντος γεγενῆσθαι τὸ χάος, Ὅμηρός φησι γεγενῆσθαι τὸν Ὠκεανὸν ποταμόν; ῥητέον οὖν ὅτι ἕκαστος εἴρηκεν ὡς ἐβούλετο, Ὅμηρος δὲ φιλοσοφώτερον· τὸ γὰρ ὕδωρ τῶν πάντων ἡ ζωή, καὶ προέχει τῶν τεσσάρων στοιχείων, ὅθεν καὶ Πίνδαρος ἄριστον αὐτό φησιν. **B f. 191ᵇ ad γένεσις. L f. 305ᵃ. A f. 185ᵃ.

267. v. schol. 2 ad lin. 17 sqq. allatum.

275. διὰ τί Ἥρας ὑποσχομένης τῷ Ὕπνῳ δώσειν θρόνον ἀρνεῖται, αἰτεῖται δὲ Χαρίτων μίαν ὁπλοτεράων; καὶ τί βούλεται ἡ ὁπλοτέρα Χάρις; ῥητέον οὖν· τὸν μὲν θρόνον ἀρνεῖται, ὅτι Ὕπνος θρόνου οὐ δεῖται· Θανάτου γὰρ τὸ τοιοῦτον, περιφοίτητον δὲ ὁ Ὕπνος πάθος ἐστὶ καὶ τῶν ἐπιόντων καὶ τῶν ἀπιόντων. Χάριν δὲ αἰτεῖται οὐ προκαταρκτικὴν ἀλλ' ἀμειπτικήν· ἀνθ' ὧν γὰρ εὖ ποιεῖ ἀξιοῖ λαβεῖν τὴν ἀμοιβήν, οὐκ ἐξ ὧν αὐτὸς προκατήρχθη. αἱ μὲν οὖν προκατάρχουσαι Χάριτες εἶεν ἂν πρεσβύτεραι, αἱ δὲ ἀμειπτικαὶ ἔτι νεώτεραι· μεταγενέστερον γὰρ, καὶ διὰ τοῦτο νεώτερον, τὸ δεύτερον τοῦ προτέρου. διόπερ τῶν ὁπλοτέρων φησὶν αἰτεῖσθαι μίαν Χαρίτων. **B f. 192ᵃ ad ὁπλοτεράων. L f. 304ᵇ, *H*.

* * * * φέρτερον τὸν κρείττω λέγει, τὸν φέρειν ἰσχύοντα, ποιήσας τοὔνομα ἀπὸ τοῦ φέρειν δύνασθαι μᾶλλον τὰ προσπίπτοντα. τούτου οὖν ἐν εἴδει ὁ ὁπλότερος, ὁ φέρειν μᾶλλον ὅπλον δυνάμενος. ἀντιφερίζει δὲ ὁ ἐξ ἐναντίας τῷ φέροντι ἀντιφέρων τὸ ἴσον. τὸ δ' αὐτὸ *B f. 139ᵃ ad πρόφερε K 479. L f. 219ᵇ ib., *H*, cf. HQ₁ 276.

---

1 A (c. l. Ὠκεανοῦ ὅσπερ γένεσις πάντεσσι τέτυκται) praemittit verba: ἐπεὶ ἐξ ὑδάτων αἱ αὐξήσεις ὑπάρχουσιν, L inc.: ἀπορία. πῶς φησιν Ἡσίοδος πάντ. πρῶτ. γεγ. τὸ χάος, Ὅμ. δέ φησιν Ὠκεανὸν τὸν ποταμόν; 1. 2 γεγενῆσθαι τὸν om. A; id. om. ποταμόν 3 μὲν post εἴρηκεν ins. A 4 prius τῶν om. A ὅλων pro στοιχείων BL 7 L praemittit ἀπορία, id. in marg. λύσις 9 ὅτι post οὖν ins. L 11 ἐστὶ πάθος L 17 lacunae in codd. vestigium non exstat, v. infra ad h. v.; L inc.: εἰς τὸ ἀλλ' ἄγε δὴ πρόφερε κρατερὸν μένος, post λέγει id. ἤτοι ins.

1—5 Idem schol. ap. Cramer. A. P. III, p. 19, 22. — Ceterum dubito an non inter quaestiones referendum, sed e schol. A Ξ 201 ortum sit.

11 sqq. Cf. Chrysipp. de Gratiis (Philodem. de piet. c. 14; Diels, Doxogr. p. 547): .... *καὶ τὰς Χάριτας τὰς ἡμετέρας καταρχὰς καὶ τὰς ἀνταποδόσεις τῶν εὐεργεσιῶν* ... — De Aristarcho duo Gratiarum genera (*πρεσβυτέρας* et *νεωτέρας*) esse docente v. Lehrs, p. 180.

17 sqq. Scholium in codd. nostris ad *K* 479 adscriptum, quod ad eum locum non pertinere apparet, veri simillimum est cum quaestione de verbi *ὁπλότερος* notione ad nostrum locum servata coniungendum esse. Inter utrumque scholium supplenda esse nonnulla liquet. — Duo praeterea scholia ex eodem fonte petita esse videntur, quamvis habeant quae aliunde fluxerint; agitur enim in iis de comparativa v. *ὁπλότερος* forma ratione ab ea quam locis huc collatis Porphyrius sequitur nonnihil discrepante. Sunt autem haec:

1) **B f. 43ᵇ ad *ὁπλοτέρων* Γ 108 (id. Lp f. 84ᵇ): *ὁπλότερος ὁ νεώτερος. ἔστι δὲ συγκριτικόν. ὡς δὲ τὸ νεώτερος καὶ πρεσβύτερος τύπῳ μέν εἰσι συγκριτικά τῇ δὲ φωνῇ ἀντὶ ἁπλῶν παραλαμβάνονται, οὕτω καὶ τὸ ὁπλότερος τύπῳ μέν ἐστι συγκριτικὸν τῇ δὲ φωνῇ ἀνθ' ἁπλοῦ παραλαμβάνεται. γίνεται*

καὶ ἰcοφαρίζει (Φ 194) λέγει, ἤτοι ἀπὸ τῶν φερόντων ἐναντία ὅπλα ἢ καὶ ἀπὸ τῶν ὑποζυγίων· ἥλικες ἰcοφόροι (c 373). ἀπὸ τοῦ φέρειν δὲ καὶ τὸ ἀλλ' ἄγε δὴ πρόφερε κρατερὸν μένος (K 479), ὡς εἰ ἔλεγε τὸ ὅπλον, καὶ μή μοι δῶρ' ἐρατὰ πρόφερε χρυcῆς Ἀφροδίτης (Γ 64).

B f. 192ᵇ ad φίλους. Lp f. 230ᵃ c. l. οἷον ὅτε πρώτιcτον. Simil. Vict. f. 263ᵇ.

295. 96. καὶ πῶc φηcι παρ' Ὠκεανῷ αὐτὴν τρέφεcθαι (v. 202); ἢ τὸ ἀτιτάλλειν οὐκ ἐκ νηπίας, ἀλλὰ τὸ ἐπιμελῶc τρέφειν φηcί· τοὺc μὲν τέccαραc αὐτὸc ἔχων ἀτίταλλ' ἐπὶ φάτνῃ (E 271). λάθρα οὖν ἐμίγη, ὅτε δὲ ἐταρταρώθη ὁ Κρόνοc, ὡc παρθένοc ὑπονοουμένη ἐξεδόθη Διὶ παρὰ Τηθύοc καὶ Ὠκεανοῦ .....

B f. 192ᵇ ad ἔρχομαι v. 301. Lp v. 300.

304—6. ἀθετοῦνται οἱ cτίχοι ὡc ἀμβλύνοντεc τὴν ἐπιθυμίαν Διόc. κακῶc· οὐ γὰρ ἠμβλύνθη· περὶ ἀφροδιcίων γὰρ λέγουcα ἐπιτείνει τὸ πάθοc καὶ τὸν πόθον πλέον ἐξάπτει. ἄλλωc τε λέγονται, ἵνα μὴ ὕcτερον αἰτία ᾖ ὡc εἰc τοῦτο ἐπίτηδεc ἐλθοῦcα.

*B f. 192ᵇ ad ἔρχομαι. L f. 306ᵇ, Π. Index p. 197,17 etiam *B f. 8ᵇ ad οὐρανόθεν A 195 (B¹), L f. 8ᵇ ibid., Π (L¹), Lp f. 56ᵇ ad οὐρανόθεν ibid.

διὰ τί ἡ Ἥρα, ὅτε μὲν μετὰ τοῦ Διὸc ᾤχετο ἐπὶ τὸν Ὠκεανὸν (A 423), οὐ διέλυcε τὴν Τηθὺν καὶ τὸν Ὠκεανόν, ὕcτερον δὲ ἡμέραιc [πέντε ἢ] δεκαπέντε ἐπεχείρει ἐπὶ τοῦτο πορεύεcθαι; οὐ γὰρ δὴ μετ' ἐκείναc γε διηνέχθηcαν· πάλαι γάρ φηcιν αὐτοὺc ἀπέχεcθαι εὐνῆc καὶ φιλότητοc. ἢ οὐ λέγει ὁ ποιητὴc ὅτι ἐπορεύετο ἐπὶ τοῦτο, ἀλλ' ὅτι

---

1 ἐναντίον L 3 ἀλλά γε δὴ B, ἀλλά cε δὴ L 7. 8 τοὺc μὲν δὴ αὐτὸc Lp 9 ἐμίγη, ὡc παρθένοc δὲ ὑπονοουμένη ὅτι (sic) ἐταρταρώθη ὁ Κρ. ἐξεδόθη κτλ. Lp 10 quae post Ὠκεανοῦ de Volcano Iunonis filio et de nuptiarum apud Samios ritu leguntur, casu cum quaestione coaluisse videntur; eadem ab Eust. (p. 987, 6 sqq.) ita afferuntur, ut quaestionis vestigium appareat nullum 17 δεκάπεντε vel δεκάπεντε ἢ ἓξ Düntzer, Zenod. p. 197, 8; πέντε ἢ δέκα πέντε codd., quam dittographiam e πεντεκαίδεκα et δεκαπέντε ortam esse liquet ἐπιχείρει ἐπὶ ταῦτα L 19 ἐπὶ τοιοῦτο L

οὖν παρὰ τὸ ὅπλον, ὁ μᾶλλον ὅπλα φέρειν δυνάμενος, ὡς πρὸς τὸν γέροντα (transierunt haec in Epimerism. An. Ox. I, p. 322, 6 et, admixtis aliis, Etym. M. 628, 24), et

2) L f. 305ᵇ ad Ξ 267: *οὐ πιθανὸν δύο γένη Χαρίτων νομίζει. ἀλλὰ τῷ Ἡφαίστῳ τῆς προτέρας γεγαμημένης, ταῖν λοιπαῖν* ⟨*λυκαίναν*? cod.⟩ *δυοῖν δώσειν φησὶ τὴν ἑτέραν. ἢ τὸ ὁπλοτεράων οὕτως λέγει· αἷς ἀεὶ συμβέβηκεν εἶναι νέαις, ὡς τὸ ἀεὶ δ' ὁπλοτέρων ἀνδρῶν* (Γ 108).

11—14 Paullo aliter Vict. v. 301 (f. 264ᵃ): *ἀθετοῦσιν ὡς ἀμβλύνοντας τὴν ἐπιθυμίαν Διός. ἀλλ' οὐκ ἠμβλύνθη, τοῦ νεστοῦ ἐπιτείνοντος. ἄλλως τε περὶ ἀφροδισίων λέγουσα ἐπιτείνει τὸν πόθον καὶ πλείονα ἐξάπτει.* — Hiller (Phil. XXVIII, p. 102) recte monuit, causam *ἀθετήσεως* hic allatam a schol. Ariston. v. 304 alienam esse.

15 sqq. †B f. 192ᵇ ad *ἄκριτα* Ξ 304 (id. Lp f. 230ᵃ c. l. *ἄκριτα νείκεα λύσω*, et Vict. f. 264ᵃ): *καὶ πῶς ἐν τῇ Δ μετὰ τῶν θεῶν ἐλθοῦσα ἐς Ὠκεανὸν οὐ διήλλαξας* ⟨—*ξε* Lp⟩ *τὴν ἔριν; ἀλλ' ὅτι οὐ* ⟨om. Lp⟩ *σὺν αὐτοῖς ἦν· δῆλον ἐξ ὧν ἀπ' οὐρανοῦ πέμπει τὴν Ἀθηνᾶν παύσουσαν τῶν στρατηγῶν τὴν ἔριν.*

17 Cf. Porph. Σ 125.

σκηπτομένη τοῦτο ἔπλαττε· τὸν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρα (Ξ 300), καὶ

ἵπποι δ' ἐν πρυμνωρείῃ πολυπίδακος Ἴδης
ἑστᾶσ', οἵ μ' οἴσουσιν ἐπὶ τραφερήν τε καὶ ὑγρήν

5 (v. 307. 8). οὐδαμοῦ δὲ ἦσαν οἱ ἵπποι, ὥστε οὐδ' ἡ πορεία ὄντως ἐπὶ τοῦτο παρεσκεύασται. ἔπειτα οἱ Αἰθίοπες παρὰ τὸν Ὠκεανὸν οἰκοῦσιν. Ὠκεανὸς δὲ καὶ τὸ ὕδωρ καὶ ὁ θεός, καὶ οὐχ ὁ τῷ ὕδατι ἐντυγχάνων κύκλῳ πᾶσαν περιθέοντι τὴν γῆν πάντως καὶ τῷ θεῷ ἐντυγχάνει κατὰ πᾶν μέρος τοῦ ὕδατος. οὐδ' ἐλθοῦσα μετὰ τοῦ Διὸς ἐπ' ἄλλα ἂν

10 ἀπῆλθε, πάρεργα ἑκάτερα ποιουμένη καὶ ἐγκαταλιποῦσα τὸν ἡγεμόνα, ᾧ πάντες οἱ ἄλλοι θεοὶ ἠκολούθουν·

Ζεὺς γὰρ ἐς Ὠκεανὸν μετ' ἀμύμονας Αἰθιοπῆας

(Α 423) καὶ τὰ ἑξῆς. καὶ ταῦτα μὲν δόντες αὐτῇ ἀπεληλυθέναι μετὰ τοῦ Διὸς οὕτω λύομεν· ὅτι δὲ οὐκ ἀπεληλύθει, δηλοῖ τὸ ὀργιζομένῳ

15 Ἀχιλλεῖ παραγινομένην τὴν Ἀθηνᾶν λέγειν ὑφ' Ἥρας πεπέμφθαι (Α 194). πῶς οὖν, εἰ μὴ ἀπῆλθον καὶ αὐταί, εἴρηται θεοὶ δ' ἅμα πάντες ἕποντο (Α 424); καὶ διὰ τί φήσας πάντας τοὺς θεοὺς εἰς Αἰθιοπίαν ἐληλυθέναι, θεοὶ δ' ἅμα πάντες ἕποντο, τὴν Ἀθηνᾶν ἐκ τοῦ οὐρανοῦ φησιν ἐλθεῖν παρὰ τῆς Ἥρας πρὸς τὸν Ἀχιλλέα; μήποτε δὲ συλ-

20 ληπτικῶς εἴρηται ἀπὸ τοῦ πλείστου τὸ πᾶν. ὥσπερ γὰρ ἐπὶ τῶν ἡγεμόνων τῶν Ἀχαιῶν εἰπὼν ὅτι πάντες ἐκάθευδον — ἄλλοι μὲν παρὰ νηυσὶν ἀριστῆες Παναχαιῶν εὕδον παννύχιοι (Κ 1) — ὅμως ποιεῖ τὸν Ἀγαμέμνονα ἐγρηγορότα καὶ τὸν Μενέλαον — οὐδὲ γὰρ αὐτῷ ὕπνος ἐπὶ βλεφάροισιν ἔπιπτεν (Κ 25) —, οὕτως ἐκ τοῦ

25 πλείστου τὸ πάντας ἠκολουθηκέναι τοὺς θεοὺς τῷ Διὶ εἴρηκεν· οὐ γὰρ δὴ θεῶν ἔμελλεν ὁ οὐρανὸς καταλείπεσθαι ἔρημος.

---

1 προσέφη L 5 οἱ om. L 5. 6 ἐπὶ τούτου L 9 οὐδ' ἐλθοῦσα Bkk.; ὃ διελθοῦσα codd. 10 ἐπῆλθε L 13. 14 καὶ ταῦτα — λύομεν nov. schol. L 14 ὅτι οὐκ ἀπεληλ. L, nov. schol. incipiens 15 παραγενομένην L 17 incipiunt B¹L¹Lp: διὰ τί φήσας πάντας τοὺς θεοὺς εἰς Αἰθ. ἀπεληλυθέναι κτλ. 18 ἀπεληλυθέναι etiam L 19 ἐληλυθέναι L¹ 19. 20 ἀεί ποτε συλλ. εἴρ. L¹ 22 πανύχιοι L¹ 23 μενέλεων B¹L¹ 24 βλεφάροις BLL¹Lp 25 τῷ Διὶ om. L¹ εἴρ. suprascrpt. η, B¹, εἰρῆ Lp 26 ἔρημος ἔμελλε καταλείπεσθαι ὁ οὐρανός B¹Lp, ἔμελλεν ἔρ. κατ. ὁ οὐρ. L¹ post ὁ οὐρανός in B¹ signum scholii finiti; sequitur, neque tamen ita ut novo signo praeposito ad textum referatur, allegorica versuum A 194. 95 interpretatio (ap. Dind. III, p. 40,

---

19 sqq. †B f. 14ᵃ ad χθιζὸς *A* 424 (id. Lp f. 61ᵃ c. l. χθιζὸς): .... *τὸ δὲ πάντες συλληπτικόν* ⟨—*κῶς* Lp⟩, *ὡς τὸ ἀριστῆες Παναχαιῶν* ⟨*παν ἀχαιοῖς* Lp⟩ *εὗδον παννύχιοι* ⟨om. *εὗδ. παν.* B⟩. *καὶ γὰρ Ἀθηνᾶ πρὸ ὀλίγου ἐξ οὐρανοῦ κατῆλθε πεμφθεῖσα ὑπὸ Ἥρας.* Cf. Porph. Ξ 434, *O* 189 et schol. B f. 9ᵇ ad *δαίμονας A* 222 (id. Lp f. 57ᵃ c. l. *δαίμονας ἄλλους*): *δαίμονας* ⟨om. Lp⟩ *τὸν τῶν δαιμόνων τόπον μετωνυμικῶς ἐκάλεσεν. ἢ μόνους τοὺς ἄρσενάς φησι τῷ Διὶ πρὸς Αἰθιοπίαν ἕπεσθαι καὶ τὰς θηλείας καταλελεῖφθαι. ἢ ὅτι τὸ* ⟨om. Lp⟩ *πάντες ἐκεῖσε ἀντὶ τοῦ οἱ πλείους τέτακται.*

B f. 193ᵃ ad πώποτέ μ' ὧδε. L f. 307ᵃ. Lp f. 230ᵇ c. l. οὐ γὰρ πώποτ'.

314 sqq. τίνος ἕνεκεν τοσοῦτον ἀκρατῆ παρίστησι τὸν Δία, ὡς μὴ δύνασθαι κρατεῖν ἑαυτοῦ; φαμὲν οὖν ὡς ἀπελογήσατο περὶ τούτου ἐν οἷς φησιν ἅ τ' ἔκλεψε νόον (v. 217). ἄλλως τε διδάξαι βούλεται τοὺς νέους ὁ ποιητὴς ὅσον ἐστὶ χαλεπὸν μὴ κρατεῖν τῶν παθῶν, ὅπου καὶ Ζεὺς ὁ παγκρατὴς πάθει νικηθεὶς ἐζημιώθη τὴν ὄψιν, ἣν ἐξ ἀγρυπνίας περιεποιήσατο.

B f. 193ᵇ ad πέλεται φάος.

345. πῶς οὖν ὁ Ὕπνος διικνεῖται διὰ τοῦ νέφους; ἢ οὐχ ὁ σωματοειδὴς ὕπνος ἀλλὰ τὸ πάθος.

B f. 193ᵇ ad πρόφρων v. 357.

357—60. πόθεν μαθὼν ταῦτα ἀπαγγέλλει; ἢ συνῆκεν ἐκ τοῦ εἰρημένου ὑπὸ τῆς Ἥρας· ἢ φὴς ὡς Τρώεσσιν ἀρηγέμεν εὐρύοπα Ζῆν' (v. 265);

B f. 194ᵃ ad φιλότητι v. 360.

οὐκ ἀναγκαίως, φασί, τὸ ἀπόρρητον ἐξήνεγκεν. ἢ πρὸς τὸ θαρραλεώτερον ποιῆσαι Ποσειδῶνα τὴν τέχνην τῆς Ἥρας ἐδήλωσεν.

*B f. 195ᵇ ad δινήεντος. L f. 310ᵇ, Π. *B f. 283ᵇ ad Φ 194 (B¹). L f. 441ᵃ (L¹).

434. ἐναντίον δοκεῖ τὸ ἅμα μὲν φάναι Ξάνθου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς, ἅμα δὲ ἐπὶ τοῦ Ὠκεανοῦ φάναι (Φ 196)· ἐξ οὗ περ πάντες ποταμοὶ καὶ πᾶσα θάλασσα.

---

4 ὁ ποιητὴς τοὺς νέους Lp ὅπου γε Lp 6 addunt LLp: τὸ δὲ οὐδὲ γυναικός ἀντὶ τοῦ θνητῆς κτλ., quae in B alio scholio ad v. 315 relato continentur 14 B¹, quod inc.: ἐναντίον δὲ δοκεῖ κτλ., subiunctum est scholio manus prioris ad κρείων Φ 194, signo quod ibi erat scholii finiti eraso 16 δ' ἐπὶ B¹L¹

15—21), quae in eodem codice ab eadem manu scripta in inferiore eiusdem paginae margine recurrit, neque in codd. L et Lp, qui item ad h. v. retulerunt, cum quaestione cohaeret; exstat etiam in cod. A et ap. Matr. A. Gr. II, p. 407, 27, ubi ζήτημα illud non exstat. Apparet igitur eam ad Porphyrium referri non posse.

1—6 Cf. Plat. Rp. III, p. 390 B. — Ex eodem cum hoc scholio, cui Vict. f. 264ᵃ simillimum est, fonte petitum esse videtur B f. 191ᵃ ad *πάρφασις* Σ 217 (id. Lp f. 228ᵇ c. l. *πάρφασις*, Vict. f. 259ᵇ): *προκατασκευάζει* ⟨*προπαρασκ.* Lp Vict.⟩ *διὰ τούτου ἵνα μὴ θαυμάζωμεν, εἰ Ζεὺς ἠπάτηται. καὶ ἐπὶ θυμοῦ δέ φησιν οἰδάνει ἐν στήθεσσι νόον πύκα περ φρονεόντων* (I 554). *διδάσκει δὲ ὡς, εἰ καὶ συνετὸς εἴη τις, ἁλίσκεται τοῖς τοῦ νοῦ πάθεσιν, εἰ μὴ ἑαυτῷ* ⟨*ἑαυτοῦ* Lp⟩ *προσέχοι* ⟨ante *σ* ras. unius litt. B⟩ ...., cf. Eust. p. 979, 45 sqq. Ceterum haud scio an utrumque scholium cum quaestione v. 216 sqq. cohaeserit.

7. 8 Idem schol. in Lp f. 231ᵃ c. l. *ὀξύτατον* et Vict. f. 265ᵇ. — Cf. Porph. *B* 447 (p. 42, 24), *Θ* 1 (p. 113, 21), *I* 1 (p. 127, 27).

9—13 Utrumque scholium, quod vix dignum esse, quod inter quaestiones referatur, dicas, coniunctum in cod. Paris. ap. Cramer., A. P. III, p. 374, legitur; prius etiam L f. 308ᵇ et Lp (c. l. *πρόφρων νῦν*) f. 231ᵃ, alterum L l. c., Lp (c. l. *παρήπαφεν*) f. 231ᵇ, Vict. f. 266ᵃ exstant, sine ulla fere lectionum varietate, nisi quod lin. 12 Lp *φησὶ* habet. — Veri simile est ex eodem fonte manasse:

B f. 193ᵇ ad *ἐρέων* Ξ 355 (id. Lp f. 231ᵃ c. l. *θέειν ἐπὶ νῆας*): *διὰ τὴν ἐπαγγελίαν τῆς ἐρωμένης καὶ ἃ μὴ κελεύεται ὁ Ὕπνος ποιεῖ· οὐ γάρ ἐστι τῶν συμμαχούντων, ὡς οὐδὲ Ἴλιος οὐδὲ ἡ* ⟨om. Lp⟩ *Δημήτηρ* ⟨*η* ante *ρ* in ras. B⟩.

14 sqq. Quattuor scholia ex eadem quaestione paullo aliter aliud ex-

λύοιτο δ' ἂν ἐκ τῆς λέξεως καθ' ἑκάτερα· καὶ γὰρ τὸ πάντες δύναται λέγειν ἀντὶ τοῦ πλείους, καὶ ποταμὸς ὁμωνύμως λέγεται ὅ τε θεὸς καὶ τὸ ῥεῦμα, ὥστε τὸν μὲν θεὸν ἐκ Διὸς εἶναι, τὸ δὲ ῥεῦμα ἐξ Ὠκεανοῦ· λέγεται γὰρ ὁ Ζεὺς πατὴρ ἀνδρῶν τε θεῶν τε.

πῶς ποτὲ μὲν λέγει· τῷ οὐδὲ κρείων Ἀχελώιος ἰσοφαρίζει ****, ἐξ οὗπερ πάντες ποταμοί (Φ 194—6), ἑτέρωθι δὲ Ξάνθου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς; ἡ δὲ λύσις ἐκ τοῦ προσώπου· τὸ μὲν γὰρ ἐκ Διὸς εἶναι ὁ ποιητὴς λέγει, ἐξ Ὠκεανοῦ δὲ ὁ Ἀχιλλεύς. οὐδὲν οὖν ἄτοπον ἐν διαφόροις προσώποις διαφωνίαν συνίστασθαι. *B f. 195ᵇ. L f. 310ᵇ.

πῶς μετέπειτά φησιν ἐπὶ τοῦ Ὠκεανοῦ ἐξ οὗ περ πάντες ποταμοί, νῦν δὲ Διὸς τὸν Ξάνθον γενεαλογεῖ; ῥητέον δὲ ὅτι τοῦ μὲν ὡς θεοῦ τιμωμένου πατὴρ ὁ Ζεύς, τοῦ δὲ ῥεύματος χορηγὸς Ὠκεανός, ἐξ οὗ περ πάντες ποταμοί **** πατὴρ ἀνδρῶν τε θεῶν τε. ἢ διὰ τὸ πλέων χειμάρρων εἶναι τὸν Ξάνθον Διὸς αὐτόν φησι. φησὶ B f. 279ᵇ ad τέκετο Φ 2. L f. 435ᵇ.

1 ἂν om. L¹, λύεται δ' ἐκ B¹ καθ' ἕτερον B¹L¹ οὐ pro καὶ L 2 ὁμώνυμος L¹ 3 post Ὠκεανοῦ B¹: Ζεὺς γὰρ πατ. ἀνδ. τε θεῶν τε 4. 5 post θεῶν τε addito signo scholii finiti (: —) eadem manus B pergit: ἄλλως: πῶς ποτὲ κτλ.; eodem modo L, nisi quod πῶς om. 5 λέγει, alter. ε ex ο corr., L 6 excidisse in codd. versum οὐδὲ βαθυρρείταο μέγα σθένος Ὠκεανοῖο apparet ἑτέρωθεν B 12 ὅτι om. L 13 ἀρχηγὸς pro χορηγὸς coni. Kamm., p. 104 14 lacuna quam statui in codd. non significatur; Kamm. verba πατὴρ — θεῶν τε post ὁ Ζεύς (lin. 13) transposuit 15 πλέων, ω e corr., B, πλέον χειμάρων L

cerpta huc contulimus, quamquam veri haud dissimile est, quaestionem coniunctam olim fuisse cum altera illa argumenti simillimi ad *Π* 174 edenda (cum qua maxime conferenda p. 199, 15; 200, 5; cf. Eust. Φ, p. 1219, 31: *ἰστέον δὲ καὶ ὅτι τὸ ὃν τέκετο Ζεὺς διαλελυμένη ἑρμηνεία ἐστὶ τοῦ Ξάνθος διιπετής, ὅπερ ἐν τοῖς ἑξῆς ἐρεῖ.* Simil. id. Ξ, p. 996, 40).

1 Cf. Porph. Ξ 304—6, p. 197, 20.

3 †L f. 310ᵇ ad Ξ 434: *ἰδίως μὲν τὸν σωματικὸν Ξάνθον Διὸς γενεαλογεῖ, τὸν δὲ ποταμὸν Ὠκεανοῦ, λέγων ἐξ οὗ περ πάντες ποταμοὶ καὶ πᾶσαι θάλασσαι καὶ πᾶσαι κρῆναι καὶ φρέατα μακρὰ* ⟨*μικρὰ* cod.⟩ *νάουσιν.* Idem A f. 189ᵃ ibid. (c. l. *Ξάνθον διινήεντος*): . . . . . *ἰδέως* ⟨sic⟩ *δὲ κτλ.*, ubi item *πᾶσαι θάλασσαι.* — Cf. Porph. Θ 1, p. 114, 18.

8 Cf. Porph. Z 265, p. 100, 4.

11 sqq. Scholio huic quidem, quod idem fere in Vict. (f. 385ᵃ) legitur, simillimo vel eodem melius tradito usus est Eust. Φ, p. 1219, 19 sqq.: *ὅτι ἐν τῷ εἰπεῖν ὁ ποιητὴς πόρον Ξάνθου διινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς, Διὸς τόκον τὸν Ξάνθον φησίν, ἀλληγορικῶς μέν, ἐπεὶ διιπετής, φασίν, ὁ Ξάνθος καὶ τὸ πλέον χείμαρρος, ἐξ ἀερίων, ὅ ἐστι διίων, τουτέστιν ὀμβρίων, ὑδάτων πληθυόμενος, μυθικῶς δέ, ὅτι θεὸς μὲν τοῖς ἐγχωρίοις ὁ Ξάνθος, Ζεὺς δὲ πατὴρ ἀνδρῶν τε θεῶν τε. οἱ δέ φασιν ὅτι τοῦ μὲν δαιμονίου Ξάνθου Ζεὺς πατήρ, τοῦ δὲ ῥεύματος Ὠκεανός, ἐξ οὗ πάντες ποταμοί, ὡς μετ' ὀλίγα ἐρεῖ ὁ ποιητής.*

15 sqq. Verba miserrime tradita idem fere videntur dicere velle, quod verbis p. 200, 6 continetur, v. Eust. l. supra allato.

γοῦν ὀρόθυνον ἐναύλους (Φ 312)· ὅν ῥά τ' ἔναυλος ἀποέρση (Φ 283).

*B f. 279ᵇ ad ἀθάνατος ib. L f. 435ᵃ. A Φ 1 c. l. πόρον.

διὰ τί, πάντων τῶν ποταμῶν ῥεόντων ἐξ Ὠκεανοῦ, μόνον τὸν Ξάνθον ὁ ποιητής φησιν ὃν ἀθάνατος τέκετο Ζεύς; πῶς οὖν καὶ Ὠκεανοῦ καὶ Διὸς παῖς; ῥητέον οὖν ὅτι εἰκότως ἂν καὶ Διὸς καλοῖτο παῖς, εἴγε οἱ ὄμβροι μὲν ἐκ Διός, ὄμβρῳ δὲ οὗτος αὔξεται ....

O

B f. 197ᵇ ad ὑπόδρα. L f. 314ᵇ. Lp f. 235ᵃ c. l. ὑπόδρα.

13 sqq. Πῶς ὁ κεστὸς αὐτὸν οὐκ ἐπράϋνεν: ἐρώτων μόνον ἐστὶ κινητικός, οὐκ ἄλλων. ἄλλως τε ἡ περὶ αὐτὸν ἀπάτη ὑπεροχῆς ἦν ἐλάττωσις, καὶ μετὰ τοσαύτας ἀπειλάς. εἰκότως δὲ χαλεπαίνει, ψευδὴς πρὸς Θέτιν ἀποδειχθεὶς καὶ Ἕκτορα.

A c. l. ἢ οὐ μέμνη ὅτε τ' ἐκρέμνω (v. 18). Cf. schol. min.

.... ἐζήτηται δὲ διὰ ποίαν αἰτίαν οὕτως ἀσχήμως ὑβρίζει τὴν Ἥραν ὁ Ζεὺς διὰ θνητὸν Ἡρακλέα· φησὶ γὰρ ἢ οὐ μέμνη ὅτε τ' ἐκρέμω; ῥητέον δὲ ὅτι φιλοσοφεῖ Ὅμηρος· μυθικῶς γὰρ Ζεὺς ἐνταῦθα ὁ αἰθὴρ οὐρανοῦ τοῦ περὶ τὸν ἀέρα δεσμός ἐστιν, ὁ ἄγων τὰ ὑγρὰ καὶ ἐξ αὐτοῦ δεσμεύων τὰ πάντα· μετ' αὐτὸν δέ ἐστιν ἀὴρ μέσος γῆς καὶ αἰθέρος, ὃ δεῖ νοεῖν ἡμᾶς τὴν Ἥραν ὑπάρχειν· τοῦ δ' ἀέρος ἐκκρέμαται ὕδωρ τε καὶ γῆ, οὓς δὴ νῦν ἄκμονας λέγει παρὰ τὸ ἀκοπίατα εἶναι τὰ στοιχεῖα. καλῶς οὖν οὐ δύνανται οἱ θεοὶ τὸν δεσμὸν λῦσαι· ἰσχὺς γὰρ τῶν ὅλων τὸ συνδεδέσθαι ....

B f. 198ᵇ ad ὄφρ' ἡ μέν. L f. 316ᵃ. Lp f. 236ᵃ c. l. πέσωσιν (v. 63). Vict. f. 273ᵃ.

56—77. ἀθετοῦνται ὡς περιττοὶ εἴκοσι καὶ δύο στίχοι, ὅτι οὐκ ἀρεστοὶ Ἥρᾳ, καὶ ὅτι οὐκ ἐμπίπτουσι ταῖς ναυσὶν Ἀχιλλέως, καὶ εἰ ἔκρινεν ἀπολέσθαι Σαρπηδόνα, τί ἐκεῖ (Π 433) οἰκτίζεται; καὶ ἡ παλίωξις οὐκ ὀρθῶς· ἀφ' οὗ γὰρ Ἀχιλλεὺς ἐξῆλθεν, οὐκ ἐτράπησαν Ἀχαιοί. καὶ τὸ Ἀθηναίης διὰ βουλάς· διὰ τί γὰρ μὴ Ἥρας, καίτοι

---

1 ἀποκείση L 3 A, ubi nonnulla praecedunt huc non pertinentia, inc.: διὰ τί δὲ πάντ. κτλ. ἐξ Ὠκ. ῥεόντων A 4 post οὖν A ins. φησι 5 καὶ ῥητέον ὅτι L ἂν om. B 6 addunt codd. ἱστορίαν de origine Scamandri; eadem fere inter schol. **B ad Υ 74 legitur 7 ἐπράϋνε; ῥητέον οὖν ὅτι ἐρ. L ἐρώντων Lp 10 Ἕκτορος L 15. 16 καὶ ἀέρος A (Dind.), καὶ αἰθέρος Vill. 20 οἱ κβ' οὗτοι στ. L καὶ δύο om. Lp 22. 23 παλλίωξις B 24 διὰ τί μὲν γὰρ Ἥρ. L, διὰ τί γὰρ καὶ Ἥρ. Lp

---

6 Cf. ad p. 198, 15 sqq.

7 Eadem fere schol. Vict. h. l. (f. 271ᵇ) habet. — Cf. Porph. Ξ 212.

11 sqq. Cf. Heraclit. c. 40 et Plut. V. H. c. 97 et Prolegg. cap. III, 2.

20 sqq. Egimus de hoc scholio et multis quae ad hunc librum tradita sunt similibus in Prolegg. cap. III extr. — Causas ἀθετήσεως ab Aristonico accuratius relatas male h. l. afferri Hiller, Phil. XXVIII, p. 103, docuit; idem monuit, cohaerere cum scholio videri schol. Vict. O 90 (f. 274ᵃ): *συμβάλλεται πρὸς τὴν ἀθέτησιν τὴν πρώην· εἰ γὰρ ἦν ἀκούσασα τὰ περὶ τῆς ἁλώσεως, οὐκ ἂν κατηπείχθη. τάχα δὲ τεταραγμένη ὑπέστρεψε δι' ὑπόμνησιν τῆς ἀτιμίας.*

παρούcης; ῥητέον οὖν ὅτι τὸ cχῆμά ἐcτι προανακεφαλαίωcις, ὡς Ὀδυcεὺς προαναφωνεῖ Τηλεμάχῳ τὴν μνηcτηροκτονίαν (π 281 sqq.), ἀλλ' οὐδὲν ἧccον καὶ διὰ τῶν πρακτικῶν αὐτίκα διηγεῖται. εἰcὶ δὲ τῇ Ἥρᾳ, εἰ καὶ μὴ νῦν τερπνά, ἀλλ' οὖν γε χαρᾶc περιποιητικὰ τὰ λεγόμενα. πεcεῖν δὲ εἰc τὰc ναῦc ἀντὶ τοῦ δεηθῆναι Ἀχιλλέωc, ὥc φαμεν· ἐνέπεcεν εἰc τὰc χεῖράc cου. οἰκτίζεται δὲ καὶ τὸν Ἕκτορα κρίνων cὺν τῇ Ἰλίῳ ἀπολεῖcθαι (Χ 168 sqq.). πόθεν δὲ δῆλον, εἰ μετὰ θάνατον Ἀχιλλέωc γεγόναcι τροπαί; τό τε Ἀθηναίηc, ἐπεὶ cὺν Ἐπειῷ τὸν ἵππον ἐποίηcε. πρὸc δὲ τούτοιc παραμυθεῖται τὸν ἀκροατήν, τὴν ἅλωcιν Τροίαc cκιαγραφῶν αὐτῷ. τίc γὰρ ἂν ἠνέcχετο ἐμπιπραμένων τῶν Ἑλληνικῶν νεῶν καὶ Αἴαντοc φεύγοντοc, εἰ μὴ ἀπέκειτο ταῖc ψυχαῖc τῶν ἐντυγχανόντων ὅτι οἱ τὰ τοιαῦτα πράξαντεc κρατηθήcονταί ποτε.

φαcὶ δὲ (οἱ ἐξηγηταὶ) καὶ ὅτι ὁ [Μαλλώτηc] Ζηνόδοτοc τὰ ἐκ τοῦ Πάτροκλον κτενεῖ φαίδιμοc Ἕκτωρ καὶ ἑξῆc ἕωc τοῦ λιcομένη τιμῆcαι Ἀχιλλέα Εὐριπιδείῳ λέγει ἐοικέναι προλόγῳ, ἀφελῶc προαχθέντα καὶ εἰc οὐδὲν δέον ἀφηγηματικῶc. ὅτι δὲ οὐδὲ εὐτελεῖc οἱ τοῦ χωρίου τούτου cτίχοι .... καὶ ὅτι οὐκ ἀήθηc ἡ πρὸc τὸ πρῶτον ἀπάντηcιc .... καὶ ὅτι μὴ κωλυθέντεc οἱ Τρῶεc ἐνέρριψαν ἂν τοὺc Ἀχαιοὺc ταῖc τοῦ Ἀχιλλέωc ναυcί, διὸ καὶ δοκοῦcιν ἕωc καὶ εἰc αὐτὰc φυγεῖν οἱ Ἀχαιοί, καὶ ὡc, εἰ καὶ Πάτροκλοc παρεκλήτευcεν, ἀλλ' εἰ μὴ Ἀχιλλεὺc ὥπλιcεν, οὐκ ἂν ἐκεῖνοc τοῖc Ἀχαιοῖc ἐβοήθηcε, διὸ καὶ Ἀχιλλεὺc ἀναcτήcειν ἐκεῖνον λέγεται .... καὶ ὅτι πολλὰ παρὰ τῷ ποιητῇ κεῖται ἅπαξ εἰρημένα, οἷc cυνειcακτέον καὶ τὸ Ἴλιον αἰπύ καὶ τὸ πτολίπορθοc Ἀχιλλεύc, οὐ διὰ τὴν Ἴλιον ἀλλὰ διὰ τὰc τρεῖc πρὸc ταῖc εἴκοcιν, ἃc πολεμαρχῶν εἷλε (Ι 328. 9), δῆλόν ἐcτι. Eust. O, p. 1006, 2 sqq.

90. v. ad p. 200, 20 sqq.

* 128. οὐ δεῖ cτίζειν ἐν τῷ φρένας ἠλέ, εἶτα καθ' αὐτὸ λέγειν L f. 318ᵃ. *B f. 200ᵃ (inde a p. 202, 1). Cf. Phil. XVIII, p. 345, II.

1 τὸ om. Vict. οὖν post Ὀδ. ins. Vict. 3 οὐδὲν ἴcοι BLLp 4 τρεπνά Lp 5 εἰc om. Lp 6. 7 οἰκτίζεται — ἀπολεῖcθαι e Vict. dedi, nisi quod καὶ inserui; reliqui codices: οἰκτίζεται δὲ ⟨γὰρ Lp⟩ Cαρπηδόνα κρίνων μὴ ἐν Ἰλίῳ ἀπολεῖcθαι ⟨corr. ex ἀπολέcθαι Lp⟩ 8 Ἀθηναίη BLpV 11 νηῶν BLp 27 L in lemm.: τὸ μαινόμενε φρένας ἠλὲ διέφθειρας

5 Verbi *ἐμπίπτειν εἴς τινα* usum, ut sit „potestati alicuius se committere, tutela alicuius confidere", haud scio an uni LXX praebeant (cf. Prolegg. IV): Regg. IV, 25, 11: *καὶ τὸ περισσὸν τοῦ λαοῦ τὸ καταλειφθὲν ἐν τῇ πόλει καὶ τοὺς ἐμπεπτωκότας, οἳ ἐνέπεσον πρὸς τὸν βασιλέα Βαβυλῶνος, μετῆρε Ναβουζαρδὰν ὁ ἀρχιμάγειρος*, coll. Ierem. 38, 19: *καὶ εἶπεν ὁ βασιλεὺς τῷ Ἱερεμίᾳ· ἐγὼ λόγον ἔχω τῶν Ἰουδαίων τῶν πεφευγότων πρὸς τοὺς Χαλδαίους κτλ.*

8 Cf. B f. 198ᵇ ad *ἔπειτα O* 69 (id. Lp ibid.): *οὐ πρὸ τοῦ Ἀχιλλέα ἐξελθεῖν ἢ καὶ μετὰ τὸ ἐξελθεῖν, ἀλλὰ μετὰ τὸ τελευτῆσαι Ἕκτορα· ἐξελθόντος γὰρ Ἀχιλλέως οὐκ ἦν παλίωξις.*

13 sqq. Cf. quae de h. l. in Prolegomenis cap. III extr. attulimus, ubi etiam de v. *Μαλλώτης*, quod recte Duentzer, de Zenod. stud. Homer., p. 24, delesse videtur, egimus.

27— p. 202, 9 Simillimum quidem, ita tamen ut sub finem habeat quae

διέφθορας, ἀλλ' ὅλον συνάπτειν τὸ φρένας διέφθορας, ἠλέ. αὐτὸς μὲν γὰρ ἐπάγει πρὸς μὲν τὸ μαινόμενε·

ἦ νύ τοι αὔτως οὔατ' ἀκουέμεν ἐστί,

πρὸς δὲ τὸ τὰς φρένας διέφθορας, ἠλέ·

νόος δ' ἀπόλωλε καὶ αἰδώς.

ἐπὶ μὲν οὖν τοῦ μαινόμενε τὸ τὰς φρένας διεφθάρθαι κατηγόρησεν, ἐπὶ δὲ τοῦ κούφου καὶ μὴ βεβαίου τὸ [ἠλεός, τὸ] ἀεσίφρων. τοῦ δὲ ἠλεέ εἴτε ἀποκοπή ἐστιν εἴτε συγκοπή· γίνεται δὲ παρὰ τὴν ἄλην, ἵνα ἦ πεπλανημένε.

B f. 200ᵇ ad αὐτάρ. L f. 319ᵃ. Lp f. 237ᵇ c.l. αὐτὰρ ἐπήν. Simil. Vict. f. 276ᵃ.

147. 48. οἱ δύο ἀθετοῦνται· ἔστι γὰρ ἐμβρόντητον τὸ λέγειν· ἄπιτε καὶ ὃ ἂν εἴπῃ ποιήσατε· καὶ γὰρ εἰ μὴ ἐκέλευσεν, οὐκ ἔμελλον παρακούειν Διός. ἄλλως τε πῶς φησι πείθεσθαι Διὶ τοῖς καθ' Ἑλλήνων πεμφθησομένοις; ἢ τάχα μεμψίμοιροί εἰσιν οἱ λόγοι· ἀπέλθετε ποιήσοντες ἃ κελεύει Ζεύς· ὅθεν τὸ δυσάρεστον ἐμφαίνει, ὥς φαμεν πρός τινα ὀργιζόμενοι· ποίει ὃ θέλεις. ὅτι δὲ μεμψίμοιροι οἱ λόγοι, δῆλον ἀπὸ τοῦ σιωπῆσαι τὴν αἰτίαν τῆς κλήσεως· φυσικὸν γάρ ἐστι μηδὲ μεμνῆσθαι τῶν λυπηρῶν ἐπὶ πλέον· διὸ συνέτεμε τὸν λόγον. οἱ δέ, κατεπτηχυῖα, φασί, τὰς ἀπειλὰς εὐλαβεῖται, μὴ καθ' ὁντινοῦν τρόπον ἐμποδισθείσης τῆς Ἴριδος Ζεὺς πάλιν ἐπ' αὐτὴν ἀγάγῃ τὴν αἰτίαν.

---

1 ὅσον L schol. *B, quod subiunctum est scholio manus prioris h. v. (v. infra ad hanc lin.), signo scholii finiti quod ibi fuit eraso, inc.: αὐτὸς δὲ ἐπάγει κτλ. 3 αὔτως L 4 τὸ om. L 5 νόος δ' ἀπόλλωνος L 6 τἀινόμενε L 7 verba uncinis inclusa e coni. posui; codd. om. 7—9 τοῦ δὲ — πεπλανημένε om. *B (v. infra ad has lin.) 8 ἄλιν L 10 ἐμβρ. γάρ ἐστι τὸ λέγ. L τὸ ἄπιτε λέγ. Lp, τὸ ἔπειτα λέγ. Vict. 11 εἴποι L μὴ om. codd.; add. Vill. 12 πείθεσθε Lp κατ' (sic) B 13 πείθεσθε pro ἀπέλθετε Lp 17—19 οἱ δὲ κτλ. in uno Vict. leguntur, unde Hillerum (Phil. XXVIII, p. 104) secutus recepi; idem pro τῆς Ἥρας, quod cod. habet, recte τῆς Ἴριδος coniecit

---

aliunde (velut e schol. A h. v.) addita sint, schol. Victor. est (f. 275ᵃ): *μαινόμενε φρένας ἠλὲ διέφθορας] οὕτω Πορφύριος· οὐ δεῖ στίζειν εἰς τὸ φρένας ἠλέ, εἶτα καθ' αὐτὸ λέγειν διέφθορας, ἀλλ' ὅλον συνάπτειν τὸ φρένας ἠλὲ διέφθορας, ἵν' ᾖ τὰς φρένας διέφθορας, ὦ ἠλεέ* ⟨*ἢ ὠλεὲ* cod.⟩. *καὶ αὐτὸς δὲ ἐπάγει πρὸς δὲ* (sic) *τὸ μαινόμενε ἦ νύ τοι αὔτως οὔατ' ἀκουέμεν ἐστί, πρὸς τὸ δὲ φρένας ἠλέ· νόος δ' ἀπόλωλε καὶ αἰδώς, ἵν' ᾖ τὸ ἠλεέ θερμέ, πρὸς ὃν ἀνθυπήγαγε τὸ αἰδώς· οἱ γὰρ θερμοὶ ἀναιδεῖς. ἠλέ ὡς καλέ, εἴτε ἀποκοπή ἐστιν εἴτε συγκοπή· τὸ γὰρ τέλειον ἠλεέ. ἢ παρὰ τὴν ἄλην, ἢ ὃν πάντες ἀλεόμεθα, ἢ παρὰ τὸ θερμόν. ἔστιν οὖν φρένας ἠλεέ· ὦ πεπλανημένε τὰς φρένας.*

1—3. 7—9 †B f. 200ᵃ ad *μαινόμενε* v. 128: *δεῖ στίζειν εἰς τὸ μαινόμενε, τὸ δὲ ἑξῆς ὅλον συνάπτειν· φρένας ἠλέ, διέφθορας, ἤτοι τὰς φρένας, ὦ ἠλέ, ἀπώλεσας. τοῦ δὲ ἠλέε* (sic) *εἴτε ἀποκοπὴ εἴτε συγκοπή ἐστι. γίνεται δὲ παρὰ τὴν ἄλην, ἵν' ᾖ πεπλανημένε* (add. *B *αὐτὸς δὲ ἐπάγει κτλ.*, v. supr. lin. 1). Cf. (ad lin. 7—9) †Eust. *O*, p. 1009, 14. — Ceterum in verbis distinguendis Nicanorem Porphyrius sequitur (A v. 128).

10 Cf. A v. 147 (Ariston.).

13—17 In usum suum convertit aliis rebus additis Eust. *O*, p. 1009, 61 sqq.

170. 1. .... πῶς δὲ νίφων ὁ βορρᾶς αἰθρηγενής ἐστιν; ἤτοι οὖν παρέλκει τὸ ἐπίθετον, ὡς τὸ πῇ ἔβη Ἀνδρομάχη λευκώλενος (Z 377); ἢ ἀπὸ τοῦ πλεονάζοντος· σκιόεντα γὰρ ὄντα τὰ νέφη πνοιῇσι λιγυρῇσι διασκίδνησιν (E 526). οἱ δὲ, ὅτι τὸ ψῦχος παρ' αὐτῷ αἶθρος καλεῖται. τάχος οὖν δίδωσι τῇ χιόνι ὁ ἄνεμος, βορρᾶ δὲ πνέοντος νιφετὸς ἐπιγίνεται. καὶ ἀλλαχοῦ· νὺξ δ' ἄρ' ἐπῆλθε κακὴ βορέαο πεσόντος (Ξ 475).

B f. 201ᵃ ad πτῆται. Lp f. 238ᵃ c. l. πτῆται νιφάς. L f. 319ᵇ. Simil. Vict. f. 276ᵇ.

189 sqq. δοκεῖ ἐναντιοῦσθαι πρὸς τὸ πάντα τὸ γαῖα δ' ἔτι ξυνὴ πάντων· οὐ γὰρ ἔτι πάντα δέδασται τούτων μὴ δεδασμένων. λύοιτο δ' ἂν τῇ λέξει· τὸ γὰρ πάντα πάντως παρέλκει, ὡς ἐπὶ τοῦ δέκα πάντα τάλαντα (Ω 232). ἐὰν δὲ λάβωμεν αὐτὸ περισσόν, τί λοιπὸν δέδασται; ἢ ἀντὶ τοῦ πλεῖστα· συνεχῶς γὰρ τὸ πάντα ἐπὶ τοῦ πλεονάζοντος τίθεται· ὡς εἰ ἔλεγεν· τὰ πλείονα μεμέρισται πλὴν γῆς τε καὶ

Usque ad lin. 13 B f. 201ᵃ ad τριχθά, Lp f. 238ᵇ c. l. τριχθὰ δὲ πάντα, Vict. f. 277ᵃ. Inde a lin. 13 *B f. 201ᵃ.

---

1 πῶς δὲ νίφ. ὁ βορᾶς ὅπου γε αἰθριγενέτης ἐστί; L, πῶς ἀεὶ νίφων αἰθρηγενής; Vict. (ubi schol. ab his verbis inc.) αἰθρηγενέτης Lp 3 sqq. post πλεονάζοντος Lp ins.: πλείονας χιόνας γὰρ καὶ χαλάζας ποιεῖ ὁ βορρᾶς ἢ εὐδίας· σκιόεντα γὰρ κτλ., Vict. autem ita pergit: διασκιδνᾶσι γὰρ τὰ νέφη σκιόεντα πνοιῇσι λιγυρῇσι κτλ. 4 λιγηροῖσι (sic) διασκίδνησι κακὴ βορέαο (sic) πεσόντος, rel. om., Lp 5 τάχα L 7 addit Vict.: νιφὰς μὲν ἡ χιὼν κτλ. (= Dind. IV, p. 82, 10) 8 δέτι (spr. ε ras.) B, δέ τοι Vict. 9 οὐ γὰρ ἐπεὶ πάντα δέδ. (om. τούτων μὴ δεδ.) Vict. λύοιτο, priore ο in ras., B 10 ἢ pro πάντως Vict. post ὡς Lp καὶ ins. 13 post τίθεται Vict. addit: τινὲς πάντα δέδασται, εἴασε δὲ τὸ τ̄, ὡς ἐν τῷ ἐπίστιόν ἐστιν ἑκάστῳ. Quae aliunde illata esse videntur; neque Eustathius novit inde a verbo ὡς in rasura scripto, signo scholii B finiti deleto, pergit *B

---

1 sqq. †Eust. *O*, p. 1010, 60 sqq.

4 Cf. B f. 267ᵇ ad *αἰθρηγενέος T* 358 (id. L f. 419ᵇ): *τοῦ αἰθρίας αἰτίου καὶ γεννητικοῦ, τουτέστι τοῦ ψύχους· ψῦχος* ⟨*ψύχος* cod.⟩ *γὰρ ὁ βορρᾶς ἐπιφέρει*, Vict. f. 370ᵇ ibid.: *τοῦ γεννῶντος αἰθρίαν, τουτέστι τὸ ψῦχος· ἐνίοτε δὲ καὶ τὸν αἰθρίας αἴτιον. ἔστι δὲ μαχόμενον τῷ ψυχραὶ νιφάδες* (*T* 358). *αὕτη γὰρ προτέρα ἐκδόσει συμφωνεῖ* (sic). Eust. ε, p. 1538, 37: *αἰθρηγενέτης βορρᾶς ὁ εὐδίαν ἢ ψῦχος ποιῶν* ..., Et M. 33, 38: *αἰθρηγενέτης* .... *ἢ ὁ αἴθρου καὶ ψύχους αἴτιος.*

8 sqq. De difficillima hac quaestione omnino videnda quae collatis et Heracliti alleg. c. 41 et Plutarchi V. Hom. c. 97 in Prolegomenis (cap. III, 2) attuli, ubi non dissimulavi dubitari posse an nonnulla ei adhaeserint aliunde illata.

8—p. 204, 1 †L f. 319ᵇ, *Π*: *ἐναντιοῦσθαι δοκεῖ τὸ τριχθὰ δὲ πάντα δέδασται — τιμῆς τῷ γαῖα δ' ἔτι ξυνὴ — μακρὸς Ὄλυμπος· οὐ γὰρ ἔτι πάντα δέδασται. λύοιτο δ' ἂν τῇ λέξει· τὸ γὰρ πάντα οὐ μόνον δηλοῖ τὰ πλεῖστα, ἀλλὰ παρελκομένως· οἱ δ' ἐννέα πάντες ἀνάσταν* (*H* 161), *χρυσοῦ δὲ στήσας φέρε δέκα πάντα τάλαντα. τὸ δὲ πάντα δέδασται ἀντὶ τοῦ πλεῖστα, ὡς εἰ ἔλεγε· τὰ πλείονα μεμέρισται πλὴν γαίας τε* ⟨*εἶναί τε* L⟩ *καὶ οὐρανοῦ· ταῦτα γὰρ ἔτι κοινά.* [*ποτὲ δὲ καὶ παρέλκει, ὡς τὸ οἱ δ' ἐννέα πάντες ἀνέσταν.*] Cf. †Eust. *O*, p. 1012, 40.

10. 11 Cf. Friedländer ad Ariston. *H* 161.

12 Cf. Porph. Ξ 304—6, p. 197, 19.

οὐρανοῦ· ταῦτα γὰρ ἔτι κοινά. φυσικὴ δὲ γίνεται διάταξις· ὁ μὲν γὰρ τὸ ζῆν παρασχόμενος Ζεὺς ὠνόμασται, ὁ δὲ τὴν ὑγρὰν οὐσίαν ἀπὸ τῆς πόσεως Ποσειδῶν, Ἅιδης δὲ ὁ θάνατος παρὰ τὸ σκοτεινὸν καὶ ἀειδὲς τῆς τῶν ἀνθρώπων ἀπωλείας. κοινὴ δὲ ὅλων τῶν στοιχείων ἡ γῆ, καθότι ἐν αὐτῇ εὑρίσκεται καὶ τὰ λοιπὰ τρία στοιχεῖα. τὸ γὰρ ὕδωρ αὐτῇ συνεσφαίρωται, καὶ πυρὸς ἀναδόσεις περὶ αὐτὴν γίνονται, ὥσπερ κατὰ τὴν Αἴτνην ἐν Σικελίᾳ καὶ περὶ τοὺς Ἡφαίστου κρατῆρας καὶ περὶ τὸ τῆς Λυκίας Κράγον καὶ ὅσα τοιαῦτα. καὶ ὁ ἀὴρ δὲ περὶ αὐτήν ἐστιν. καλῶς δὲ καὶ τὸν Ὄλυμπόν φησι κοινόν, ἐπεὶ καὶ ὁ οὐρανὸς τὴν γένεσιν ἐκ τῶν τεσσάρων κέκτηται στοιχείων.

B f. 201ᵇ ad ἄλλο v. 212. L f. 320ᵇ. Lp f. 239ᵃ c. l. ἄλλο δέ τοι ἐρέω. Vict. f. 278ᵇ.

212—17. ἀθετοῦνται οἱ ἕξ· πρὸς τί γὰρ ἡ ἀπειλή; ἀλλά φαμεν ὡς εὐπρεπῶς ἐκστῆναι θέλει. εἰ δὲ ἤκουσεν ὡς ἁλώσεται Ἴλιος, πῶς νῦν ἀπιστεῖ; ἀλλὰ καὶ Ἀγαμέμνων ἀλλά μοι αἰνὸν ἄχος σέθεν ἔσσεται καὶ τὰ ἑξῆς (Δ 169—82), καίτοι εἰδὼς παρὰ Κάλχαντος (B 329)· ἄλλως τε δεῖ ἀντεπαχθῆναι τῷ (O 211) ἀλλ' ἤτοι νῦν μέν κε [νεμεσσηθεὶς ὑποείξω]. εὐσχήμονα δὲ τὴν ἀπαλλαγὴν ὁρίζεται ἐπανατείνων τὴν ὀργὴν εἰς ὕστερον, ὡς καὶ Ἀχιλλεύς (A 300)· τῶν ἄλλων ἅ μοί ἐστιν.

Vict. f. 279ᵇ.

247. .... καὶ πῶς οἶδεν ὅτι θεός ἐστιν; ἢ ἐκεῖνος ἑαυτὸν ἐγύμνωσεν ἢ ἀπὸ τοῦ ἐρέσθαι· πάντες γὰρ οἱ Τρῶες ᾔδεισαν τὸ γεγονός.

---

1 sqq. verba corrupta esse in Prolegomenis l. c. docui, ubi vid. 3 πόσεως, ε e corr., B ἀειδὲς e cod. A (v. infr.) dedi, ἀηδὲς B 4. 5 κοινὴ — εὑρίσκεται A suppeditat (v. infr.), ὅλων δὲ τῶν στοιχείων ἡ γῆ εὑρίσκεται B 8 Κράγον coni. Meineke, Anal. Alex., p. 367, 1; κέρατον B 9 pro καὶ ὁ οὐρανὸς Wachsmuth, Crat. Mall. p. 45, καὶ ὁ Ὄλυμπος scripsit; ego, servato v. ὁ οὐρανός, pro ἐκ τῶν τ. στ. conicio ἐκτὸς τῶν τ. στ. (v. Prolegg.) 11 Vict. ea quae reliqui codd. extremo scholio habent initio posuit: εὐσχήμονα τὴν ἀπαλλαγὴν — ἅ μοί ἐστιν. ἀθετοῦνται δὲ κτλ. 14 καὶ τὰ ἑξῆς om. codd. περὶ Κάλχ. Lp Vict. 15 τὸ pro τῷ Vict. 15. 16 νεμεσσ. ὑποείξω om. codd.

1—4 † A *O* 189 c. l. *τριχθὰ δὲ πάντα δέδασται* (id. fere Paris. ap. Cramer., A. P. III, p. 246, 11): *φυσικὴ φαίνεται διάταξις γεγενημένη — παρὰ τὸ σκοτεινὸν καὶ ἀειδὲς τῆς τῶν ἀνθρώπων ἀπωλείας* (similia, sed aliis admixtis, ita ut omittere praestet, etiam alia scholia habent). Ceterum huic loci explicandi rationi, Stoicae sine dubio, proluserat quodammodo Stesimbrotus, si modo Curt. Wachsmuth, Crat. Mall. p. 44. 45, alterum h. l. schol. A recte ita constituit: *πῶς δέ φησι· γαῖα — Ὄλυμπος; Κράτης ἐν δευτέρῳ Ὁμηρικῶν καὶ Στησίμβροτος [ὅτι κατὰ στοιχεῖα] πάντα οὕτως δέδασται.*

4 sqq. † A ad v. 193 (f. 191ᵇ, c. l. *γαῖα δ' ἔτι ξυνή*): *κοινὴ ὅλων τῶν στοιχείων ἡ γῆ, καθότι ἐν αὐτῇ εὑρίσκεται καὶ τὰ λοιπὰ τρία στοιχεῖα — καὶ περὶ τοὺς Ἡφαίστου κρητῆρας, ὁμοίως δὲ καὶ περὶ Κέραγον Λυκίας καὶ ὅσα τοιαῦτα. ὁμοίως δὲ καὶ ὁ ἀὴρ — κέκτηται στοιχείων. ἡ διπλῆ δὲ ὅτι κτλ.*, quae casu cum iis quae attulimus coaluisse nemo non videt. Cf. etiam † Eust. *O*, p. 1012, 7 sqq., qui nonnulla prave intellexit. — De Wachsmuthi sententia e Cratete hoc scholium repetentis v. Prolegg.

11 De *ἀθετήσει* plenius Ariston. v. 212. — Cf. Hiller, Phil. XXVIII, p. 105.

19. 20 Paullo brevius schol. B f. 202ᵇ ad *ὀλιγοδρανέων* (id. L f. 321ᵇ, quod

333. v. Herm. XIV, p. 243.

390 sqq. πῶς δὲ ἐπιλαθόμενος Ἀχιλλέως τοσοῦτον διάγει χρόνον; ἢ οὐ πολὺς μὲν ὁ χρόνος, τὰ δὲ γεγονότα ποικίλα ἐν ὀλίγῳ χρόνῳ. B f. 205ᵇ ad Πάτροκλος.

1 ἔδηc.. ἀπὸ V 2 τοῦ om. L ἐδέ..ε V 3 μέντωρ ἄμμυνον .... ἐμοῦ V, ἀρήν V² in marg. 5. 6 οὐ μὲν — χαλεπήνῃ om. B; βαcιλῆα etiam in text. L, βαcιλῆι V πρότερος V (id. text. L) 7 παρὰ τ. β. B 7. 8 οὐ νεμεcητὸc, om. ὅτι, V νεμεccητὸν L 8. 9 ἀπαρέcεται (bis) V ἀρῆc ἐπᾶραι V 9. 10 ἤτοι τῆc βλ. ἀπαλλάξαι V 19. 20 τὸν γὰρ ὅλον χρόνον BL; ὀλίγον Vict. praebet

---

tria in eo scholia leguntur: 1) *ἐδέηcεν*] *ὅμοιον τῷ ἦ μάλα — δεύῃ. καὶ Cοφοκλῆς· δεῖ cοῦ γενέcθαι τῷδέ γ' ἀνδρὶ cύμμαχον. ὅτι εἴωθεν τῷ ἐπεὶ μὴ ἐπαγαγεῖν ἀνταπόδοcιν*, 2) *ἄλλωc. ἐδέηcεν*] *ἐδέηcεν. ἀρῆc δὲ τῆc βλάβηc κτλ.* ut B, nisi quod in fine add.: *περιcπαcτέον τὸ δῆcε· τὸ γὰρ ἔ τοῦ δέ ἐcτιν*, 3) *ἀρῆc ἀλκτῆρα*] *τινὲc Ἄρεοc κτλ.*

1 Aristarchum *Ἄρεω* pro *ἀρῆς* legisse schol. Did. l. c. docet (cf. Eust. Σ, p. 1133, 10; Et. M. 38, 2). Porphyrius tamen h. l. Parmenisci sententiam *Ἄρης* scribentis notare videtur (v. schol. A ap. Dind. II, p. 152, 3; Et. M. 138, 10; Eust. p. 1133, 2: *ἐμοῦ δὲ δῆcεν ὁ Ἄρης, τουτέcτιν ἔδηcε καὶ ἐκώλυcε, τὸ ἀλκτῆρα γενέcθαι*).

3 Ptolemaeus Ascalonita et Herodianus *ἀρῆς* legerunt, *ἵνα cημαίνηται τὸ* ⟨Ludwich, Mus. Rh. XXXI, p. 206⟩ *βλάβης*, schol. Herod. Σ 100 (II, p. 151, 31 Dind.). *Ἀρῆς ἐν τοῖς εἰκαιοτέροις* fuisse Didymus l. c. affert; idem Zenodoteam habuisse recte La Roche, Hom. Textkr. p. 203, statuit. — Cf. etiam Eust. l. c.; schol. HQ χ 208: *ἀρήν*] *τὴν βλάβην, τοῦ πολέμου δηλονότι.*

5 sqq. Cf. ad *K* 413, p. 156, 5.

12 Quindecim dies Porph. etiam Ξ 304 numerat.

18 sqq. Ex eadem haec qua ea quae antecedunt quaestione petita esse vel inde efficitur, quod Eust. Σ, p. 1134, 58 sqq., sine dubio simillimo scholio usus *τοὺς λύοντας* affert.

λειν ἀργεῖν. καὶ ὁ ποιητής φηcι δηρὸν δὲ μάχης ἐπέπαυτο (T 46), οὐ πρὸς τὰς τρεῖς ἀφορῶν ἡμέρας ἀλλὰ πρὸς τὸ ποικίλον τῶν cυμφορῶν.

128 sqq. πῶς, φηcὶν, οὐκ ἀποτρέπει μᾶλλον τῆς μάχης, ἀλλὰ καὶ ἐπιρρώννυcιν; ἢ ὅτι εὐκλεῆ τὸν θάνατον αὐτῷ βούλεται γενέcθαι. τὸν οὖν μετ' εὐκλείας cυναινεῖ θάνατον· διόπερ τῆς μοίρας οὐ προεῖπεν αὐτῷ μὴ περιείληπται τὴν εἰς οἶκον ἀνακομιδήν. πῶς δὲ χάλκεα λέγει τὰ παρ' Ἡφαίcτου ὅπλα (v. 131, cf. v. 84) ἀπὸ τῆς χείρονος ὕλης; ἔχει γὰρ καὶ κακκίτερον καὶ ἄργυρον καὶ χρυcόν (v 474. 75). κοινότερον οὖν καὶ χαλκεῖς ἔλεγον καὶ τοὺς ταῦτα ἐργαζομένους· ἦλθε δὲ χαλκεύς (γ 432) Ὅμηρος, τὸν χρυcοχόον λέγων .....

A f. 241ᵇ c. l. ναὶ δὴ ταῦτά γε πάντα.

168. διὰ τί, φαcὶ, κρύβδα Διός, καὶ μήν φηcι μίcηcε δ' ἄρα μιν δηίων κυcὶ κύρμα γενέcθαι (P 272); ἀλλ' ἐπεὶ ὑπέcχετο Ἕκτορι ἀριcτεύειν ἕως ἑcπέρας, διὰ τοῦτο αὐτὸν λάθρα βούλεται προαναcτῆcαι, ἵνα τὸν τοῦ Διὸc ματαιώcῃ λόγον.

B f. 250ᵇ ad κρύβδα. L f. 396ᵃ. Simil. Vict. f. 341ᵇ.

192. ζητεῖται διὰ τί τὰ Πατρόκλου οὐ λαμβάνει, εἰ καὶ τὰ αὐτοῦ ἐκείνῳ ἥρμοcεν. τινὲc, ἡνίοχον λέγοντεc εἶναι τὸν Πάτροκλον, φαcὶ μὴ ἔχειν αὐτὸν ὅπλα. ῥητέον δὲ ὅτι εἶχε καὶ ἐμάχετο· Ἀχιλλεύc φηcιν ἤ οἱ τότε χεῖρεc ἄαπτοι μαίνοντο (Π 244). τινὲc δὲ ὅτι τὰ μείζονα τῷ ἐλάττονι ἁρμόζει μαλαγμάτων προcτιθεμένων, τὰ δὲ ἐλάττονα τῷ μείζονι οὐκέτι. ῥητέον δὲ ὅτι δύναταί τιc καὶ ἐλάττοcι πρὸc καιρὸν χρῆcθαι. Κράτηc, ὅτι τὰ Πατρόκλου Αὐτομέδων εἶχεν, ὅπωc ἰcωθῇ τὸ εἶδοc καὶ δόξωcιν εἶναι ὁ μὲν Ἀχιλλεὺc ὁ δὲ Πάτροκλοc.

A f. 241ᵇ c. l. ἄλλου δ' οὔτευ οἶδα τοῦ ἄν.

---

1 μάχη L 4 φηcὶν cod.; φαcὶν Vill. 6. 7 διόπερ κτλ. verba corrupta Bekkeri coniectura προέληται pro περιείληπται scribentis non sanata sunt 11 sequuntur verba ad Nicanorem referenda 12 διὰ τί φηcι L 14 βούλεται λάθρα L 16 αὐτοῦ Wachsmuth, de Crat., p. 45 18 δὲ om. cod. 23 cωθῇ cod.; corr. Vill.

4—7 Cf. B f. 249ᵇ ad *ναὶ δὴ* v. 128 (id. Vict. f. 342ᵃ, L. f. 395ᵇ): *γενναῖον καὶ τῆς Θέτιδος τὸ ἦθος ἐν δευτέρῳ τιθεμένης τὴν ἰδίαν συμφορὰν τῆς τοῦ παιδὸς εὐκλείας καὶ ἐπαινούσης τὸν ὑπὲρ τῶν φίλων κίνδυνον, ὃς ⟨ὡς L⟩ λυπεῖν ἔμελλε τὴν μητέρα.*

8—11 †B f. 249ᵇ ad *χάλκεα* v. 131 (id. L f. 395ᵇ): *κεχαλκευμένα. καὶ τὸν χρυσοχόον δὲ χαλκέα καλεῖ· ἦλθε δὲ χαλκεὺς ὅπλ' ἐν χερσὶν ἔχων χαλκήια, οἷσί τε χρυσὸν εἰργάζετο.* Addit Vict. (f. 342ᵃ): *καὶ ἦν ἄρα χαλκεὺς Ἥφαιστος ποίησεν* (*O* 309 confus. c. *A* 608 vel *η* 92). Similia sed admixtis aliis, quae aliunde esse petita videntur, ap. Apollon. v. *χάλκεα*, Et. M. 806, 34 (unde MQ *γ* 432 pendet), schol. B *T* 283 (cf. An. Ox. I, p. 436, 14). — *Χαλκέας τοὺς τὸν σίδηρον ἐργαζομένους* dici inter ea, quae *κατὰ τὸ ἔθος τῆς λέξεως δεῖ διαλύειν*, Aristoteles (poet. 25, p. 1461 *α* 28) attulit (cf. Prolegg. cap. III).

16—19 Cf. B f. 218ᵃ ad *θεράπων Π* 244 (id. L f. 317ᵃ c. l. *ἡμέτερος θεράπων*, Lp f. 255ᵃ c. eod. l.): *φασὶν ⟨φησὶν* Lp⟩ *ἠκολουθηκέναι Πάτροκλον Ἀχιλλεῖ ὡς ἡνίοχον. πῶς οὖν Ἀχιλλεῖ συναγωνίζεται ἡνίοχος ὤν; καὶ τί θαυμαστὸν καιρῷ καὶ ⟨om.* L⟩ *ἀναιρεῖν, ὅπου γε καὶ Αὐτομέδων τοῦτο ποιῶν φαίνεται;* Eadem fere Vict. f. 305ᵇ, nisi quod initio: *Ἀρίσταρχος ὡς ἡνίοχόν φησιν ἠκολουθηκέναι κτλ.*

L f. 396ᵇ. διὰ τί, φησί, τὴν Πατρόκλου πανοπλίαν οὐκ ἀναλαμβάνει Ἀχιλλεύς, ἐπειδὴ καὶ Πατρόκλῳ τὰ αὐτοῦ ἥρμοσεν; ἄλλοι δέ φασιν, ὅτι καταγέλαστον ἦν ταπεινὸν φανῆναι τοῖς τεθαρρηκόσιν, οἱ δὲ ὅτι τὴν Πατρόκλου Αὐτομέδων εἶχεν, ἵνα διὰ παντὸς Ἀχιλλέως ἡνίοχος νομίζηται, ἢ ὅτι μείζονα μὲν ἴσως ἁρμοσθεῖεν ἥσσονι, οὐ μέντοι τὸ ἀνάπαλιν, ὥστε οὐκ ἠδύνατο αὐτοῖς ὁπλισθῆναι Ἀχιλλεύς. ἢ τῷ μεγέθει μὲν ἴσα ἦν, ἀσθενῆ δέ· διὸ οὐχ ἥρμοττεν Ἀχιλλεῖ προπηδῶντι εἰς προῦργον κίνδυνον.

A c. l. ἐκ δ' αὐτοῦ δαΐε φλόγα. 206. πῶς δὲ, φησίν, οὐκ ἐκαίετο; καὶ γὰρ οἱ θεοὶ αὐτοὶ τρωτοί. ῥητέον δὲ ὅτι φαντασία ἦν.

A c. l. ἔνθα δὲ καὶ τότ' ὅλοντο δυώδεκα. 230. ἀπίθανόν φασι καὶ ἄμετρον τὸ τῆς ὑπερβολῆς. ῥητέον δὲ ὡς οὐκ ἔστιν· ὁ γὰρ τῆς αἰγίδος φόβος, ἣν ἐπέσεισεν ἡ Ἀθηνᾶ, καὶ τὸ καιόμενον πῦρ ἔκπληξιν τοσαύτην παρέσχεν, ὥστε αὐτοὺς ὑφ' ἑαυτῶν ὑπὸ ταραχῆς ἀπολέσθαι.

A f. 243ᵇ c. l. Ἥλιον δ' ἀκάμαντα. 239. 40. Ζητεῖται διὰ τί ἄκοντά φησι τὸν ἥλιον δῦναι. Κράτης μὲν τὸν αὐτὸν Ἀπόλλωνα εἶναι καὶ ἥλιον· ἐπιτυγχανόντων οὖν τῶν Τρώων, χρονίζειν ἡδόμενόν τε καὶ μηκύνοντα αὐτοῖς τὸ ἐπίτευγμα· Ἥραν δὲ τὰ ἐναντία βουλομένην ἀναγκάζειν αὐτὸν δύνειν. Ἀγαθο-

---

2 τὰ αὐτὰ οὐχ ἥρμοσεν cod.; correxi e schol. min. (v. infra) 4 ἀχιλλεὺς ἡνίοχος νομίζεται cod.; corr. e schol. min. 6 αὐτὸν ὁπλισθῆναι ἀχιλλέα cod.; corr. e schol. B (v. infr.) 7 ἴσα cod. ἥραντο cod.; corr. e B 8 προὔργον corrupt., προὔργου scribendo non multum lucramur 9 pro φησίν Vill. φασίν 16—19 ἡδόμενον δὲ καὶ μὴ κοινὸν τὸ αὐτοῖς τὸ ἐπίτευγμα Ἥραν δὲ τὰ ἐναντία βουλομένην αὐτὸν ἀναγκάζειν ἡδόμενον δὲ καὶ μηκύνοντα αὐτοῖς τὸ ἐπίτευγμα Ἥραν δὲ τὰ ἐναντία βουλομένην ἀναγκάζειν αὐτὸν δύνειν (sic) cod.; corr. Bkk.

1—8 Quamvis si singula verba spectas pessime tradita sint, e cod. L edidi, quoniam quae e scholiis B et min. statim afferentur e fonte simillimo hausta in formam breviorem redacta sunt. Eadem Eust. Σ, p. 1137, 44 in usum suum convertit, ubi quae leguntur: *λυθήσεται δὲ τὸ ἄπορον καὶ ἀπὸ τῆς λέξεως· κλυτὰ γὰρ τεύχεα ἐθέλει δῦναι, τοιαῦτα δὲ οὐκ ἔχει εὑρεῖν, εἴπερ τοιαῦτα λέγει τὰ ἡφαιστότευκτα*, cum lin. 3 cohaerent.

1—5 †Schol. min. (c. l. *ἄλλου δ' οὔ θην οἶδα τοῦ ἂν κλυτὰ τεύχεα δύω*): .... *διά τί δέ, φησί, τὴν Πατρ. — ἥρμοσε; καί φασί τινες — ἵνα διὰ παντὸς Ἀχιλλέως ἡνίοχος νομίζηται.*

5—8 †B f. 251ᵃ ad *οἶδα*: *διὰ τί τοῖς Πατρόκλου ὅπλοις οὐχ ὁπλίζεται; φασὶν Αὐτομέδοντα φορεῖν τὰ Πατρόκλου, ὅπως δόξῃ Πάτροκλος εἶναι. ἢ ὅτι μείζονα μὲν — ὥστε οὐκ ἠδύνατο αὐτοῖς ὁπλισθῆναι Ἀχιλλεύς. ἢ τῷ μεγέθει μὲν ἴσα ⟨ἴσα cod.⟩ ἦν, ἀσθενῆ δέ. διὸ οὐχ ἥρμοττεν Ἀχιλλεῖ προπηδῶντι εἰς πάντα κίνδυνον.* Eadem omissa quaerendi forma Vict. f. 343ᵃ.

9. 10 Cf. Porph. E 7, p. 79, 24: *ἵν' ᾖ ὡς πυρὸς φαντασία, οὐκ εἰδικῶς πῦρ.*

15 sqq. Cf. B f. 252ᵃ ad *πέμπεν* v. 240 (id. L f. 398ᵃ; simil. Vict. f. 344ᵃ): *ἐπεὶ ὑπέσχετο Ζεύς· δύῃ τ' ἠέλιος* (P 455). *Ἀπόλλων δὲ ⟨ἐστὶν L⟩ ὁ ἥλιος, ὃς ἄκων δύνει· ἠπίστατο γὰρ πρὸς ἀριστείαν Τρωσὶ δοθεῖσαν παρὰ Διὸς τὴν ἡμέραν. μυθικὸν δέ ἐστι τὸ ὅλον.* — Eust. Σ, p. 1140, 49, Agathoclis explicandi rationem Crateti tribuit.

κλῆς δέ φηςι ςυνάγεςθαι, ὅτι καθ' Ὅμηρον ἐναντίως τῷ οὐρανῷ φέρεται ὁ ἥλιος, τῇ δὲ δίνῃ αὐτοῦ ςυνέλκεται· Ἥραν γὰρ εἶναι τὴν τοῦ παντὸς φύςιν ἐκ τοῦ ἢ οὐ μέμνῃ ὅτε τ' ἐκρέμω ὑψόθεν (O 18), ἕλκεςθαι δὲ ἄκοντα τὸν ἥλιον ὑπὸ τῆς δίνης ὑπὸ τὰς δυςμάς.

245 sqq. ἐζήτηται πρὸς τί τὴν ἐκκλησίαν ἀθροίζει. τινὲς μὲν οὖν τὸν ποιητὴν φαςι μετάγειν τὴν μάχην εἰς λόγους ἀεὶ θηρώμενον τὸ ποικίλον. οἱ δὲ, διὰ δέος τοὺς Τρῶας αὐτομάτους ςυνδραμεῖν καὶ ἀναγκαςθῆναι δημηγορεῖν τὸν Ἕκτορα. L f. 412ᵃ. Cf. schol. min. v. 245.

270. 71. .... διὰ τί δὲ μὴ ἰδίᾳ ταῦτα πρὸς Ἕκτορά φηςιν; ὅτι τὸ πλῆθος ἐξαίφνης τὸ πολὺ καὶ ταραχῶδες εἰς ἐκκλησίαν ςυνέρρευςεν. B f. 252ᵇ ad γνώςεται.

308 (= Vat. Ζητ. λβ') v. in fine operis.

334. 35. πῶς, φηςὶν, ἄταφον ἐᾷ τὸ ςῶμα, τῆς τοῦ Ἕκτορος ἀναιρέςεως ἀδήλου οὔςης; ῥητέον δὲ ὅτι παρὰ τῆς μητρὸς ἐδιδάχθη, ὅτι ἐγγὺς αὐτῷ φόνος ἐςτί. πῶς δὲ τὰ ἑαυτοῦ ὅπλα Ἕκτορός φηςιν; ἢ τοίνυν τὸ Ἕκτορος πρὸς τὸ κεφαλὴν μόνον ἐκληπτέον, ἢ ὅτι καὶ αὐτὰ τοῦ ἀφελομένου κτῆμα γέγονεν. B f. 254ᵃ ad οὔ ςε πρίν. L f. 402ᵃ.

356 sqq. De fragmento e Zenodori libro περὶ τῆς Ὁμήρου ςυνηθείας petito, a Villoisono et Bekkero ad Porphyrium relato, a Dindorfio recte ab illo abiudicato, v. Prolegg. cap. III, 4.

376. v. ad H 298, p. 110, 3 sqq.

431. καὶ πῶς φηςιν ἡ Ἥρα (Ω 60) καὶ ἀνδρὶ πόρον παράκοιτιν; ἢ ὅτι τῶν ςυμβαινόντων τῷ Διὶ τὴν αἰτίαν ἀναφέρουςιν ὡς ἄρχοντι· ἢ ὅτι αὐτῇ αἴτιος τοῦ γάμου. B f. 255ᵇ ad Ζεὺς ἄλγε'. L f. 405ᵃ.

478. v. ad Π 140.

489. ἀνιςτόρητόν ἐςτι τοῦτο· κατηγοροῦςι μὲν γὰρ κατὰ τὸν περὶ B f. 257ᵃ ad ἄμμορός ἐςτι.

---

3 ἐκρέμνω cod.; corr. Vill. 12 ἐᾷ τὸ ςῶμα Bkk.; ἐάςω τὸ c. BL 16 κτῆμα τοῦ ἀφ. γέγ. L 23 αὐτῇ om. L

---

7. 8 B f. 252ᵃ ad v. 245 (id. L f. 398ᵇ, Vict. f. 344ᵃ): *ἄκρως τὴν πτοίαν ⟨δειλίαν L⟩ αὐτῶν δηλοῖ· πλῆθος γάρ ἐςτι ςυντρέχον εἰς ἐκκλησίαν, οὐ ςτρατηγοῦ καλοῦντος ἀλλὰ τοῦ φόβου ....*

12—16 Aliter haec constituit Vict. f. 348ᵃ: *πῶς — οὔςης; ῥητέον δὲ ὅτι ἠκηκόει παρὰ τῆς μητρός· οὐδέ ἕ φημι — φόνος ἐγγύθεν αὐτῷ* (σ. 132. 33). Sequitur: *τεύχεα καὶ κεφαλήν] τοῦ γὰρ ἀφελομένου κτῆμα γέγονεν.*

23 Postrema Vict. (f. 352ᵃ) ita: *ἢ κατὰ τὴν νέαν ἱςτορίαν, ὅτι αὐτὸς αὐτῇ αἴτιος γέγονεν τοῦ γάμου.*

25 sqq. Scholium ad eundem versum ε 275 recurrentem pertinet. Quae enim nostro loco omni sensu carent *ἀπρεπὲς δὲ δοκεῖ κτλ.* (p. 226, lin. 9), ibi optime ex ira qua Neptunus in Ulixem accensus est et e discordia quae inter eum et reliquos deos intercedit (ε 282—90) explicantur. Nihilominus, quoniam prior scholii pars loco Iliadis optime respondet, codicem B secuti edidimus. Quae uncinis inclusimus ex ipso Porphyrio hausta esse e schol. T 67, de eadem re eodem fere modo agente, apparet. — Satis antiquis iam temporibus de huius versus quae videbatur difficultate quaesitum esse, Aristoteles docet, poet. 25, p. 1161 α 20: *καὶ τὸ οἴη δ' ἄμμορος κατὰ μεταφοράν· τὸ γὰρ*

τῆς Ἄρκτου λόγον φάσκοντος οἴη δ' ἄμμορός ἐστι λοετρῶν Ὠκεανοῖο, καθόλου γὰρ πάντα τὰ ἐν τῷ ἀρκτικῷ μὴ δύνειν. λύοιτο δ' ἂν ἐκ τῆς ἀναφορᾶς τῶν πρὸς ἃ εἴρηται διὰ τῆς λέξεως· εἰρημένου γὰρ Πληιάδας θ' Ὑάδας τε τό τε σθένος Ὠρίωνος Ἄρκτον θ' ἣν καὶ Ἄμαξαν ἐπίκλησιν καλέουσιν, ἥ τ' αὐτοῦ στρέφεται καί τ' Ὠρίωνα δοκεύει, τὸ οἴη δ' ἄμμορός ἐστι λοετρῶν πρὸς ταῦτα τὰ ῥηθέντα ἄστρα καὶ τὰ συγκαταλεχθέντα ἔχει τὴν ἀναφοράν. κἂν διαιρῆται δὲ οἱ, εἶτα ἡ δ' ἄμμορός ἐστι λοετρῶν Ὠκεανοῖο, κατὰ λέξιν ἡ λύσις ὑπάρχει. [ἀπρεπὲς δὲ δοκεῖ τὸ τῶν παρὰ θεοὺς τὰ πλεῖστα παρ' Ὁμήρῳ λελέχθαι. ὧν ἡ λύσις κατὰ τὸ πλεῖστον ἀπὸ ἔθους λαμβάνεται· ἐξ ἔθους γάρ τινος τοῖς ποιηταῖς παρακεχώρηται καὶ τοῖς ζωγράφοις καὶ τοῖς πλάσταις ἀνθρωποπαθείας τῶν θεῶν διατυποῦν καὶ μάχας αὐτῶν πρὸς ἀλλήλους καὶ θηρείας καὶ ἀλλοιώσεις διαμυθολογεῖν.]

490. Υ 7.

Vat. Ζητ. Ζ'. *B f. 257b ad ἑτέρην πόλιν.

509 sqq. πολλῆς ταραχῆς πλήρη ἔδοξεν εἶναι τὰ ἔπη ταῦτα·
τὴν δ' ἑτέρην πόλιν ἀμφὶ δύο στρατοὶ εἵατο λαῶν,
τεύχεσι λαμπόμενοι, δίχα δέ σφισιν ἥνδανε βουλή,
ἠὲ διαπραθέειν ἢ ἄνδιχα πάντα δάσασθαι,
κτῆσιν ὅσην πτολίεθρον ἐπήρατον ἐντὸς ἐέργει.
οἱ δ' οὔπω πείθοντο, λόχῳ δ' ὑπεθωρήσσοντο.
τεῖχος μέν ῥ' ἄλοχοί τε φίλαι καὶ νήπια τέκνα
ῥύατ' ἐφεσταότες, μετὰ δ' ἀνέρες οὔς ἔχε γῆρας.
οἱ δ' ἴσαν, ἦρχε δ' ἄρα σφιν Ἄρης καὶ Παλλὰς Ἀθήνη
ἄμφω χρυσείω, χρύσεια δὲ εἵματα ἕσθην,
καλὼ καὶ μεγάλω σὺν τεύχεσιν ὥς τε θεώ περ,
ἀμφὶς ἀριζήλω, λαοὶ δ' ὑπολίζονες ἦσαν.
οἱ δ' ὅτε δή ῥ' ἵκανον, ὅθι σφίσιν εἶκε λοχῆσαι
ἐν ποταμῷ, ὅθι τ' ἀρδμὸς ἔην πάντεσσι βοτοῖσιν,
ἔνθ' ἄρα τοίγ' ἵζοντ' εἰλυμένοι αἴθοπι χαλκῷ.
τοῖσι δ' ἔπειτ' ἀπάνευθε δύω σκοποὶ εἵατο λαῶν,

8 δέ οι εἶτα ἡ δ' cod.; οἱ conieci 18 δίχα δέ σφιν ἥνδανε βουλή B, qui versibus qui sequuntur omissis ita pergit: μέχρι τοῦ ἐν δ' ἐτίθει νεῖον μαλακὴν πίειραν ἄρουραν (v. 541). ταράσσει γὰρ κτλ. δέ σφίσιν V 21 ὑπερθωρήσσοντο V 25 ἥσθην V 28. 29 in V post ἵκανον fuit ἐν ποταμῷ, quae a versu sequenti aberant; huic addidit, illic delevit V² 29 πάντεσι V 30 ἵζοντο V

γνωριμώτατον μόνον. Aliae solvendi rationes e Strab. I, p. 3 C et Apollon. v. ἄμμορον peti possunt.

2 sqq. Cf. A Σ 489 intermarg.: οἴη] ὡς πρὸς τὰ προειρημένα ἄστρα, ἐπεὶ καὶ ἄλλα ἐστὶ μὴ δύνοντα, B f. 257a ad οἴη: τὸ οἴη οὐκ ἔχει τὴν σύγκρισιν πρὸς ἅπαντα τὰ ζῴδια, ἀλλὰ πρὸς μόνα τὰ τῇ ἀσπίδι ἐντετυπωμένα· εἰσὶ γὰρ καὶ ἄλλα μὴ δύνοντα. Apollon. l. c.: .... ἢ πρὸς τὰ προειρημένα τὴν σύγκρισιν ποιεῖται ....

9—14 V. ad p. 225, 25.

δέγμενοι ὁππότε μῆλα ἰδοίατο καὶ ἕλικας βοῦς.
οἱ δὲ τάχα προγένοντο, δύω δ' ἅμ' ἕποντο νομῆες 525
τερπόμενοι σύριγξι, δόλον δ' οὔτι προνόησαν.
οἱ μὲν τὰ προϊδόντες ἐπέδραμον, ὦκα δ' ἔπειτα
τάμνοντ' ἀμφὶ βοῶν ἀγέλας καὶ πώεα καλὰ
ἀργεννῶν οἰῶν, κτεῖνον δ' ἐπιμηλοβοτῆρας.
οἱ δ' ὡς οὖν ἐπύθοντο πολὺν κέλαδον περὶ βουσὶν 530
ἱράων προπάροιθε καθήμενοι, αὐτίκ' ἐφ' ἵππων
βάντες ἀερσιπόδων μετεκίαθον, αἶψα δ' ἵκοντο.
στησάμενοι δ' ἐμάχοντο μάχην ποταμοῖο παρ' ὄχθας,
βάλλον δ' ἀλλήλους χαλκήρεσιν ἐγχείῃσι

καὶ τὰ ἑξῆς. ταράσσει γὰρ τοὺς πολλούς· οἱ δύο στρατοὶ ἆρά γε πολέμιοί εἰσι τῶν κατοικούντων καὶ ἀλλήλοις φίλοι, ἢ εἷς μὲν τῶν ἐκ τῆς πόλεως, ὁ δ' ἕτερος πολέμιος; καὶ πρὸς τίνας διχονοοῦσιν; ἆρά γε πρὸς ἀλλήλους ἢ πρὸς τοὺς ἔνδον; καὶ ἐπὶ τίνων τὸ οἱ δ' οὔπω πείθοντο (v. 513); ἆρά γε τῶν εἴσω ἢ τοῦ ἑτέρου στρατοῦ; καὶ πάλιν ἐπὶ τίνος τὸ λόχῳ δ' ὑπεθωρήσσοντο (v. 513); ἆρά γε ὁ ἕτερος τῶν στρατῶν ἢ οἱ ἔνδον; καὶ τίνων οἱ σκοποί; καὶ τίνων ἡ λεία; πῶς τε, εἰ τῶν ἔνδον ἡ λεία, ὁ λόχος παρ' αὐτῶν; καὶ τίνες οἱ ἐπεξιόντες; ἆρα οἱ δύο στρατοὶ ἢ οἱ ἕτεροι; ὅλως τε τίς ἡ διατύπωσις τῆς πλάσεως;

ἐν τῷ δευτέρῳ τῶν ἐξηγητικῶν φησιν Ἀλέξανδρος ὁ Κοτυαεύς, ὅτι δύο στρατοὶ περιεκάθηντο τὴν πόλιν πολέμιοι, ἢ πορθεῖν ἀξιοῦντες αὐτὴν ἢ τὰ ἡμίση λαβόντες ἀπιέναι· οἱ δ' ἔνδον ὄντες οὐκ ἐδέχοντο τὴν πρόκλησιν. „οἱ οὖν πολέμιοι," φησίν, „ἐνέδραν τινὰ ἐποιήσαντο τοῖς ποιμνίοις καὶ τοῖς βουκολίοις, ἃ ἦν κτήματα τῶν ἐν τῇ πόλει." εἶτα ἀξιοῖ τὸ μὲν οἱ δ' οὔπω πείθοντο (v. 513) ἀκούειν περὶ τῶν ἐν τῇ πόλει, τὸ δὲ λόχῳ δ' ὑπεθωρήσσοντο περὶ τῶν πολεμίων, καὶ τὸ οἱ δ' ἵσαν (v. 516) περὶ τῶν πολεμίων τῶν εἰς τὴν ἐνέδραν ἀπιόντων· οἱ δὲ σκοποὶ τῶν πολεμίων εἰσί· τὸ δὲ οἱ δ' ὡς οὖν ἐπύθοντο πολὺν κέλαδον περὶ βουσὶν (v. 530) ἐπὶ τῶν ἐν

---

1 ὅποτε V; cuius verbi syllabam postremam et verba sequentia usque ad βοῦς humiditate deleta in textu V² rescripsit 2. 3 inde a syll. ες verbi νομῆες usque ad οὔτι hum. del. V² in textu rescrps. 5 τάμνοντο V 6 ἀργενῶν V 8 ἱρά.....άροιθε V¹, ἱράων προπ V² in marg. 10 στησάμενοι ..μάχοντο V¹, δ' ἐ V² in marg. 12 καὶ .. ἑξῆς V¹, τὰ text. add. V² τοὺς πολλοὺς κτλ. interpunxi Kammer., p. 99, secutus 13. 14 ἢ εἷς μὲν πολέμιος ὁ δ' ἕτερος τῶν ἐκ τῆς πό..ως V 16 γε om. V 20 ἆρ' οἱ V 21 τοῦ πλάσματος V 22 ἐξηγτικῶν (sic) B brevius V: ἀλέξιος μὲν ὁ κοτ. οὕτω φησί· δύο στρατοὶ κτλ. 23 παρεκάθηντο B 25 ἐνεδράν τινα B V 26 τῶν ποιμνίων καὶ τῶν βουκόλων V 29. 30 περὶ τῶν εἰς ἐνεδραν ἀπιόντων πολεμίων V 30 ἐνεδραν B 31 παρὰ βουσὶν B

---

22 sqq. † Eust. Σ, p. 1159, 25 sqq.

τῇ πόλει ἀκούει· ἐκαθέζοντο γὰρ ἐν ἐκκλησίᾳ βουλευόμενοι, τὰ τείχη φρουρεῖν παραδόντες τῇ ἀπολέμῳ ἡλικίᾳ· τὸ γὰρ ἱράων προπάροιθε καθήμενοι (v. 531) σημαίνει τῶν ἐκκλησιῶν, ἐν αἷς εἴρουσι καὶ ἐκκλησιάζουσιν. ὅτε δ' αὐτοῖς ἐμηνύθη τὰ κατὰ τὰ ποίμνια, ἐπιτρέχουσι, καὶ ἐξελθόντες συμβάλλουσι μάχην.

εἶχε δ' ἂν πιθανότητα ἡ διατύπωσις, εἰ μὴ πρῶτον μὲν βεβιασμένη ἡ ἀπόδοσις ἦν τοῦ τοιούτου στίχου· οἱ δ' οὔπω πείθοντο, λόχῳ δ' ὑπεθωρήσσοντο. τὸ μὲν γὰρ οἱ δ' οὔπω πείθοντο ἀξιοῖ περὶ τῶν ἔνδον ἀκούειν, τὸ δὲ λόχῳ δ' ὑπεθωρήσσοντο περὶ τῶν ἐκτός, ἵν ᾖ τὸ οἱ δ' οὔπω πείθοντο ἀντὶ τοῦ μὴ πειθομένων αὐτῶν εἰς λόχον ἐθωρήσσοντο οἱ τὰς προκλήσεις ποιούμενοι. [τὸ δὲ οἱ δ' οὔπω πείθοντο ἂν ἀκούωσιν ἀντὶ τοῦ μὴ πειθομένων αὐτῶν, βίαιον.] πάλιν δὲ μεταξὺ τοῦ λόχῳ δ' ὑπεθωρήσσοντο καὶ τοῦ οἱ δ' ἴσαν ἐμβεβλῆσθαι φάσκειν περὶ τῶν ἔνδον, ὅτι οἱ ἀπόλεμοι ἐτειχοφυλάκουν ὑπ' ἀσθενείας, ἔστιν ἐλεγχόντων τὸν ποιητὴν μὴ δυνάμενον φράζειν ἀταράχως. πάντως δὲ καὶ ὁ λόχος οὐκ ἐκ πάντων ἦν τῶν ἐν τοῖς δύο στρατοπέδοις, ἀλλὰ τινῶν· πῶς οὖν ὑπεξίασιν οἱ ἐν τῇ πόλει, φανερῶς τε καὶ ἀδεῶς τῶν πολιορκούντων κωλυόντων;

ἀμείνους οὖν οἱ οὕτω διατυπώσαντες τὸ πλάσμα· δύο στρατοὶ ἐπελθόντες πόλει τὴν λείαν περιήλασαν, καὶ τὴν πόλιν πολιορκοῦντες ἀξιοῦσι τῶν ἐν αὐτῇ κτημάτων λαβεῖν τὸ ἥμισυ ἐφ' ᾧ τε καταθέσθαι τὸν πόλεμον. οἱ δ' ἐν τῇ πόλει οὐκ ἐπείθοντο, ἀλλ' ἐνεδρεύσοντες ἐπὶ πότον ἐρχόμενα τὰ τετράποδα ἀπήλασαν. οἱ πολέμιοι δὲ στρατοί, καίπερ ἐκκλησιάζοντες, ἐπεὶ ἐπύθοντο τοῦτο, τῶν ἵππων ἐπιβάντες ἐπῆλθον αὐτοῖς. ὅτι γὰρ αὐτοί εἰσι (λέγω δὲ οἱ στρατοί) ἐκκλησιάζοντες, δεδήλωκε περὶ αὐτῶν εἰπών· δίχα δέ σφισιν ἥνδανε βουλή

1 ἐκκλησίαις V 3 τῶν om. B 3. 4 εἴρουσι καὶ ἀγορεύουσιν V 6. 7 πρῶτα μὲν βεβ. ἦν ἡ ἀπόδ. V 11—13 τὸ δὲ — βίαιον recte uncinis inclusit Kamm., p. 99 13 sqq. καὶ τοῦ inserui; B om. (14) ὅτι εἰ ⟨in ras.⟩ ἀπόλεμοι ἐτ. B; corr. Bekk. V post ὑπεθωρήσσοντο ita: ἐμβεβλῆσθαι φάσκειν περὶ τῶν ἔνδον τὸ οἱ δ' ἴσαν ἔστιν ἐλεγχόντων κτλ. lin. 15 16 καὶ ὁ om. B 17 δυσὶ V 19—21 litteras οὖν οἱ οὕτω διατυπώσαντες τὸ π et καὶ (bis script.) τὴν πόλιν πολιορκοῦντες ἀξιοῦ humiditate deletas in textu rescripsit V² (19) πλάσμα V 21 τῶν κτημάτων τῶν ἐν αὐτῇ V ἐφ' ᾧ γε V 22 ἐνεδρεύσαντες codd.; corr. Kamm., p. 100 23 ποτὸν B 24 καίπ.. V¹, ερ V² in marg. 25 αὐ... εἰσι V¹, τοι V² in marg. λέγει V¹, ω supra ει scrps. V² ἐκκλησιάζοντα. V 26 ἥν.ανε V¹, δ V² in marg.

19 sqq. †B f. 257ᵇ ad τὴν δ' ἑτέρην Σ 509 (id. fere Vict. f. 355ᵃ): *οὕτως ἐξηγητέον· πόλιν τινὰ περικαθεσθέντες δύο πολεμίων στρατοὶ τὴν λείαν ἀφείλοντο· ἠνάγκαζον δὲ καὶ τὴν κτῆσιν διανείμασθαι τοὺς πολίτας ἐπὶ τῷ παῦσαι τὸν πόλεμον, οἱ δὲ πολῖται οὐκ ἐπείθοντο, ἀλλὰ σκοποὺς πέμψαντες ἐλόχων ⟨ἐλόχουν* B*⟩, ὁπότε ἥξουσι τὰ θρέμματα αὐτῶν ἐπὶ νομήν, ἵνα ἀφέλοιντο τῶν πολεμίων. καὶ δὴ τοῦτο ποιοῦσιν, οἱ δὲ τὸν θόρυβον ἀκούσαντες — ἔτυχον γὰρ περὶ τούτου σκοποῦντες, πότερον ἀρκεσθήσονται τῇ λείᾳ ἢ πολεμήσοιεν — ἐπιβάντες τῶν ἵππων συνῆψαν πόλεμον.* Cf. †Eust., p. 1159, 18 sqq.

(v. 510). ἀκολούθωϲ δὲ εἴρηται ἐπὶ τῶν ἐντόϲ, ὅτι οὐκ ἐπείθοντο μέν γε, εἰϲ δὲ λόχον καθωπλίζοντο, παραδόντεϲ τοῖϲ ἀϲτρατεύτοιϲ τὴν φρουρὰν τῶν τειχῶν. καὶ τὸ οἱ δ' ἴϲαν ἐπὶ τῶν ἐκ τῆϲ πόλεωϲ ἀκολούθωϲ ἐπῆκται, λάθρα ἐξιόντων αὐτῶν, καὶ ὅθεν οὐκ ἦν προϲδοκῆϲαι τοῖϲ ἔξω ἀνοχὰϲ ἔχουϲι τοῦ πολέμου καὶ ἐκκληϲιάζουϲιν. αὐτῶν τε οἱ ϲκοποὶ τῶν εἰϲ τὸν λόχον ἐξελθόντων. καὶ οἱ τερπόμενοι ταῖϲ ϲύριγξι νομεῖϲ εἰ μὲν τῶν πολεμίων εἶεν, ἔχει λόγον, εἰ δὲ τῶν ἐν τῇ πόλει, παράλογον· οὐ γὰρ οἱ τῶν πολιορκουμένων ἐτέρποντο, ἀλλ' οἱ τῶν πολιορκούντων. καὶ λοιπὸν ἀκολούθωϲ ἀπελθόντων τῶν ϲτρατῶν, περικάθηται μὲν οὐδεὶϲ τὴν πόλιν, μάχη δὲ περὶ τὸν λόχον γίνεται.

ἄλλοι δὲ ἠξίουν τῶν δύο ϲτρατῶν τὸν μὲν φίλιον εἶναι τῶν ἔνδον τὸν δὲ πολέμιον, καὶ τὸν μὲν πολέμιον ἑλεῖν βούλεϲθαι τὴν πόλιν, τὸν δὲ φίλιον ἀξιοῦντα τὰ ἡμίϲη δοῦναι τῶν ἐν τῇ πόλει κτημάτων, τοὺϲ δὲ πολεμίουϲ μήπω πείθεϲθαι ἀλλὰ βουλεύεϲθαι· ὧν βουλευομένων, λόχον αὐτῶν [τῇ πόλει] ϲυϲτῆϲαι τοὺϲ τῶν ἔνδον φίλουϲ ϲτρατιώταϲ. τετάρακται δὲ καὶ ἡ τοιαύτη ἐκδοχή, ὡϲ ἐπιόντι ϲοι κατ' αὐτὰ τὰ ἔπη ἔϲται δῆλον, ὥϲτε ἡ δευτέρα ἀπόδοϲιϲ ἔχει τὰ τῆϲ Ὁμηρικῆϲ διανοίαϲ.

ἐκεῖνο μέντοι παρελθεῖν οὐκ ἄξιον, ὅτι οἱ περὶ Παρμενίϲκον ϲτίζειν ἠξίουν ἐπὶ τοῦ

τεῖχοϲ μέν ῥ' ἄλοχοί τε φίλαι καὶ νήπια τέκνα
ῥύατ' ἐφεϲταότεϲ μετὰ δ' ἀνέρεϲ οὓϲ ἔχε γῆραϲ

(v. 514. 15) μετὰ τὸ ῥύατο, εἶτα ϲυνῆπτον τὸ ἑξῆϲ· ἐφεϲταότεϲ

1 δὲ om. B ἐπεὶ τῶν ἐκτόϲ B 2 ὡπλί..ν.. ...αδόντεϲ V¹, ζοντο παρα V² in marg. 3 ἐπεὶ τῶν om. V 4 ἦν in textu paene deletum in marg. repetivit V² 6 ϲκ..οὶ V¹, κοποὶ V² in marg. ἐξιόντων V 8 παρὰ λόγον V 9 ἐπελθόντων B 10 περικάθηται conieci; παρακάθητο B, παρακάθηται V; περικάθητο Vill. 11 εἶναι φίλιον V 13 ἀξιοῦν V 14 βουλεϲθαι, εὐ supra ε ϲcrpt., V 15 αὐτῷ V τῇ πόλει deleri iubet Kamm. 16. 17 κατ' αὐτὴν τὰ ἔπη B 17 ἔϲτι B ἔχεται pro ἔχει τὰ coni. Bekk. 20 ϲτίζειν ἠξίουν post γῆραϲ (lin. 22) coll. V 21 θεῖχοϲ V 23 ἑξῆϲ B

11 sqq. Discrepat tertia explicandi ratio ab Eust., p. 1159, 28 sqq., allata.

19 Quae sequuntur usque ad finem scholii excerpsit Eust., p. 1159, 61 sqq.

20 sqq. †B f. 257ᵇ ad *ῥύατ'* v. 515: *τινὲϲ εἰϲ τὸ ῥύατο ϲτίζουϲιν, ἵνα τῷ ἀνέρεϲ μόνῳ ἁρμόϲῃ τὸ ἐφεϲταότεϲ, ἵνα ὁ ἔδει ἐπάγεϲθαι, τοῦτο ἐν μέϲῳ κέηται* ⟨Vill.; *κεῖται* cod.⟩· *ἔδει γὰρ μετὰ δ' ἀνέρεϲ ἐφεϲταότεϲ* [*ὁ Πλάτων δὲ ἐν τοῖϲ νόμοιϲ κτλ.*, quae huc non pertinent]. Eadem fere †Vict. f. 355ᵇ: *τινὲϲ εἰϲ τὸ ῥύατ' ϲτίζουϲιν. ἢ ὃ δεῖ ἐπάγεϲθαι, τοῦτο ἐν μέϲῳ κεῖται· ἔδει γὰρ μετὰ δ' ἀνέρεϲ ἐφεϲταότεϲ. τὸ εἰ δέ κ' Ἄρηϲ ἄρχωϲι μάχηϲ ἢ Φοῖβοϲ Ἀπόλλων καὶ ἔνθα μὲν εἰϲ Ἀχέροντα Πυριφλεγέθων τε ῥέουϲι Κώκυτόϲ τε.* [*πρὸϲ δὲ τὸ ἀρϲενικὸν ἀπέδωκεν, ὡϲ ἐν τῷ μήτε τιϲ οὖν θήλεια θεὸϲ κτλ.* (cf. Bekk. p. 510 β 40—44), quae aliunde illata sunt]. — Parmeniscum, cuius rationi in utroque scholio excerpto alia quaedam ex eadem quaestione petita (v. ad p. 230, 21) adhaeserunt, h. l. e Nicanore afferri, schol. A v. 514 (II, p. 175, 15 Dind.) docet.

μετὰ δ' ἀνέρες οὐς ἔχε γῆρας. „ἐὰν γὰρ τοῖς ἄνω," φαcὶ, „cυνάψωμεν, cολοικιcμὸς ἔcται, ἐπεὶ θηλυκὸν πρόκειται καὶ οὐδέτερον, τὸ δὲ ἑcταότες ἀρcενικόν." ἐδυνάμην οὖν φάναι πρὸς αὐτούς, ὅτι καὶ οὕτως Ὅμηρος πολλὰ cχηματίζει· καὶ αὐτὸς γὰρ λέγει κλυτὸς Ἱπποδάμεια (B 742) καὶ θῆλυς ἀυτμή (? Z 122) καὶ ὀλοώτατος ὀδμή (δ 442) καὶ ὄπα χάλκεον (C 222) καὶ ἁλὸς πολιοῖο (Y 229), καὶ ἐπὶ δυικῶν· οὐκ ἂν ἐφ' ὑμετέρων ὀχέων πληγέντε κεραυνῷ (Θ 455). ἄλλως τε ἐν τοῖς τέκνοις καὶ οἱ ἄρcενές εἰcι· τί οὖν κωλύει πρὸς τὸ cημαινόμενον ἀπηντηκέναι, ὡς ἐπ' ἄλλων μυρίων; οἷον· νεφέλη δέ μιν ἀμφιβέβηκε κυανέη, τὸ μὲν οὔποτ' ἐρωεῖ (μ 74)· πρὸς γὰρ τὸ νέφος ἡ ἀπόδοcις. πάλιν· ἠδ' ἐπὶ δεξιὰ ἠδ' ἐπ' ἀριcτερὰ νωμῆcαι βῶν ἀζαλέην, τό μοί ἐcτι ταλαύρινον πολεμίζειν (H 238)· πρὸς γὰρ τὸ cάκος ἡ ἀναφορά. καὶ εἰπὼν ἐπ' εἰροπόκοις ὀίεccιν ἐπάγει τὰ δ' ἐρῆμα φοβεῖται (E 137. 140)· πρὸς γὰρ τὰ πρόβατα τὸ cχῆμα. καὶ ἐνταῦθα οὖν πρὸς τοὺς παῖδας φαίη ἄν τις εἶναι τὴν ἀναφοράν. ἐν δὲ τοῖς ὑποκειμένοις καὶ δύο cχήματα ἔμιξεν, ἐπὶ τοῦ

διάνδιχ' ἅπαντα δάcαcθαι
κτῆcιν ὅcην πτολίεθρον ἐπήρατον ἐντὸς ἐέργει

(C 511. 12)· τὸ γὰρ ἅπαντα πρὸς τὰ κτήματα ἀναφέρεται, τὸ δὲ ὅcην πρὸς τὴν κτῆcιν. ἐμοὶ δὲ δοκεῖ παραπλήcιόν τι νῦν κἀνθάδε

---

3 ἢ οὖν δυνάμει V^1, δυνάμεθα οὖν V^2 in marg. 4 κλυτὸc ex κλυτὴ corr. V^1 7 ἡμετέρων V 8 ἀνέρεc εἰcὶ B 10 ἄποτ' V^1, corr. V^2 11 δεξὰ B 12 βῶν V 14 τάδ' ἔρημα φοβεῖcθαι V 15 τὸ cχῆμα δηλούμενον (infra μενον quinque punctis positis) καὶ ὧδε οὖν πρὸc τ. παῖδαc V 16. 17 καὶ — ἐπὶ τοῦ in V humiditate deleta; in textu rescrps. V^2 18 διάνδιχα πάντα codd. 19 κτῆcιν ὅπωc V πτολ. — ἐέργει humid. deleta in text. rescrps. V^2 20. 21 ἀναφέρεται πρὸc τὸ(?) κτήματα V

3—7 Exempla *σχήματος Ἀττικοῦ* quod vocatur huc collata, quae etiam aliis cum scholiorum tum Eustathii locis (cf. praeterea Plut. V. Hom. c. 42) recurrunt, ex Aristarcho petita sunt (v. Friedl., Ariston., p. 31). Id unum h. l. notandum, pro *θῆλυς ἀυτμή* in schol. A Σ 222 *θερμὸς ἀυτμή* (hymn. in Merc. 110); apud Plutarchum *θῆλυς ἐέρση* (ε 467) legi. *Θῆλυς ἀυτμή* etiam Eust., p. 1160, 5, legit.

8 sqq. Nicanorem sequitur (v. ad p. 229, 20) ab Aristarcho (v. Friedl. l. c. p. 32) de figura *πρὸς τὸ σημαινόμενον* vocata non dissentientem. — Cf. Plut. l. c. cp. 45.

21 sqq. †A f. 249ᵃ ad Σ 515: *τὸ ἑφεσταότες πρὸς τὸ ἀνέρες. ἢ δύναται παραπλήσιόν τι τῷ Ἀλκμανικῷ πεπονθέναι σχήματι· ἔνθα μὲν εἰς Ἀχέροντα Πυριφλεγέθων* ⟨*πυρὶ φλεγέθον* cod.⟩ *τε ῥέουσι Κώκυτός θ', ἢ δέ κ' Ἄρης ἄρχωσι μάχης. διαφέρει δὲ τοῦ Ἀλκμανικοῦ, ᾗ ἐκεῖνο μὲν τοῖς κατ' ἀριθμὸν σχήμασιν ἐπιπίπτει, τοῦτο δὲ τοῖς παρὰ γένος, ὑπερβατῷ δὲ ἀμφότερα* ⟨*ἀμφότεροι* cod.⟩ *λύεται* ⟨in ras.⟩. Cf. postrema verba scholiorum B et Vict. ad p. 229, 20 collatorum, quae cum Parmenisci ratione male coaluerunt.

πεπονθέναι τὴν φράσιν τῷ λεγομένῳ Ἀλκμανικῷ σχήματι, ὅπερ ἐστὶ τοιοῦτον· ἔνθα μὲν εἰς Ἀχέροντα Πυριφλεγέθων τε ῥέουσι Κώκυτός τε (κ 513), εἰ δέ κ' Ἄρης ἄρχωσι μάχης ἢ Φοῖβος Ἀπόλλων (Υ 138). ὥσπερ γὰρ ἐν τούτοις ἐν μέσῳ κεῖται ὃ ἔδει ἐπάγεσθαι, οὕτω καὶ ἐπὶ τῶν νῦν ζητουμένων. εἰ γοῦν τὸ ἐφεσταότες ἐπαγάγωμεν τῷ μετὰ δ' ἀνέρες οὓς ἔχε γῆρας, οὐδ' ἂν ἔτι ζητοῖτο· μόνῳ δὲ τούτῳ διαφέρει τοῦ Ἀλκμανικοῦ, ᾗ ἐκεῖνο μὲν τοῖς παρ' ἀριθμὸν σχήμασιν ὑποπίπτει, τοῦτο δὲ τοῖς παρὰ γένος, ὑπερβατῷ δὲ ἀμφότερα λύεται.

515. ad v. 509 sqq., p. 229, 20 et p. 230, 21.

572. ad N 443.

591. 92. πολυθρύλητον ἐνθάδε τὸ ζήτημα, πῶς ὁ θεὸς τὸν ἄνθρωπον μιμεῖται. καὶ οἱ μὲν ψιλοῦσι τὸ οἷον, συνάπτοντες αὐτὸ τῷ ἴκελον, μιμητὴν τῶν ἔργων Ἡφαίστου ποιοῦντες τὸν Δαίδαλον, ἵν' ἢ· τούτῳ μόνον ὁ Δαίδαλος ἐποίησεν ὅμοιον χορόν, ὁ δὲ Ἥφαιστος δηλονότι πολλὰ τοιαῦτα εἰργάσατο. ἢ τάχα ἔξεστιν ἐκεῖνο φάσκειν, ὅτι ἐπεὶ πρώην διακεχωρισμένως ἐχόρευον ἄνδρες τε καὶ γυναῖκες, οἱ μετὰ Θησέως σωθέντες ἐκ τοῦ λαβυρίνθου ἡίθεοι παρθένοις ἀναμὶξ ἐχόρευσαν, ὅπερ ὁ θεὸς ἐμιμήσατο, οὐ τὴν τέχνην Δαιδάλου. ἴσως δὲ καὶ διδάσκει ὁ ποιητὴς μιμεῖσθαι τὰ χρηστά, εἰ καὶ ἐξ εὐτελῶν εἶεν. **B** f. 259ᵇ ad τῷ. **L** f. 410ᵃ. **Vict.** f. 358ᵇ.

609. διὰ τί μὴ πλείονα περὶ τοῦ θώρακος φράζει; φαμὲν ὅτι ἔφθη θώρηκα. **B** f. 259ᵇ ad

---

1 τ.ν V ὅπέρ ἐστι B V 2 ῥ...σι V¹, ῥέου in marg. V² 4 ἐν ..σω V¹, μέσω V² in marg. 5 ex ἡ corr. V² 6 ἐπ..άγη. τῶ V¹, ἐπαγάγης τῶ V² in marg. 7 .όνω V¹, μόνῳ V² in marg. ἢ B, ἢ V 8 ὑπερβατῶς V 13—16 καὶ οἱ μὲν — εἰργάσατο uni Vict. debentur, qui reliqua ita constituit: ἄμεινον δὲ ἐκεῖνο φάσκειν, ἐπεὶ πρώην — χορευόντων ἀνδρῶν καὶ γυναικῶν πρῶτοι οἱ μετὰ Θησέως κτλ. 18 συνθέντες L 20 ἦεν L

---

1 sqq. De locis figura Alcmanica explicandis cum Aristarcho consentit, v. Ariston. *T* 138.

6 sqq. †A *Σ* 515 (v. ad p. 230, 21).

13—16 E Nicanore hausta esse videntur, qui schol. A v. 591 rationes eorum, qui *τῷ ἴκελον οἷον* scribi iusserunt, refutat. Eo minus huc referre dubitavi, quod etiam ea quae sequuntur alteri explicationi a scholio Nicanoreo allatae respondent.

16 sqq. †Eust. *Σ*, p. 1166, 16 sqq. — Cf. Nicanor l. c. extr.: .... *καὶ τάχα ὅμοιόν τι εἶχεν ἡ κατασκευή, ὅτι ἐξ ἡθέων καὶ παρθένων, ἢ ὅτι ὀθόνας εἶχον καὶ στεφάνας.* Paullo aliter **B f. 259ᵇ ad *Ἀριάδνῃ* v. 592 (id. A v. 590 et schol. min. c. l. *ἐν δὲ χορὸν ποίκιλλε*): .... *ἐξελθὼν δὲ μετὰ τὸ νικῆσαι ὁ Θησεὺς μετὰ τῶν ἡιθέων καὶ παρθένων χορὸν τοιοῦτον ἔπλεκεν ἐν κύκλῳ τοῖς θεοῖς, ὁποία καὶ ἡ τοῦ λαβυρίνθου εἴσοδός τε καὶ ἔξοδος ἐγεγόνει, ἧς δὴ χορείας τὴν ἐμπειρίαν ὁ Δαίδαλος αὐτοῖς ὑποδείξας ἐποίησεν* ...., quae in scholio leguntur quod ad Porphyrium referri nequit.

21 sqq. Eust. *Σ*, p. 1167, 43 sqq., et schol. Vict. f. 359ᵃ (incipit: *ἔφθη ἐκφράσαι τὸν Ἀγ. θώρακα κτλ.*) collatis, dubitari potest an quaestionis forma extrinsecus sit addita.

ἐκφράσαι τὸν Ἀγαμέμνονος θώρακα (Λ 19 sqq.), ὃς καὶ αὐτὸς ἡφαιστότευκτος ἦν, καὶ νῦν οὐ φράζει, ὡς καὶ τὴν Πατρόκλου πυρὰν δεινολογήσας (Ψ 164 sqq.) τὴν Ἕκτορος παρέδραμεν.

Γ

A v. 83 c. l. Πηλείδη μὲν ἐγὼν ἐνδείξομαι.
L f. 412ᵇ.

40. Ἐζήτηται διὰ ποίαν αἰτίαν οὐ χρῆται κήρυκι Ἀχιλλεὺς πρὸς τὸ συγκαλέσαι τοὺς ὄχλους. ῥητέον οὖν ὅτι ἔθος ἐστὶν ἀρχαῖον αὐτό· οὕτως γοῦν καὶ ἐν τῇ Α ῥαψῳδίᾳ (54) αὐτὸς Ἀχιλλεὺς συγκαλεῖ. ἄλλως τε διὰ τὴν χαρὰν μετὰ σπουδῆς συνδεδραμήκασιν οὐδὲ τοὺς κήρυκας ἀναμείναντες.

*B f. 261ᵇ ad ἀσκελέως.
L f. 412ᵇ.
Cf. EQ α 68, *H.*

68. ἀντὶ τοῦ ἄγαν σκληρῶς· σκέλλειν γάρ ἐστι τὸ σκληροποιεῖν, καὶ ὁ σκελετὸς κατεσκληκὼς διὰ τὴν ἀσαρκίαν, καὶ Ἀσκληπιὸς διὰ στέρησιν μετὰ ἠπιότητος, ὁ διὰ ἰατρικῆς μὴ ἐῶν σκέλλεσθαι. οἱ δὲ ἀπέδωκαν ἀσκελέως ἀδιαλείπτως κατὰ μέμψιν· τὸ γὰρ ἀσκελές ἄβατον ἀπόρευτον.

Vat. ζητ. κδ'.
*B f. 261ᵇ ad φεύγων.
L f. 412ᵃ, *H.*

71 sqq. ἀλλά τιν' οἴω ἀσπασίως αὐτῶν γόνυ κάμψειν, ὅς κε φύγῃσι φεύγων ἐκ πολέμοιο. οἱ φεύγοντες τεταμένον ἔχουσι τὸ γόνυ, οἱ δὲ καθήμενοι κεκαμμένον. ἀσπασίως οὖν, φησί, καθεδεῖται τῶν φυγόντων τις ἐκ τοῦ πολέμου, ὃς καὶ ἀναπαύσει ἑαυτὸν καὶ τὰ σκέλη, ἐκ τοῦ συντόνου τῆς φυγῆς δρόμου καθίσας.

*B f. 261ᵇ ad ἑσταότος.
Vat. ζητ. κε'.

79 sqq. ἑσταότος μὲν καλὸν ἀκουέμεν οὐδὲ ἔοικεν
ὑββάλλειν· χαλεπὸν γὰρ ἐπιστάμενόν περ ἐόντα·

---

4 ἐζήτητο δὲ δι' ἣν αἰτ. (cf. infra ad h. v.) A 5 αὐτῷ A 9 τὸ ἀσκελέως τὸ ἄγαν σκληρόν· σκελλιᾶν γάρ κτλ. L 10 κατὰ στέρ. L 11 μετὰ om. BL; ins. e schol. Od. καὶ διὰ τῆς ἰατρ. L 14. 15 ἀλλά τιν' — πολέμοιο om. B; L ita inc.: εἰς τὸ ἀλλά τιν' οἴω ἀσπασίως αὐτῶν γόνυ κάμψειν ὅπως κε ⟨ὅς κε text.⟩ φύγῃσι δηίου ἐκ πολέμοιο ὑπ' ἔγχεος ἡμετέροιο 15 τεταμένον B 16 καθεδεῖταί τις τῶν φευγόντων BL 17 αὐτὸν B; ὃς καὶ ἀνασώσει αὐτόν, rel. om., L 19 οὐδ' V 20 ὑβάλλειν B, ὑββάλειν V

---

4 sqq. Omissis quae in cod. A antecedunt (de *ἐνδείξομαι*) ad v. 83 pertinentia recte ad h. l. Bekker retulit. Etiam in L scholiis ad v. 79 relatis subiunctum est, sed in schol. min. recte c. l. ὁ *βῆ* (v. 40) legitur.

9—13 Dubitanter huc retuli; vix enim recte se habere videtur *Πορφύριος* illud, quod schol. EQ apud Dindorfium claudit. Contenderis, inde ortum esse, quod in codice Iliadis, unde propter *ἀσκελέως*, quod sub finem eius legitur, scholium transcriptum esse videtur, eodem modo quo in cod. B factum est a scholio Porphyriano ad v. 72 relato, quod nos quoque ei subiunximus, exciperetur, ita ut nomen Porphyrii priori perperam adhaereret. Scholium, utcunque de eius origine statuendum est, non solum ab Eust. α, p. 1392, 25 sqq., sed etiam, additis rebus quibusdam futtilissimis, ab Et. M., 154, 38, exscriptum est. — In Vict. (f. 361ᵇ) brevissimum legitur scholium: *ἀσκελέως*] *ἄγαν σκληρῶς.*

14 sqq. Cf. Eust. *T*, p. 1171, 45: *καὶ σημείωσαι ὅτι Ὅμηρος μὲν τὸ γόνυ κάμψειν ἐπὶ τοῦ καθεσθῆναι λέγει πρὸς διαφορὰν τοῦ ἵστασθαι, οἱ δὲ μετ' Ὅμηρον ἐπὶ ἱκεσίας καὶ προσκυνήσεως τίθενται κτλ.*

18 † Vict. f. 361ᵇ: *γόνυ κάμψειν*] *διὰ τὴν σύντονον φυγήν.*

ἀνδρῶν δ' ἐν πολλῷ ὁμάδῳ πῶς κέν τις ἀκούσαι
ἢ εἴποι; βλάβεται δὲ λιγύς περ ἐὼν ἀγορητής.

* * * * „Ἀρίσταρχος οὖν ᾠήθη παραίτησιν εἶναι τὸν λόγον, ὡς διὰ τὸ τετρῶσθαι τοῦ Ἀγαμέμνονος συγχωρεῖν ἀξιοῦντος, εἰ καθήμενος λέγει. καί φησι· διὰ τοῦτο ἐνέθηκε τὸ αὐτόθεν ἐξ ἕδρης οὐδ' ἐν μέσσοισιν ἀναστάς (v. 77). ἄτοπος δὲ ἡ παραίτησις· οὐ γὰρ τὸν πόδα ἀλλὰ τὴν χεῖρα τέτρωται, καὶ τὴν χεῖρα δὲ οὕτως ἔρρωτο, ὥστε ὀλίγον ὕστερον αὐτὸς τὸν κάπρον ἀποσφάττει. ἐὰν προσκείμενος δὲ ὁ στίχος ᾖ τὸ αὐτόθεν ἐξ ἕδρης, ἀκουσόμεθα ἐκ τοῦ τῶν ἀριστέων συνεδρίου, ὥστ' ἐν ἐκείνοις ὄντα λέγειν αὐτὸν καὶ οὐκ ἐν μέσῳ τῷ πλήθει. Ἀπολλώνιος μὲν οὖν ὁ διδάσκαλος ἡμῶν, καὶ αὐτὸς συγκαταθέ-

1 πολλ. .μάδῳ V ἀκούσει V 2 εἴπῃ V ἀγορητ.ς V 3 lacuna in codd. non comparet, v. infra ad h. v. οὖν om. V ἔχειν τὸν λ. V 4 ἀγαμέμ.ονος V συγχωρεῖν, post ρ ras. un. litt., B 5 λέγοι V φασι coni. Kamm., p. 102 αὐ..θεν V, τό in marg. V² 5. 6 ἐξ — ἐν μέσοισιν (sic) ἀνα humiditate deleta rescrps. V² 7. 8 post ἀλλὰ aliquot verba, quae dicas fuisse τὴν χεῖρα τέτρωται καί, in cod. V tinctura adhibita deleta; in sequent. τὴν χεῖρα, quae humiditate deleta fuerunt, rescrps. V²; sequuntur verba δὲ οὕτως τέτρωται ὥστε μικρὸν ὕστερον αὐτὸς ἀποσφάττει τὸν ..προν ⟨κά supra scrps. V²⟩ 8 ἐα. .ροσκείμενος V, κἂν supra scrps. V² 8. 9 κἂν προσκείμενον δὲ τῷ στίχῳ ἦν B 10. 11 ἐν μέσω [τῷ] πλήθει V

3 sqq. Aristarchi sententia iisdem fere verbis et affertur et refutatur a schol. A (II, p. 184, 14—21 D.), cui in fine additum *οὕτως ὁ Κοτυαεύς*. Quem non ipsum h. l. a Porphyrio induci, sed Dionysii Sidonii verbis usum, inde sequitur quod illa *ἐκ τοῦ τῶν ἀριστέων συνεδρίου — ἐν μέσῳ τῷ πλήθει* (lin. 9—11) ab Apollonio v. *ὑββάλλειν* ad Dionysium illum referuntur: ... *οἱ δὲ περὶ τὸν Σιδώνιον ἑστῶτα μὲν λέγουσι τὸν Ἀγαμέμνονα παρὰ τῇ καθέδρᾳ οὐδ' ἐν μέσοις ἑστῶτα*. Accedit quod ipsum Cotyaensem Porph., p. 234, 10, ita affert, ut quae ibi leguntur demum illius esse existimare videatur. Qua in re Porphyrium errare — eadem enim illa de *ὑποβάλλειν* per verbum *ὑποκρούειν* explicando eidem Sidonio Apollon. l. c. tribuit — ad eam rem de qua hic agitur haud magni momenti est. Cf. quae pluribus olim de Apollonio h. l. commemorato, Dionysii Sidonii praeceptore, in Fleckeis. Annal. 1866, p. 232 sqq., disputavi, a quibus nunc ita dissentio, ut propter verba illa *Ἀρίσταρχος οὖν κτλ.* lacunam, cuius loco Sidonii nomen a Cotyaensi commemoratum interciderit, initio scholii quam post *καί φησι* (lin. 5) statuere malim. — Ceterum de Aristarchi ratione, quam Eust. T, p. 1172, 22, prave intellexit, consentit Ariston. v. 77.

9 Cf. B f. 261ᵇ ad *αὐτόθεν* v. 77 (id. fere Vict. f. 361ᵇ): .... *ἢ οὐ προελθὼν εἰς μέσην τὴν ἐκκλησίαν, ἵν' ᾖ· ἀναστὰς ἐδημηγόρει, οὐκ* ⟨om. B⟩ *ἐν μέσοις, ἀλλ' ἐκ τῆς ἕδρας τῶν βασιλέων* ⟨quae in B sequitur Epaphroditi interpretatio in Vict. praecedit alii lemmati adscripta⟩. Simil. Eust. p. 1172, 2.

11 De Apollonio v. Fleckeis. Ann. l. c.; ubi quod scripsi, Eustath., p. 1171 extr., Apollonii sententiam male reddere, errori debetur; neque enim huius sed Aristarchi sententiam eum afferre schol. A v. 80 docet (in Apollon. lex. v. *ὑββάλλειν* Archiae nomen ex Aristarcho corruptum esse videtur, quamquam in Crameri A. P. IV, p. 179, 30, ubi variae v. *Ἀργειφόντης* interpretationes afferuntur, uterque nominatur).

μενος ὅτι ἕστηκεν ὁ Ἀγαμέμνων, παραιτεῖται, φησὶ, τὸν ὑποβολέα ὡς ἂν ἐκ τοῦ αὐτοσχεδίου λέγειν μέλλων· ἐμοῦ γάρ φησιν ἀκούσατε καὶ μηδείς μοι ὑποβαλλέτω ἵν' εἴπω· χαλεπὸν γὰρ τὸ ὑποβαλλόντων ἀκούειν τῷ ἐπιστήμονι τοῦ λέγειν· καὶ πῶς γὰρ ἄν τις ἐν πολλῷ ὁμάδῳ ἀκούσαι τοῦ ὑποβάλλοντος ἢ ὁ ἀκούσας εἴποι; ὥστε καὶ λιγὺν 5 ὄντα δημηγόρον καὶ δύναμιν ἔχοντα τοῦ αὐτοσχεδιάζειν βλάπτεσθαι ἐμποδιζόμενον τῷ ἐξ ὑποβολῆς λέγειν ἐν πολλῷ θορύβῳ. εἶχε δ' ἄν τινα λόγον ἡ ἐξήγησις, εἰ ἐγίνωσκεν Ὅμηρος τὸ τοιοῦτον εἶδος τῆς δημηγορίας, λέγω δὲ τὸ ἐξ ἀναγνώσεως καὶ γραφῆς ὑποβαλλόμενον." Ἀλέξανδρος δὲ ὁ Κοτυαεύς φησι λέγων· „καλῶς ἔχει τὸ ἑστῶτος 10 τοῦ δημηγοροῦντος ἀκούειν καὶ μὴ ὑποκρούειν αὐτὸν καὶ ἐμποδίζειν (τοῦτο γὰρ σημαίνει τὸ ὑββάλλειν)· χαλεπὸν γὰρ καὶ τῷ πάνυ δεινῷ ἐν ταραχῇ εἰπεῖν. τὸ γὰρ χαλεπὸν ἐπιστάμενόν περ ἐόντα κατὰ Ἀττικὴν συνήθειαν πλεονάζει τὸ ἐόντα· ἐκείνοις γὰρ ἦν σύνηθες λέγειν μὴ πρόδοὺς ἡμᾶς γένῃ (Soph. Ai. 588) ἀντὶ τοῦ μὴ προδῷς, καὶ 15 παίζεις ἔχων ἀντὶ τοῦ διαπαίζεις, καὶ ἐνταῦθα χαλεπὸν γὰρ ἐπιστάμενόν περ ἐόντα ἀντὶ τοῦ τὸν ἐπιστάμενον θορυβεῖσθαι χαλεπόν, ὡς καὶ τοῦ ἐπιστήμονος ῥήτορος ἐν θορύβῳ χαλεπῶς δημηγοροῦντος." ἐμοὶ δὲ δοκεῖ δύνασθαί τινα οὕτως ἀποδιδόναι τὴν διάνοιαν· ἐκκλησίας ἀθροισθείσης ὁ Ἀγαμέμνων παύει προοιμιαζόμενος τὸν 20

1 παραιτεῖσθαι codd.; corr. Bkk. 3 ὑποβαλέτω, alter. λ supra scrpt., B [χαλε]πὸν V, χαλε in marg. V² 5 ἀκούσειε V εἴπῃ V 6 αὐτοσχ...άζειν V, εδιά supra scrpt. V² 8 τ[ιν]α V, τινα in marg. V² 10 φησὶ καλῶς ἔχειν V 12 συμβαίνει pro σημαίνει V ὑβάλλειν B, ὑββάλειν V τῷ ⟨ε τὸ corr. V¹⟩ πάνυ δεινὸν V 13—19 τὸ γὰρ — δημηγοροῦντος om. V, quem secutus Kamm., p. 103, uncinis inclusit 16 διαπαίζων ἔχεις pro παίζεις ἔχων coni. Kamm. 16. 17 χαλεπόν περ B; corr. Bkk. 19 δύνασθαι καὶ οὕτως V

10sqq. †L f. 412ᵇ (initium v. ad lin. 20sqq.): .... *ὁ δὲ Κοτυαεὺς ⟨κοττυαεὺς* cod.⟩ *Ἀλέξανδρος λέγει· καλῶς ἔχει τὸ ἑστῶτα δημηγοροῦντα ἀκούειν, χαλεπὸν δὲ καὶ τῷ πάνυ δεινῷ ἐν ταραχῇ εἰπεῖν* (sequitur s. nov. lemm.: *εἰδὼς ὁ Ἀγ. ὅτι μέλλει θορυβεῖσθαι κτλ.* = **B v. 79, p. 208, 17 Dind.). E Leid. Paris. 2679 (An. Par. III, p. 25, 3) petitum est. Eadem, quae ad eundem Cotyaensem schol. A v. 79 refert, Sidonio Apollon. v. *ὑββάλλειν* tribuit, cf. supra ad p. 233, 3 sqq.

20 sqq. † L f. 412ᵇ T 79 sqq.: *ἑσταῶτος μὲν καλὸν ἀκουέμεν οὐδὲ ἔοικεν ὑβάλλειν — ἀγορητής* ⟨ut in textu edidimus⟩. *ἐκκλησίας ἀθροισθείσης ὁ Ἀγαμέμνων παύει προοιμιαζόμενος τὸν θόρυβον· λέγει γὰρ ὡς ἡ ἐκκλησία οὐ πρὸς αὐτὴν ἔχει τὴν ἀπόβλεψιν οὐδὲ δεῖ νῦν ὑββάλειν ἢ ἀποκρούειν καὶ ἐμποδίζειν ζητοῦντας μαθεῖν τίνος ἕνεκεν συνεληλύθεσαν* ⟨*—θησαν* cod.⟩· *χαλεπὸν γὰρ θορυβεῖν τὸν ἐπιστάμενον τὰ ὄντα. τίνα δέ ἐστι τὰ ὄντα πάντες που ἐγίνωσκον, ὅτι ἐμήνισαν κτλ. — ἡ σύνοδος διὰ τοῦτο.* [*τὸ μὲν οὖν ἐπιστάμενόν περ ἐόντα τὰ ὄντα καὶ τὰ ἐνεστῶτα λέγει τὸν καθ' ἕκαστον αὐτῶν ἐπίστασθαι.*] *χαλεπὸν οὖν καὶ δεινὸν πρᾶγμά ἐστι τὸν ἐπιστάμενον τὰ ἐόντα καὶ τὰ ἐνεστῶτα θορυβεῖν, πυνθανόμενον ὡς ἀγνοοῦντα ἢ ζητοῦντα περὶ ὧν οἶδεν ἀκούειν. καὶ ὅτι τοῦτο νοεῖ δηλοῖ δι' ὧν ἐπάγει· Πηλείδῃ μὲν ἐγὼν ἐνδείξομαι, αὐτὰρ οἱ ἄλλοι σύνθεσθ' Ἀργεῖοι, ὅτι ἡ ἀπότασις τοῦ λόγου μου πρὸς τὸν Ἀχιλλέα ἐστίν, οὐ πρὸς ὑμᾶς τοὺς εἰδότας διὰ τί συνεληλύθαμεν.*

θόρυβον, λέγων ὡς ἡ ἐκκλησία οὐ πρὸς αὐτοὺς ἔχει τὴν ἀπόταειν, οὐδὲ δεῖ νῦν ὑποκρούειν ζητοῦντας μαθεῖν τίνος ἕνεκα συνεληλύθασιν· χαλεπὸν γὰρ θορυβεῖν τὸν ἐπιστάμενον τὰ ὄντα. τίνα δὲ ἦν τὰ ὄντα πάντες που ἐγίνωσκον, ὅτι ἐμήνισαν πρὸς ἀλλήλους Ἀχιλλεὺς καὶ Ἀγαμέμνων, καὶ ὅτι νῦν κατηλλάγησαν, καὶ ὅτι ἡ σύνοδος διὰ τοῦτο. [τὸ οὖν ἐπιστάμενόν περ ἐόντα τὰ ὄντα λέγει καὶ ἐνεστῶτα τὸν καθ' ἕκαστον αὐτῶν ἐπίστασθαι, ὡς ἔφη που· ὃς ἤδη τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα (A 70)] χαλεπὸν οὖν καὶ δεινὸν πρᾶγμά ἐστι τὸ ἐπιστάμενον τὰ ὄντα καὶ ἐνεστηκότα θορυβεῖν, πυνθανόμενον ὡς ἀγνοοῦντα ἢ ζητοῦντα περὶ ὧν οἶδεν ἀκούειν. καὶ ὅτι τοῦτο νοεῖ, δῆλον δι' ὧν ἐπάγει·

Πηλείδῃ μὲν ἐγὼν ἐνδείξομαι, αὐτὰρ οἱ ἄλλοι
σύνθεσθ' Ἀργεῖοι, ἠμὲν νέοι ἠδὲ γέροντες

(T 83. 4). λέγει γὰρ ὅτι ἡ ἀπότασίς μοι τοῦ λόγου πρὸς τὸν Ἀχιλλέα ἐστίν, οὐ πρὸς ὑμᾶς τοὺς εἰδότας δι' ἃ συνεληλύθαμεν. ἔστιν οὖν ὁ νοῦς· μὴ θορυβεῖτε, ὦ ἄνδρες, ὑποκρούοντες διὰ τί συνεληλύθαμεν· ἐπίστασθε γὰρ τὰ πάντα, καὶ ὁ λόγος μοι τὰ νῦν οὐ πρὸς ὑμᾶς ἀλλὰ πρὸς τὸν Ἀχιλλέα ἔχει τὴν ἀπότασιν· χαλεπὸν γὰρ τοὺς εἰδότας τὴν αἰτίαν τῆς συνόδου ὡς μὴ εἰδότας θορυβεῖν καὶ διὰ τοῦτο ἐμποδίζειν καὶ τῷ λέγοντι καὶ τῷ ἀκούοντι, πρὸς ὃν ὁ λόγος ὁ παρὼν ἕστηκε. πολλὰ δὲ τοιαῦτα καὶ παρὰ τοῖς ῥήτορσι προοίμια ἐπιγράφεται πρὸς τοὺς θορύβους.

83. v. 40.

100. ad v. 108.

108. διὰ τί ἡ Ἥρα ὀμόσαι προάγει τὸν Δία; ἢ δῆλον ὡς οὐ ποιοῦντα ἃ ἂν φῇ. εἰ δὲ τοῦτο, διὰ τί οὐ κατανεῦσαι ἀλλὰ καὶ ὀμόσαι ἠξίωσεν, ὡς καὶ ψευδομένου, ἂν μὴ ὀμόσῃ; ὁ δὲ ποιητής φησιν ἀληθεύειν ὅ τι κεν κεφαλῇ κατανεύσῃ (A 527). τὸ μὲν οὖν ὅλον μυθῶδες· καὶ

A f. 253ᵇ c. l. εἰ δ' ἄγε νῦν μοι ὄμοσσον.

---

2 μαθεῖν om. V 5—8 τὸ οὖν — ἐόντα, quae a V absunt, recte Kamm. uncinis inclusit 8. 9 πρᾶγμά ἐστι om. V 9 τὸν ἐπιπάμενον(?) V 9. 10 πυνθ. καὶ ἀγνοοῦντα B 11 οἷς ἐπάγει V 13 ἀργείων V 14 μὲν pro μοι B 16 ἀκούοντες pro ὑποκρ. coni. Vill. 17 τὰ ante πάντα om. V ὁ λόγος μου V ἡμᾶς V 18 τὸν om. V 20 [δ]ν V 21 δὲ om. V ἐπι.ράφεται V, γ in marg. V² 25 προάγει V. Rose, Ar. ps. p. 168; πρὸς cod. 27 φασὶν cod.; corr. Vill.

διὸ χαλεπὸν (cf. supr. lin. 18) *τοὺς εἰδότας τὴν αἰτίαν τῆς συνόδου ὡς μὴ εἰδότας θορυβεῖν καὶ διὰ τοῦτο ἐμποδίζειν καὶ τῷ λέγοντι καὶ τῷ ἀκούοντι πρὸς ὃ λέγων ὁ παρὼν ἕστηκε. πολλὰ τοιαῦτα καὶ τοῖς ῥήτορσι προοίμια ἐπιγράφει πρὸς τοὺς θορύβους. ὁ δὲ Κοτυαεὺς Ἀλ.* (v. ad p. 234, 10). Pars eorum in schol. Paris. 2679 transcripta est (An. Par. III, p. 24, 28).

25 sqq. † B f. 262ᵃ ad *ὄμοσσον* v. 108 (id. L f. 414ᵃ, simil. Vict. f. 363ᵃ): *διὰ τί μὴ νεῦσαι αὐτὸν κελεύει; ἢ τάχα φοβουμένη μὴ μετατεθῇ ἐπὶ τὸ ἰσχυρότερον ἔρχεται*, cf. † Eust. T, p. 1175, 30.

28 sqq. † B f. 262ᵃ ad *εὐχόμενος* v. 100 (id. Vict. f. 363ᵃ): .... *πῶς δὲ τὰ παρὰ θεοῖς οἶδε γινόμενα; ῥητέον δὲ ὅτι κοινὸν ὄντα τὸν μῦθον παρείληφεν.*

γὰρ οὐδ' ἀφ' ἑαυτοῦ ταῦτά φηcιν Ὅμηρος, οὐδὲ γινόμενα εἰcάγει, ἀλλ' ὡc διαδεδομένων περὶ τὴν Ἡρακλέους γένεcιν μέμνηται. ῥητέον δὲ ὅτι καὶ ὁ μῦθος εἰκότωc εἰcάγει τὴν Ἥραν ὁρκοῦcαν τὸν Δία· πάντες γὰρ περὶ ὧν ἂν φοβῶνται μὴ ἄλλωc ἀποβῇ, πολὺ τῷ ἀcφαλεῖ προέχειν πειρῶνται· διὸ καὶ ἡ Ἥρα, ἅτε οὐ περὶ μικρῶν ἀγωνιζομένη, καὶ τὸν Δία εἰδυῖα ὅτι αἰcθόμενος τὸν Ἡρακλέα δουλεύοντα ὑπεραγανακτήcει, τῇ ἰcχυροτάτῃ ἀνάγκῃ κατέλαβεν αὐτόν. οὕτωc Ἀριcτοτέληc (fr. 157 edit. Acad. Bor.).

183. C 100.

*B f. 264ᵇ ad φυλόπιδοc. L f. 416ᵇ, *H*.

221 sqq. Ζητοῦcι τίνα νοῦν ἔχει τὰ ἔπη ταῦτα ἠνιγμένα ὑπὸ τοῦ Ὀδυccέωc·

αἶψά τε φυλόπιδοc πέλεται κόροc ἀνθρώποιcιν,
ἥcτε πλείcτην μὲν καλάμην χθονὶ χαλκὸc ἔχευεν,
ἄμητοc δ' ὀλίγιcτοc, ἐπὴν κλίνῃcι τάλαντα
Ζεύc, ὅcτ' ἀνθρώπων ταμίηc πολέμοιο τέτυκται

(v. 221 sqq.); ἐπεὶ ἡ ἄμητοc λέξιc cημαίνει καὶ τὸν χρόνον ἐν ᾧ ἀμῶcι, τουτέcτι τὸν θερισμόν, cημαίνει δὲ καὶ τὸν ἀμώμενον καρπόν, καθ' ἑκάτερα τῶν δύο cημαινομένων ἐκδεξάμενοι πειραθῶμεν τῶν δύο caφῆ ποιῆcαι τὴν διάνοιαν. ἔcται τοίνυν ἐκ τοῦ cημαινομένου δῆλον, ὡc καλάμη μὲν λέγεται τὸ τῶν ἀποθνηcκόντων πλῆθοc, ἄμητοc δὲ καὶ καρπὸc οἱ cωζόμενοι. φηcὶν οὖν, ταχέωc κόρον γίνεcθαι ἐκείνηc τῆc μάχηc, ἐν ᾗ πολὺc μὲν ὁ πίπτων, ὀλίγοι δὲ οἱ cωζόμενοι, ἐξ οὗ δηλοῦcθαι, ὅτι τῆc cφοδροτάτηc μάχηc ταχὺc ὁ κόροc, καὶ μάλιcτα ὅταν τύχῃ τιc διὰ λιμὸν ἠcθενηκώc· ἐν ᾧ δ' ἂν οὖν πολέμῳ, κλίναντοc τοῦ Διὸc τὴν νίκην καὶ ἑτερορρεποῦc τῆc μάχηc γεγονυίαc, πολὺc μὲν ᾗ ὁ ἀναιρούμενοc, ὀλίγοc δὲ ὁ περιcωζόμενοc, κόροc ἐνταῦθα ταχέωc γίνεται τῶν μὲν καλάμην πολλὴν ἐκλεγόντων, ἄμητον δὲ καὶ καρπὸν ὀλίγον ἐώντων. τὴν δὲ καλάμην καὶ τὸν καρπὸν ἐπὶ τῶν τραπέντων ἀκουcόμεθα, ὧν πολὺc μὲν ὁ ἀποθνήcκων, ὃc τέτακται ἐπὶ τῆc καλάμηc, ὀλίγοc δὲ ὁ διαcωζόμενοc, ὃc τέτακται ἐπὶ τοῦ καρποῦ· τὸν δὲ κόρον ἴcχειν ταχὺν τοὺc ταῦτα δρῶνταc καὶ νικῶνταc, οἳ τοῖc ἀμηταῖc εἶεν ἂν ἀνάλογοι. οὗτοι ἄρα δὴ ἐπὶ τῶν αὐτῶν τὸ ἄμητοc ὀλίγιcτοc ἀκουcτέον· οὐκέτι γὰρ ἑτερορρεπὴc ἔcται ἡ μάχη, οὐδ' οἱ μὲν νικῶντεc

6 ηδυῖα cod. εcθόμενοc cod. 16 post λέξιc (compend. scrpt.) ras. unius litt. B 20 ἀμητὸc δὲ εὔκαρποc L 21 post cωζόμενοι L perperam ins.: ἀντὶ τοῦ καίειν κτλ. (= schol. B v. 228), tum φηcὶν οὖν κτλ. lin. 21 23 ὁ μόροc L 24 ἐκκλίναντοc L 25 ἑτεροροεποῦc BL 27 ἀμητὸν L(?) 28 ἐόντων L δὲ, quod L om., scholio B postea add. esse videtur 31. 32 αἳ τοῖc ἀμητοῖc ἂν εἶεν ἀν. L 32 οὗτοι conieci; οὕτωc B. οὔτ' L ἀμητὸc L(?) 33 ἑτερορρεπὴc, τερ in ras., B

10 sqq. Usus hoc esse scholio videtur Eust. *T*, p. 1181, 30 sqq., qui utrum e Porphyrio an aliunde ea hauserit, quae de *ἄμητος* et *ἀμητός* distinguendis recte attulit, non diiudico. — Codici Paris. 2679 nonnulla (A. P. III, p. 25) Arsenius adscripsit.

οἱ δὲ ἡττώμενοι, ἀλλ' ἐπ' ἴcης ἐξ ἀμφοῖν πολλὴ μὲν ἡ καλάμη ὀλίγος δὲ ὁ καρπός, καὶ οἱ ἀμῶντες ζητηθήcονται.

κἂν ἄμητον δὲ ἐπὶ τοῦ θερισμοῦ ἀκούcωμεν καὶ τοῦ χρόνου καθ' ὃν ἀμῶcιν, ἔcται μὲν ἄμητος ἡ πρώτη τῶν cτρατοπέδων cυμβολὴ πρὸ τῆς τῶν ἑτέρων τροπῆς, πλείcτη δὲ ἡ καλάμη τὸ πλῆθος τὸ μετὰ τὴν τροπὴν τῶν πιπτόντων. λογιζόμενος οὖν ὁ Ὀδυccεὺς, ὡς οὐκ ἂν ὑποcταῖεν οἱ Τρῶες τὴν Ἀχιλλέως cυμβολὴν, τραπήcονται δὲ εὐθύς, πολὺν τὸν κάματον ἔcεcθαί φηcι τοῖς διώκουcιν ἅμα καὶ παίουcι καὶ φονεύουcι, καὶ κόρον αὐτίκα λήψεcθαι νήcτειc ὄντας. ἐνδείξαcθαι δὲ ταῦτα μᾶλλον καὶ αἰνίξαcθαι βούλεται ἢ φανερῶς λέγων δόξαν κολακείας ἀπενέγκαcθαι. λέγει οὖν· ἐν ὀλίγῳ χρόνῳ τροπῆς γενομένης τῶν πολεμίων, πολλῶν ἀναιρουμένων ἐκ πρώτης καὶ βραχείας τῆς cυμβολῆς, αἶψα κόρος ἡμῖν γίνεται, ἐὰν μὴ τύχωμεν τὸν μέλλοντα κάματον διὰ τῆς τροφῆς προανακτηcάμενοι. πεποίηται δὲ τὴν ἀλληγορίαν ὁ ποιητὴς ἐκ τῆς παραβολῆς ἐκείνης·

οἱ δ' ὥcτ' ἀμητῆρεc ἐναντίοι ἀλλήλοιcιν
ὄγμον ἐλαύνωcιν ἀνδρὸc μάκαροc κατ' ἄρουραν
πυρῶν ἢ κριθῶν, τὰ δὲ δράγματα ταρφέα πίπτει

(Λ 67—69), εἶτ' ἀνταποδίδωcιν·

ὣc Τρῶεc καὶ Ἀχαιοὶ ἐπ' ἀλλήλοιcι θορόντεc
δῄουν, οὐδ' ἕτεροι μνώοντ' ὀλοοῖο φόβοιο

(Λ 70. 71). ἀλλ' οὗτοι μὲν τὸν ἄμητον παρέτειναν ἰcόπαλοι ὄντεc· ἐφ' ἧc δ' ἂν μάχης τροπὴ γένηται ἐκ μικρᾶc cυμβολῆc καὶ ὀλίγου ἀμήτου, ταχὺc ὁ κόροc τοῖc ἀναιροῦcι καὶ τὴν καλάμην πολλὴν ποιοῦcιν, εἰ μὴ τύχωcι τὴν ἰcχὺν διὰ τῆς τροφῆς αὐτάρκη παραcκευάcαντεc. μήποτε δὲ ὁ ἄμητος οὐ τὴν ἐπικαρπίαν ἀλλὰ τὸν χρόνον τῆς ἐνεργείας δηλοῖ· αὐτὸc γὰρ ὁ Ὀδυccεὺc πρὸc τὸν Ἀχιλλέα ταῦτα προεῖπεν·

οὐ γὰρ ἀνὴρ πρόπαν ἦμαρ ἐc ἠέλιον καταδύντα
ἄκμηνοc cίτοιο δυνήcεται ἄντα μάχεcθαι·
εἴπερ γὰρ θυμῷ γε μενοινάᾳ πολεμίζειν,
ἀλλά τε λάθρῃ γυῖα βαρύνεται, ἠδὲ κιχάνει
δίψα τε καὶ λιμόc, βλάβεται δέ τε γούνατ' ἰόντοc.
ὃc δέ κ' ἀνὴρ οἴνοιο κορεccάμενοc καὶ ἐδωδῆc
ἀνδράcι δυcμενέεccι πανημέριοc πολεμίζῃ,
θαρcαλέον νύ οἱ ἦτορ ἐνὶ φρεcὶν οὐδέ τι γυῖα
πρὶν κάμνει, πρὶν πάνταc ἐρωήcαι πολέμοιο

5 τρόπων L ἡ om. L 9 νῆcτιc B, νήcτιc L 10 βουλεύεται codd.; corr. Vill. 10 λέγει L 12 ἐκ τῆc πρ. καὶ βρ. cυμβ. L 14 προcανακτηcάμενοι codd.; corr. Dind. τὴν ἀλλοτρίαν L 17 post h. v. L scholia nonnulla ad v. 268, 267, 258 pertinentia inserit, tum inde a πυρῶν ἢ κριθῶν novo scholio pergit 21 οἱ δ' ἕτεροι B 25 προcκευάcαντεc L; legendum videtur προπαραcκευάcαντεc 26 ἐπικαρ, supra scrpt. π', B 32 τε om. codd. 33 κορεcάμενοc L 34 πολεμίζει B, πολεμίζ L 35 ἦτορ, acc. in ras., B τι om. codd.

(T 162—70). ὀλίγος οὖν ἄμητος καὶ ὁ χρόνος ὁ τοῦ ἀμᾶν γίνεται καὶ τοῦ πλείστην καλάμην ἔχειν καὶ πολλοὺς ἀναιρεῖν, τροπὴν τοῦ Διὸς ἐμβαλόντος τοῖς πολεμίοις, ἐὰν μὴ τύχωσιν οἱ ἀναιροῦντες τροφῆς μετειληχότες· ἵν' ᾖ ὁ λόγος· ἐν ᾗ δ' ἂν μάχῃ ἐν ὀλίγῳ χρόνῳ πολὺς ᾖ ὁ ἀναιρούμενος τροπῆς γενομένης, εὐθέως ἐν ταύτῃ ὁ κόρος· διὸ δεῖ ἰσχύειν τοὺς βουλομένους ἐπὶ πλέον τυχεῖν τῆς νίκης.

B f. 266ᵇ ad Ἀτρείδα. L f. 418ᵇ. Vict. f. 369ᵇ. 310 sqq. .... πῶς δὲ Αἴας συγγενὴς ὢν οὐ συμπάρεστιν; ὀργίζεται διὰ τὴν πρεσβείαν· βαρύμηνις γάρ. καὶ πῶς τὸν ἐπιτάφιον ἀγωνίζεται; ἀρετῆς χάριν καὶ φιλίας τοῦ ἡπιωτάτου Πατρόκλου.

L f. 420ᵃ, *H.* 386. τὰ ὅπλα, φησί, κοῦφα ἐγένοντο ὡς πτερὰ καὶ ἦρε καὶ ἐκούφιζε τὸν Ἀχιλλέα, ὡς τοὺς ὄρνιθας τὰ πτερά· τὸ γὰρ ἄειρεν ἐπὶ τοῦ ἐκούφιζεν· Νέστωρ δ' ὁ γέρων ἀμογητὶ ἄειρεν (Λ 637), ἤ μ' ἀνάειρεν ἢ ἐγώ σέ (Ψ 724). τετόλμηται γοῦν ὁ λόγος, ὡς τῶν ὅπλων βασταζόντων τὸν Ἀχιλλέα, οὐ βασταζομένων. τινὲς δέ φασιν ὅτι ἐμετεώριζεν αὐτὸν ὁ κόσμος καὶ γαυριᾶν ⟨γαβριᾶν cod.⟩ ἐποίει. ἢ τάχα ἡ συμμετρία τῶν ὅπλων καὶ κουφότητα ἐνεποίει, ὡς μὴ δοκεῖν αὐτὸν ταῦτα φέρειν, ἀλλ' αὐτὰ ⟨αὐτὸν cod.⟩ τοῦτον. εἰ δὲ μείζονα ἦν, βαρύτερα ἂν ὑπῆρχε. καὶ τὰ πτερὰ πολλὴν ἁρμονίαν ἔχει. ὁ δὲ λόγος ὑπερβολή.

*B f. 268ᵃ ad ἐπίσταται. L f. 419ᵇ, *H.* 389. τὸ ἀλλά μιν οἶος ἐπίστατο πῆλαι Ἀχιλλεύς ἐξηγοῦνται ἀντὶ τοῦ ἠδύνατο· προειπὼν γάρ φησι· τὸ μὲν οὐ δύνατ' ἄλλος Ἀχαιῶν πάλλειν. πλανῶνται δέ· τῇ γὰρ ἐπιστήμῃ καὶ τὴν δύναμιν προσάπτει, ὥς πού φησιν·

ἐπεὶ οὐδ' ἐμὲ νήιδά γ' οὕτως
ἔλπομαι ἐν Σαλαμῖνι γενέσθαι τε τραφέμεν τε

(H 198) καὶ

φῶθ' Ἡρακλῆα μεγάλων ἐπίστορα ἔργων

(φ 26), τουτέστιν ἐπιγνώμονα καὶ ἐπιστήμονα, ὡς τὸ

ἵστορα δ' Ἀτρείδην Ἀγαμέμνονα θείομεν ἄμφω

(Ψ 486),

20 πᾶλαι L ἐξηγεῖται L 24 ἐπεὶ δὲ οὐδ' ἐμὲ L 25 γενέσθαι τι L

10—19 Quaestio, cuius initium melius servavit Eust., p. 1189, 37 (*τῷ δὲ καίτοι γε βαρείας ὕλης ὄντα ὅμως εὐτε, ἤγουν καθάπερ, πτερὰ ἐγίγνετο*) in cod. B peiore ratione tradita est. Alteram enim eius partem (lin. 14 sqq.) manus prior (f. 268ᵃ ad *ἄειρε*) cum margini appinxisset, altera deinde manus, signo scholii finiti eraso, priora illa verba (lin. 10—14) subiunxit. Incipit igitur schol. B: *τινές φασιν ὅτι κτλ.* — *ὑπερβολή*, quibus *B addidit: *τὰ ὅπλα γοῦν, φησί, κοῦφα γεγόνασιν κτλ.* Praeterea annotandum, lin. 13 ibi legi *ἀνάειρ'*, 17 *αὐτὸν τοῦτον* (ut L), 18 *καὶ τὰ πτερὰ δέ.* — E Leid. transcripsisse videtur Arsenius, An. Par. III, p. 26, 25.

14 † Vict. f. 371ᵃ h. l. *ἄειρε δὲ ποιμένα λαῶν*] *τινὲς ἐμεθώριζεν* (sic) *ὁ κόσμος.*

20 Aristarcho obloqui videtur, cf. Lehrs, Ar. p. 148. — De eodem versu in quaestione Vat. *ια'* (edit. in fine operis) aliam rem spectante Porphyrius egit.

ἄμφω δ' ἱέσθην ἐπὶ ἴστορι πεῖραρ ἑλέσθαι
(C 501), τουτέστιν ἐπὶ ἐπιστήμονι δικῶν κρίσεως.

407. .... οὐκ εὐπρεπὲς δὲ, φασὶ, τὴν Ἥραν παραιτίαν λύπης γενέσθαι τῷ Ἀχιλλεῖ. ῥητέον δὲ ὅτι εἰς πρᾶγμα τολμηρὸν καταβαίνων ὁ ποιητὴς, τὸ φωνῆς μετέχοντας ἵππους εἰσάγειν, θεῷ τὴν αἰτίαν ἀνατίθησι, καὶ Ἥρᾳ, ἐπεὶ φωνή ἐστιν ἀὴρ πεπληγμένος. τί δὲ ἄτοπον, ὅπου γε καὶ Θέτις προεῖπεν· αὐτίκα γάρ τοι ἔπειτα μεθ' Ἕκτορα πότμος ἑτοῖμος (C 96); B f. 268[b] ad αὐδήεντα. L f. 420[b]. Vict. f. 371[b].

Υ

7. Διὰ ποίαν αἰτίαν μόνος ὁ Ὠκεανὸς οὐ πάρεστι τῇ ἐκκλησίᾳ τῶν θεῶν; ῥητέον δὲ ὅτι ἐπεὶ συνεκτικὸν ἔχει τὸ τοῦ κόσμου ῥεῦμα· φησὶ γάρ· Ὠκεανὸς, ᾧ πᾶσα περίρρυτος ἐνδέδεται χθών. A C 490. L f. 408[a] ibid.

τὸν Ὠκεανὸν οὐ παρέλαβεν εἰς τὸ τῶν θεῶν συνέδριον, ἵνα μὴ κωλύσῃ αὐτοὺς τῆς πρὸς ἀλλήλους μάχης πρεσβύτατος ὑπάρχων. L f. 422[a]. A Υ 7.

26 sqq. δόξειεν ἂν τοὐναντίον ἢ ὁ Ζεὺς βούλεται γίνεσθαι, τῶν θεῶν ἐκπεμπομένων ἐπὶ τὴν μάχην. ὁ μὲν γάρ φησιν, εἰ μὴ παραγένοιντο, οὐδὲ πρὸς ὀλίγον ἀνθέξουσιν οἱ Τρῶες μαχόμενοι τῷ Ἀχιλλεῖ, ἐκ δὲ τοῦ ἀφικνεῖσθαι αὐτοὺς μᾶλλον ἰσχυρότερος γίνεται τῷ εἶναι τοὺς B f. 269[b] ad εἰ γάρ. L f. 421[a]. Simil. Vict. f. 373[a].

1 πεῖρας ἑλέσθαι, rel. om., L 3 praecedunt haec (de αὐδήεντα): λογικοῦ ζώου φωνὴν ἔχοντα φησὶ Vict. 5 εἰσάγει L θεῷ περιάπτει τὴν αἰτίαν Vict. 6 τινὲς δὲ ἄτοπον L 7 γάρ οἱ L 8 ἑτοῖμος om. Vict. signo scholii finiti eraso add. *B: τὸ αὐδήεντα δ' ἔθηκε θεὰ λευκώλενος Ἥρη οὐκ ἔστι φωνὴν ἔχοντα κτλ., v. infra ad lin. 3 9 A adhaesit scholio de duabus urbibus C 490 commemoratis; quam ob rem δὲ post ποίαν insertum (Ludwich, M. Rh. XXXII, p. 17); in cod. L, ubi ἀπορία (ut ante ῥητέον lin. 10 λύσις) praemittitur, alia scholia unum ab altero dirimunt 10 ἐπεὶ om. L 12 A, cuius lemma οὔτε τις οὖν ποταμῶν ἀπέην (L νόσφ' Ὠκεανοῖο in lemm.), scholio Aristoniceo adhaesit; quam ob rem δὲ post τὸν ins. 15 οἱ μὲν γάρ φασιν L

---

3 sqq. Veri simile est hanc quaestionem cum altera illa ad ε 334 pertinente (v. V. Rose, Ar. ps. p. 171, qui schol. Q ζ 125 addere debebat), cuius partem is qui scholia *B scripsit in fine scholii addidit, cohaerere. Res tamen non ita constat, ut haec loco suo movenda sint. — Partem eorum quae hic edidimus Eust. T, p. 1190, 40 sqq., h. l. legit.

